Digitized by the Internet Archive
in 2026

https://archive.org/details/scholiagraecainh0004guli

Concordia Library
Bronxville, N. Y.
483
H766
Vol. 4

SCHOLIA GRAECA

IN

HOMERI ILIADEM

Stacks

EX CODICIBUS AUCTA ET EMENDATA

EDIDIT

GULIELMUS DINDORFIUS.

Rev. JUSTUS F. HOLSTEIN,
77 Midwood St,
BROOKLYN, N. Y. CITY.

PA
4035
.A2
1875
vol. 4

TOMUS IV.

OXONII:
E TYPOGRAPHEO CLARENDONIANO.
M.DCCC.LXXVII.

[*All rights reserved*]

ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ

ΕΙΣ ΤΗΝ ΟΜΗΡΟΥ ΙΛΙΑΔΑ.

ΕΙΣ ΤΗΝ Ν.

1. ΖΕΥΣ δ' ἐπεί] ἐρειφθέντος τοῦ τείχους καὶ τροπῆς γενομένης λοιπὸν ἦν ἀναστῆναι Ἀχιλλέα. ὁ δὲ ποιητὴς μῆκός τε καὶ ποικιλίαν περιποιεῖ διὰ τῆς ἀσχολίας τοῦ Διός. ἅμα δὲ ἐπειδὴ ἔφθασε περὶ τοῦ Ἕκτορος προειπὼν "οὐκ ἄν τίς μιν ἐρυκάκοι ἀντιβολήσας νόσφι θεῶν" (Il. 12, 465), ἀναγκαίως τῷ ἀνυπόστατον ἔχοντι τὴν δύναμιν τὸν Ποσειδῶνα ἀντιστρατεύει. πῶς δ' ἂν ἐτόλμησε Ποσειδῶν προελθεῖν μὴ ἀσχολουμένου Διός; διὰ τούτων δὲ σχεδὸν βοᾷ ὁ ποιητὴς οὐκ ἴδιον τῶν Τρώων γεγενῆσθαι τὸ κατόρθωμα, ἀλλὰ τοῦ Διός. περιπαθῶς δὲ ἄγαν τὸ νηυσίν, οἷον οὐ τῷ τείχει μόνον, ἀλλὰ καὶ ταῖς ναυσὶν, ἥπερ ἔτι μόνη τῶν Ἑλλήνων ἐλπίς.

*ἐπεί σημαίνει τρία· τὸ ἐπεί, τὸ ὅτι, ὡς τὸ "ἐπεὶ πολὺν ὤλεσα λαόν" (Il. 2, 115), καὶ τὸ ὅτε, ὡς νῦν, καὶ τὸ ἀφ' οὗ.

*Τρῶας] κεχώρικε τῶν λοιπῶν Τρώων τὸν Ἕκτορα κατ' ἐξοχήν. οὗτος καὶ μετὰ τὴν Ἰλίου πόρθησιν, καὶ μετὰ θάνατον τὴν ἀπὸ τῶν θεῶν εὐτύχησε τιμήν. οἱ γὰρ ἐν Βοιωτίᾳ Θηβαῖοι πιεζόμενοι κακοῖς ἐμαντεύοντο περὶ ἀπαλλαγῆς. χρησμὸς δὲ αὐτοῖς ἐδόθη παύσεσθαι τὰ δεινὰ, ἐὰν ἐξ Ὀφρυνίου τῆς Τρῳάδος τὰ Ἕκτορος ὀστᾶ διακομισθῶσιν εἰς τὸν παρ' αὐτοῖς καλούμενον τόπον Διὸς γονάς. οἱ δὲ τοῦτο ποιήσαντες καὶ τῶν κακῶν ἀπαλλαγέντες διὰ τιμῆς ἔσχον Ἕκτορα, κατά τε τὰ ἐπείγοντα ἐπικαλοῦνται τὴν αὐτοῦ ἐπιφάνειαν. ἡ ἱστορία παρὰ Ἀριστοδήμῳ.

4. * ἐρειφθέντος] ἐρρειφθέντος
6. * ποικιλίαν] ποικιλίας
9. ἀντιστρατεύει] ἀντιστατεύει Vill.
21. * Ὀφρυνίου] ἔξω φοινίου

CONCORDIA COLLEGE LIBRARY
BRONXVILLE, N. Y. 10708

Ἕκτορα νηυσὶ πέλασσε] πρὸς τὸ δεύτερον ὑπήντησε· πρῶτος γὰρ Ἕκτωρ εἰσῆλθεν. ὑπεξεῖλε δὲ αὐτὸν ἰδίᾳ.

2. τοὺς μέν] ἐὰν ἐπ' ἀμφοτέρων λέγῃ, Τρώων καὶ Ἑλλήνων, ἁπλούστερόν ἐστιν· ἐὰν δὲ περὶ τῶν Τρώων μόνων, ἐμφαίνεται ἦθος κατακερτομοῦντος τοῦ ποιητοῦ ὅτι μάτην ἐπόνουν· οὐ γὰρ ἔμελλον ἀλλοκότως ὑπὸ βαρβάρων ἁλώσεσθαι.

πόνος δηλοῖ τὴν ἐνέργειαν, ὡς τὸ "παύσαντο δὲ πόνου" (Il. 1, 467), ἢ τὴν κακοπάθειαν, ὡς τὸ "ἦ μὴν καὶ πόνος ἐστίν" (Il. 2, 291).

3. τὸ πάλιν τὴν ἀπὸ τοῦ εὐθέος μεταστροφὴν δηλοῖ, σύνηθες δέ ἐστιν Ὁμήρῳ. δηλοῖ δὲ ταῦτα ἡ λέξις· τὸ ἀλλαχοῦ, ὡς ἐνταῦθα· τὸ ἐκ δευτέρου, ὡς τὸ "πάλιν ποίησε γέροντα" (Il. 16, 456). τὸ εἰς τοὐπίσω· ὡς τὸ "χειρὶ πάλιν ἐρύσασα" (Il. 5, 836). καὶ τὸ ἐναντίως· ὡς τὸ "οὐδὲ πάλιν ἐρέει" (Il. 9, 56). δείκνυσι δὲ ὅτι οὐδὲν ἀθεώρητον τῷ δημιουργῷ θεῷ. φαεινώ δὲ δι' ὧν τὸ φάος δίδοται τοῖς ὁρῶσι.

*Πορφυρίου. αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ] ἀδύνατόν φασιν· εἰ γὰρ ἀπετράπη ἀπὸ τῆς Ἰλίου ἐπὶ τὴν Μυσίαν κατὰ τὰ τῆς Ἀσίας ἔθνη, ἀδύνατον τὴν Θρᾴκην καθορᾶν οὖσαν ἐν τῇ Εὐρώπῃ. λύεται δὲ ἐκ τῆς λέξεως· οὐ γὰρ λέγει τὴν Θρᾴκην αὐτὸν βλέπειν, ἀλλὰ τὴν Θρᾳκῶν γῆν, ἧς ἦσαν ἄποικοι, κατοικοῦντες δὲ Ἀσίαν Βιθυνοί τε καὶ οἱ Θυνοὶ Θρᾳκῶν ἄποικοι.

5. Ἀγαυῶν Ἱππημολγῶν] Ἀγαυοὶ ὄνομα ἔθνους· οὗτοι δὲ ἵππους ἀμέλγοντες αὐτοὶ τῷ γάλακτι ἐτρέφοντο.

6. *Ἀβίων] τῶν βιοῖς μὴ χρωμένων, ἤγουν τόξοις.

πάντων Σκυθῶν ὑποκυψάντων Ἀλεξάνδρῳ μόνους Ἀβίους φασὶν οὐχ ὑπεῖξαι, μόνον δὲ ἐπισκεψαμένους τὴν ψυχὴν τοῦ ἀνδρὸς ἐπικηρυκεύσασθαι πρὸς αὐτόν. οὓς δικαιοτάτους φησὶ διὰ τὸ ἀνεπίμικτον, ἢ ὅτι κοινοὺς ἔχουσι παῖδας καὶ γυναῖκας καὶ τὰ πάντα πλὴν ξίφους καὶ ποτηρίου. τούτοις αὐτόματος ἡ γῆ φύει βοτάνας, ζῷον δὲ οὐδὲν ἐσθίουσιν· ἄβιοι δὲ οἱ ἀνέστιοι.

10. ἄλη ἄλαιος, καὶ ἀλαός Αἰολικῶς. διδάσκει δὲ διαφορὰν ἐπιμελείας καὶ ῥᾳθυμίας. πιθανῶς δὲ τοὺς στρατηγοὺς καταστρατηγοῦντας ἀλλήλων ἐποίησεν· ὁ μὲν γὰρ Ζεὺς ἀποδημοῦντος ἐν Αἰθιοπίᾳ Ποσειδῶνος ἐπανάγει Ὀδυσσέα, Ποσειδῶν δὲ νῦν ἐνεργεῖ.

16. *Πορφυρίου] om. B et Ven. A.
23. τῷ γάλακτι Bekk.] τὸ γάλα 31. *ἄλαιος] ἀλεὸς

11. *θαυμάζων*] *θεωρῶν, ὡς τὸ "ἱστάμενοι θαύμαζον"* (Il. 18, 496).

13. *Θρηϊκίης*] *ἔστι γὰρ καὶ ἄλλη Σάμος περὶ Μυκαλησσὸν, καὶ ἑτέρα περὶ Πελοπόννησον.*

15. *ἕζετ' ἰών*] *οὐ νῦν ἕζετο, ἀλλ' ὅτε ἐκάκου τὰ Ἑλληνικὰ ὁ Ζεύς. ἔδει οὖν πρῶτον εἰπεῖν ὅτι ἐκάθισεν, εἶθ' οὕτως ὅτι ἑώρα τὴν μάχην.*

18. *κραιπνὰ ποσὶ προβιβάς*] *εἰ συνεχὲς, φησὶ, προέβαινε, πῶς παρακατιών φησι "τρὶς μὲν ὀρέξατο;" ἢ τάχα τὸ κραιπνά ἀντὶ τοῦ πρόθυμα καὶ ἰσχυρά.*

20. *τρὶς μέν*] *ὑπερφυῶς τοσαύτην θάλασσαν καὶ ἔθνη τρισὶ βήμασι παρῆλθεν. τίνος δὲ ἕνεκεν ἐπὶ τὰς Αἰγὰς ἄπεισι, δυνάμενος ἐν Τροίᾳ εὐθὺς γενέσθαι μετὰ τὸ λιπεῖν τὴν Σαμοθρᾴκην; ἴσως οὖν πρὸς κατάπληξιν τῶν Τρώων ἄπεισι τὸ ξίφος ληψόμενος. αὗται δὲ αἱ Αἰγαὶ νῆσός ἐστιν ἐν τῷ Αἰγαίῳ πελάγει, ὅθεν καὶ καλεῖται.*

*Πορφυρίου. *ἐζήτηται διὰ τί εὐθέως οὐ πορεύεται εἰς Τροίαν ὁ Ποσειδῶν, ἀλλὰ τὸν χρόνον δαπανᾷ πορευθεὶς εἰς Αἰγάς. ῥητέον οὖν ὅτι δυοῖν ἕνεκα πραγμάτοιν μεμηχάνηται αὐτῷ ἡ ἀποδημία, πρῶτον μὲν ἵνα ἀποπλανήσῃ τὸν Δία ὡς ἀπολελοιπὼς τὸν πόλεμον, δεύτερον δὲ ἵνα καθοπλισθῇ εἰς τὸν τοῦ Διὸς πόλεμον, ἐὰν ἄρα φωραθεὶς εἰς τὴν συμμαχίαν κινδυνεύσῃ.*

21. **Αἰγάς*] *πόλις Ἀχαΐας ἐν Πελοποννήσῳ, ἔνθα τιμᾶται ὁ Ποσειδῶν, ἄγεται δὲ καὶ Διονύσῳ ἑορτὴ, ἐν ᾗ θαυμάσιον ἐπιτελεῖσθαί φασιν, ἔργον ἐπειδὰν ὁ χορὸς συστὰς τὰς τοῦ δαίμονος τελετὰς ὀργιάζῃ· ἄμπελοι γὰρ ἃς καλοῦσιν ἐφημέρους ἀνισχούσης μὲν ἡμέρας βλαστάνουσι καρπὸν, ὥστε δρέποντας αὐτοὺς ἑσπέρας οἶνον ἄφθονον ἔχειν. ἡ ἱστορία παρὰ Εὐφορίωνι.*

κλυτὰ δώματα] *τινὲς ὑποκλυζόμενα· οἱ δὲ διὰ τὴν δύναμιν τοῦ*

12. *δυνάμενος* (*καὶ δυνάμενος* B)] * *παρὸν*

16. * *Πορφυρίου* om.

εὐθέως οὐ] * *οὐκ εὐθείᾳ.*

22. *Ἀχαΐας*] * *Ἀχαιίας.* Aegis non Achaicis, sed Euboicis hoc miraculum tribuit Sophocles fr. 239. Recte in cod. Townl. *ἐν Αἰγαῖς τῆς Εὐβοίας.*

25. * *ὀργιάζῃ*] *ὀργάζῃ*

26. * *δρέποντας* (ex cod. Paris. 3060 ap. Miller. *Journal des Savants*, 1839, p. 715)] *πρέπον* (*τρέποντας* in ed. Rom.) Idem vitium in scholio codicis Townleiani, ubi passive *πρὸς τὴν ἑσπέραν τρεπόμενοι.*

ἑσπέρας] * *εἰς ἑσπέραν*

θεοῦ ἐν μέσῃ θαλάσσῃ εἶναι τὸ ἱερόν. τῷ δὲ βάθει τὸ ἄπιστον ἐκάλυψεν.

23. ὑπ' ὄχεσφι τιτύσκετο] ὑποζευγνὺς τοῖς ὄχεσιν εὐτρέπιζεν.

24. *ἐθείρῃσιν] ἔθειραι εἴρηνται αἱ τρίχες παρὰ τὸ ἐξ ἔθους εἴρεσθαι, ἤγουν συμπλέκεσθαι.

25. χρυσὸν δ' αὐτός] πάντα ποιητικά· ἀπὸ γὰρ τῆς παρ' ἡμῖν τιμωμένης ὕλης καὶ παρὰ θεοῖς λαμβάνει χρύσεα δώματα καὶ χρυσᾶς τὰς τῶν ἵππων ἐθείρας. καὶ νῦν δὲ χρυσὸν λαμβάνει, τουτέστι πανοπλίαν χρυσῆν, καὶ μάστιγα χρυσῆν· καὶ ἑξῆς τοῖς ἵπποις περιβάλλει πέδας χρυσᾶς.

27. ἄταλλε] ἐσκίρτα· ἀπὸ τῶν νηπίων ἡ μεταφορά. ἐπὶ δὲ Ἑρμοῦ τὸ πέλαγος διανύοντος (Od. 5, 51) οὐδὲν τοιοῦτον γίνεται· τῷ δὲ τῆς θαλάσσης δεσπότῃ οἰκεῖα ταῦτα. τὸ δὲ ὑπ' αὐτοῦ ἀντὶ τοῦ δι' αὐτόν, ὡς τὸ "ὑπὸ τῆς νόσου ἀδυναμεῖ."

28. πάντοθεν] ταῦτά εἰσι τὰ εἰς θεν τῷ ο παραληγόμενα καὶ προπαροξυνόμενα ἐπιρρήματα, οἴκοθεν ἄλλοθεν ἔνδοθεν ἔκτοθεν ἑκάστοθεν ἀπόπροθεν πάντοθεν. τὸ δὲ κευθμῶν οἱ μὲν συγκοπήν φασιν, οἱ δὲ ὅτι κευθμῶν Ἰακῶς εἴρηται.

29. γηθοσύνῃ] ὁ μὲν Ἀρίσταρχος ὀρθὴν αὐτήν φησιν, ὁ δὲ Ἡρωδιανὸς δοτικὴν διὰ πολλῶν ἀποδείκνυσι. λέγει δὲ ὅτι τόπον παρεῖχε τῷ θεῷ, καὶ οὐκ ἀνθίστατο κυμαίνουσα, ἀλλὰ διίστατο, ἤτοι ὡδοποίει.

31. ἐΰσκαρθμοι] εὖ σκαίροντες, ἢ εὔποδες. τινὲς δὲ καὶ τὸν δρόμον σκαρθμὸν ὀνομάζουσιν, ἵν' ᾖ ταχεῖς.

*σκαρθμὸς δὲ κατὰ διάλεκτον ὁ πούς.

32. σπέος] σπήλαιον ἀφώτιστον, παρὰ τὴν σβέσιν.

37. ἀρρήκτους ἀλύτους] διχῶς ὁ δεσμὸς ἀφανίζεται, ἢ ῥήξει ἢ λύσει· ἄμφω δὲ συμπεριέλαβεν.

39. Τρῶες δέ] ἐπὶ τὰ πρῶτα ἐπαναφέρει τὸν λόγον· "οἱ δ' ἐσέχυντο νῆας ἀνὰ γλαφυράς." πρὸς δὲ τὸ εὐκίνητον καὶ ἁρπακτικὸν καὶ ἠχητικὸν τούτοις εἰκάζει, ὅθεν οὐδ' ἐμψύχοις, οἷον λέουσιν ἢ λύκοις, διὰ τὴν ἄλογον ὁρμήν. ἀκόλουθα δὲ καὶ τὰ ἐπιφερόμενα· ἀπὸ γὰρ ἀνέμου καὶ πυρὸς ἦχος γίνεται.

41. ἄβρομοι] πολύβρομοι· φύσει γὰρ ὄντες θορυβώδεις τῇ νίκῃ πλεῖον θορυβοῦσιν. ἔλαβε δὲ τὸν μὲν βρόμον ἀπὸ τοῦ πυρὸς, τὴν δὲ ἰαχὴν ἀπὸ τῆς θυέλλης.

7. *καὶ χρυσᾶς] om. 33. *πολύβρομοι] om.

*αὐίαχοι] ἀντὶ τοῦ ἀνίαχοι· τοῦ γὰρ ν̄ ἐξαιρεθέντος ὑπεισῆλθε τὸ ῡ, ὡς καὶ τὸ ἀγαθοὶ ἀγαυοί.

44. Ἀργείους ὄτρυνε] τὰ ἐναντία δύο ἔλαβε· δύο γάρ εἰσιν ὧν χρὴ προΐστασθαι, τῶν ἀσθενῶν πρὸς διόρθωσιν, καὶ τῶν ὑγιῶν πρὸς παίδευσιν.

45. ἐπεὶ ὑπὲρ Ἀχιλλέως κατ' Ἀγαμέμνονος μέλλει λέγειν, πρὸς τὸ πιστωθῆναι Κάλχαντι εἴκασται.

49. ἄλλῃ] κατὰ ἄλλην παράταξιν· πένταχα γὰρ ἦσαν κοσμηθέντες.

52. περιδείδια] ὑπερδέδια. οὐκ ἀναστρέφεται δὲ ἡ περί, ὅτε τὸ περισσῶς δηλοῖ.

53. λυσσώδης] λύσσα γίνεται παρὰ τὸ τὰς σώας λύειν φρένας.

54. ὃς Διός] ἀλαζονεύεται· φησὶ γὰρ "τιοίμην δ' ὡς τίετ' Ἀθηναίη, ὡς ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν" (Il. 8, 540) καὶ "ἐπὴν ἐς νῆας ἵκωμαι, μνημοσύνη πυρὸς γενέσθω" (ib. 181).

59. σκηπανίῳ] Κυρηναῖοι οὕτω καλοῦσι τὸ σκῆπτρον. σκῆπτρον δὲ καὶ δόρυ Ποσειδῶνος ἡ τρίαινα.

62. ὥστ' ἴρηξ] παραβολικὸς, οὐ φανταστικὸς ὁ λόγος. ὠκύπτερος δὲ ὁ τὴν ὠκύτητα ἐν πτεροῖς ἔχων.

63. ἀπ' αἰγίλιπος πέτρης] μέλλων γὰρ ἀεὶ θηρᾶν ἀνέρχεται ἐφ' ὕψους.

64. ἕτερον τῷ εἴδει· τῶν γὰρ ὁμοφύλων ἱέραξ οὐχ ἅπτεται.

66. πρόσθεν Ὀϊλῆος ταχὺς Αἴας] ὡς ἰδίαν ἔχων ὁ Τελαμώνιος δύναμιν οὐ ταχέως ᾔσθετο τῆς ἐπικουρίας· ὡς δὲ ἀσθενέστερος ὁ Λοκρὸς εὐθὺς νοεῖ.

71. *ἴχνια] παρὰ τὸ ἵξω ἵγμαι ἵγνιον καὶ ἴχνιον.

ἀναχωροῦντος αὐτοῦ τὰς ἀποχαράξεις τῶν ποδῶν ἔγνων, φησὶ, μὴ ἀπομαξαμένας ἴχνος. τὸ δὲ ῥεῖα πρὸς τὸ ἀπιόντος· ῥᾳδίως γὰρ ἀπηλλάγη ὡς θεός.

82. χάρμῃ τῇ μάχῃ· ἡ γὰρ χαρὰ χάρμα καλεῖται. νῦν δὲ, ὡς Ἀρίσταρχος, τῇ εἰς τὸν πόλεμον προθυμίᾳ.

84. ἀνέψυχον] ἀναψῦξαι ἐστὶ τὸ ἀναπαῦσαι τὸ πνεῦμα καὶ ἐν ἀδείᾳ ἀναπνεῦσαι· καὶ γὰρ ἡ ψυχὴ πνεῦμά ἐστιν.

86. καί σφιν ἄχος] διπλοῦν ἦν αὐτοῖς τὸ δεινόν· τὴν μὲν γὰρ ψυχὴν ἄχος, τὸ δὲ σῶμα κάματος ἐδάμαζεν.

*ἄχος παρὰ τὸ χέω, μετὰ τοῦ στερητικοῦ ᾱ, τὸ μὴ διαχέον τὴν

21. * τῶν γὰρ] ἀπὸ γὰρ τῶν

ψυχὴν, ἀλλὰ συνέχον, ὥσπερ τοὐναντίον ἐπὶ τοῦ χαίρω, παρὰ τὸ διαχεῖσθαι. ἄχος δέ ἐστι λύπη· εἴδη δὲ τῆς λύπης τέσσαρα, ἄχος ἄχθος φθόνος καὶ ἔλεος. ἄχος οὖν ἐστὶ λύπη ἀφωνίαν ἐμποιοῦσα· ἄχθος ἐστὶ λύπη βαροῦσα καὶ ἐνοχλοῦσα ἐπὶ ἀβούλων τῶν συμβαινόντων· φθόνος ἐστὶ λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς· ἔλεός ἐστι λύπη ἐπ' ἀλλοτρίοις κακοῖς· πάσχει γάρ τις καὶ σὺ ἐλεεῖς.

περιπαθῶς πάνυ, ὅτι ὁρῶντες ἐν ὄψει τὸ κακὸν ἐπαμύνειν ἦσαν ἀδύνατοι· ὅθεν καὶ ἐπαναλαμβάνει τὸ "τοὺς οἵ γ' εἰσορόωντες" (88)· τὰ γὰρ σχετλιώτατα τῶν δεινῶν τὰ ἐν ὄψει ἐστὶν ὁρώμενα. εἰς ἔσχατον δὲ προῆκται τὰ τῶν Ἑλλήνων· ὅρα γὰρ ἐπὶ τῆς παρατάξεως στρατιώτας κλαίοντας ἐνόπλους, καὶ ταῦτα Ἕλληνας.

88. *ὑπ' ὀφρύσι δάκρυα λεῖβον] οἱ γὰρ ὀφθαλμοὶ καθ' Ὅμηρον ὑπὸ ταῖς ὀφρύσι· ὡς τὸ "κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινώ" (Il. 14, 236). διὰ δὲ τούτων ἐδάκρυον.

95. αἰδώς] λείπει τὸ ἔστω. Ἑλληνικῶς δὲ τὸ τῆς αἰδοῦς προβάλλεται, ὁ δὲ Ἕκτωρ τοῖς βαρβάροις οὐ τὸ αἰσχρὸν, ἀλλὰ τὸν φόβον· εὖ δὲ καὶ τῆς ἀκμῆς ὑπομιμνήσκει ἐπὶ δειλίᾳ συγγνώμην ἐχούσῃ· διὸ καὶ δὶς ἐπανέλαβε τὸ ὄνομα. οἱ δὲ τὸ κοῦροι ἀντὶ τοῦ εὐγενεῖς.

96. ἁμάς] αὐτὸς γὰρ αὐτὰς εἰς Ἴλιον ἤγαγε· "καὶ νήεσσί" φησιν "ἡγήσατ' Ἀχαιῶν" (Il. 1, 71).

98. νῦν δὴ εἴδεται ἦμαρ] φαίνεται. λείπει δὲ τὸ τοῦ, τοῦ ὑπὸ Τρωσὶ δαμῆναι. ἀντὶ τοῦ προφανές ἐστιν ὡς ἐν τῇ νῦν ἡμέρᾳ ἀπολούμεθα. ἐντέχνως δὲ τὸ φιλότιμον αὔξει τῶν νέων, τὴν αἰτίαν τοῦ σωθῆναι καὶ ἀπολέσθαι αὐτοῖς ἀναφέρων.

101. Τρῶας ἐφ' ἡμετέρας ἰέναι νέας] ἐν ἤθει μετὰ θαύματος. μεγάλη δὲ ἡ ἔμφασις· ἔστι γὰρ μυρία προσυπακοῦσαι, οἷον τοὺς βαρβάρους ἐπὶ τὰς Ἑλληνικὰς, τοὺς δειλοὺς ἐπὶ τὰς τῶν γενναίων, τοὺς ὀλίγους ἐπὶ τὰς τῶν πλεόνων.

102. φυζακινῇς] ἐντέχνως τῷ ψόγῳ τῶν Τρώων ἐνέβαλε τὴν κατηγορίαν Ἑλλήνων· ποῖοι γὰρ ἂν εἶεν οἱ ὑπὸ τοιούτων ἡττώμενοι;

103. θώων] ὅμοιον ὑαίνῃ τὸ ζῷον. φασὶ δὲ αὐτὸ ἅμα τῷ τίκτεσθαι βαδίζειν· ἡ δὲ βάδισις αὐτοῦ ἁλματώδης.

ἠΐα τὰ τοῦ εἶναι αἴτια, ἢ τοῦ ἰέναι· οἱ γὰρ πεινῶντες τὰ γυῖα βαρύνονται.

*ἠΐα δὲ τὰ βρώματα, οὐ τὰ ἐν οἴκῳ, ἀλλὰ τὰ ἐν τῇ ὁδῷ· "δεῦτε

φίλοι ἤϊα φεροίμεσθα" (Od. 2, 410) φησὶν ὁ Σιμωνίδης. καὶ τὰ ἄχυρα δὲ ἤϊα λέγεται, ὡς τὸ "ὡς δ' ἄνεμος ζαὴς ἠΐων θημῶνα τινάξει" (Od. 5, 368). καὶ "ὅπλισσόν τ' ἤϊα" (Od. 2, 289) τὰ ἐφόδια· οἰκείως ἀπὸ τοῦ ἰέναι εἴρηται. καταχρώμενος δὲ ὁ ποιητὴς λέγει ἀντὶ τοῦ ἑλώρια· κυρίως γὰρ ἑλώρια λέγεται ἃ ἑλόντες αἱροῦσιν.

108. μεθημοσύνῃσί τε λαῶν] καλῶς οὐκ εἶπεν ἀσθενείαις, ἀλλὰ μεθημοσύναις. λέγει δὲ τὰ εἰς ἀρέσκειαν τοῦ πλήθους· οἶδε γὰρ αὐτοὺς ἀεὶ παρὰ τὰς ἀτυχίας μεμψιμοίρως ἔχοντας τοῖς τυράννοις.

109. οὐκ ἐθέλουσιν] εὖ τὸ μὴ φάναι οὐκ ἐθέλετε· πρὸς βασιλικοὺς γὰρ ἄνδρας ὁ λόγος, οὓς ἐλέγχειν ἀντικρὺ παρῃτήσατο. ἐπὶ δὲ τὸν ὑποτεταγμένον ὄχλον τὸν λόγον ἔτρεψε, καὶ δοκεῖ μὲν κατὰ τῶν ἄλλων λέγειν, ἡ δ' ἐπαναφορὰ πρὸς τοὺς ἀκούοντας γίνεται.

115. ἀκεώμεθα] τὴν ἑαυτῶν ἀμέλειαν θεραπεύσωμεν. τινὲς δὲ τὴν εἰς Ἀχιλλέα ἀτιμίαν· ῥᾷστον γὰρ πρὸς ἐπανόρθωσιν τὸ ἁμαρτηθὲν τοῖς ἐναρέτοις ἀνδράσιν.

* τὸ δὲ ἀκεώμεθα ἀντὶ τοῦ ἰασώμεθα διὰ τάχους τὸ γεγονὸς ἁμάρτημα· εὐΐατοι γὰρ καὶ εὐθεράπευτοι αἱ τῶν ἀγαθῶν φρένες, ῥᾳδίως πρὸς τὸ κρεῖττον μετατιθέμεναι, εὐθεράπευτοι οὖσαι. ἢ θεραπευτικαί εἰσι.

117. πάντες ἄριστοι ἐόντες] τῷ ἐπαίνῳ θεραπεύει καὶ μειζόνως ἐλέγχει ὡς διαφθείροντας τὴν φύσιν τῇ ῥαθυμίᾳ.

120. ὦ πέπονες] τινὲς ἀντὶ τοῦ προσηνεῖς· τάχα γὰρ παραμυθεῖται αὐτούς. μεῖζον δὲ κακόν, δηλονότι τοῦ νῦν.

122. αἰδῶ καὶ νέμεσιν] τήν τε κοινὴν αἰσχύνην καὶ τὴν ἐξ ἄλλων προσγινομένην μέμψιν. μεγάλη γάρ, φησὶ, πολέμου φιλονεικία διανίσταται.

123, 124. μετὰ θαύματος τὸ δίστιχον προενεκτέον, ὡς τὸ "Τρῶας ἐφ' ἡμετέρας ἰέναι νέας" (101). βοὴν δὲ ἀγαθὸν αὐτὸν καλεῖ πρὸς ἐρεθισμὸν ἐκείνων.

125. κελευτιόων] κελευτής κελευτιῶ κελευτιόω. ἴσως δὲ οὐ τὸ προστάσσων δηλοῖ, ἀλλὰ τὸ διεγείρων.

*γαιήοχος] ὁ Ποσειδῶν ὁ ἔχων ἤγουν βαστάζων τὴν γῆν· ἐπὶ γὰρ τοῦ ὕδατος ἡ γῆ ἐστήρικται. ὁ αὐτὸς καὶ ἐννοσίγαιος ὡς κινῶν

1. φεροίμεσθα] φερόμεθα 6. αἱροῦσιν] αἴρουσιν
17. * ἁμάρτημα] om.

τὴν γῆν· τῇ γὰρ τοῦ ὕδατος παρὰ χρόνον τινὰ μεταστάσει γίνεται ὁ σεισμός.

127. οὔτ᾽ ἄν κεν Ἄρης ὀνόσαιτο] ἀλλὰ μᾶλλον θαυμάσειεν. ἔστι δὲ μετὰ συλλογισμοῦ ὁ ἔπαινος, οὐκ αὐτοῦ τοῦ λέγοντος ἐκτιθεμένου τὴν εἰκόνα τοῦ πράγματος, δι᾽ ἐμφάσεως δὲ καταλείποντος τοῖς ἀκροαταῖς σκοπεῖν ὁποῖαί τινες ἦσαν.

130. φράξαντες δόρυ δουρί] συνέβαλον μὲν ἀλλήλοις φαλαγγηδὸν, συμβαλόντες δὲ διέλυον τὴν φάλαγγα, ἐπεὶ πῶς ὥρμων καὶ ὑπεχώρουν καὶ ἐσκύλευον; καὶ ἔοικεν ὡσεὶ πρόπειρά τις εἶναι τῆς ὑπομονῆς τῶν πολεμίων. ἢ πρὸς τὸ ἀναδέξασθαι τὸν Ἕκτορα ἐπύκνωσαν ἑαυτούς. πάντες μὲν οὖν ἐν ἀσπίσι καὶ θώραξι καὶ κράνεσι καὶ λόγχαις· τούτων δὲ οἱ μὲν πρωτοστάται κατὰ τὸ μέτωπον ἦσαν, πάντες ὁμοίως τὰ δόρατα κατὰ τὴν προβολὴν ἔχοντες· κατόπιν δὲ τούτων οἱ δευτεροστάται, κατὰ τὰ δεξιὰ πλευρὰ τῶν πρωτοστατῶν προβεβληκότες τὰ δόρατα, μείζω δυσὶ πήχεσιν· οἱ δὲ τρίτοι παρ᾽ ἀμφοτέρους ὁμοίως, ὥστε εἰς τρεῖς ἀρχὰς ἀνέχειν τὰ δόρατα· οἱ τέταρτοι δὲ καὶ πέμπτοι τὰς αἰχμὰς εἶχον ὀρθὰς, ὡς εἴ τι κενοῖτο τῆς τάξεως τιτρωσκομένων ἢ φονευομένων, τοῦτο πληροῦν.

*προθελύμνῳ] Ἀνδρόμαχος ἐν ἐτυμολογικοῖς φησὶ κυρίως λέγεσθαι προθέλυμνα τὰ ἐπαλλήλους κλάδους ἔχοντα δένδρα. διὰ τὸ θηλυμανεῖν.

132. φάλοι μὲν τὰ προμετωπίδια ἐπαναστήματα, ὧν καὶ ὁ λόφος ἔχεται, λόφος δὲ τὸ τῆς μέσης περικεφαλαίας ἐκ τριχῶν ἀνάστημα. τὸ δὲ πᾶν οὕτως, οἱ τῶν κορύθων λόφοι ἀλλήλων ἔψαυον. ἱππόκομοι δὲ αἱ ἱππείους ἔχουσαι κόμας.

134. ἔγχεα δ᾽ ἐπτύσσοντο] αὐτὰ τὰ ἔγχη κραδαινόμενα πτυσσομένοις ἔοικε. γίνεται δὲ ἐκ τοῦ πτύω τὸ βάλλω πτύσσω πλεονασμῷ τοῦ σ. θρασειάων δὲ τῶν θρασείαις ψυχαῖς ὑπηρετουσῶν.

136. προὔτυψαν] προπαρενέβαλον ἢ προσέπεσον καὶ συνῆλθον. ταῦτα δὲ τῇ εὐημερίᾳ θαρροῦντες.

137. *ὀλοοίτροχος] ὁ ἐν τῷ τρέχειν ὀλοὸς, ἐπεὶ καταφερόμενος πᾶν τὸ ἐμπῖπτον βλάπτει.

7. συνέβαλον μὲν ἀλλήλοις] συνέβαλλον μὲν ἀλλήλους
20. *ἐπαλλήλους] ἐπ᾽ ἀλλήλοις θηλυμανεῖν] Sic etiam in scholiis minoribus, sed scribendum καθυλομανεῖν cum Cobeto Mnem. novae vol. 4 p. 280.
24. *ἀλλήλων] ἀλλήλους

*ὅλος τροχοειδής. οἱ δὲ ἐν τῷ τρέχειν δεινός. καλῶς δὲ βάρβαρον καὶ ἄλογον ὁρμὴν ἀψύχῳ βάρει εἴκασεν.

139. ἀναγκαίως τὸ ἀσπέτῳ πρὸς τὸ δυνηθῆναι πέτραν ῥῆξαι. ἀναιδέος δὲ τῆς ἀνενδότου καὶ σκληρᾶς. τὰ δὲ ἔχματα τὰ ἐξέχοντα καὶ μὴ ἐῶντα κυλισθῆναι αὐτόν.

141. ἀσφαλέως] ἀνεμποδίστως, μὴ σφαλλόμενος τῆς τοῦ θεῖν σφοδρότητος.

143. εἵως] ἕως τινὸς μέν. οἱ δὲ ἀντὶ τοῦ τέως.

146. μάλ' ἐγχριμφθείς] ἀντὶ τοῦ λίαν ταῖς φάλαγξιν ἐμπελασθείς.

147. ἀμφιγύοισιν] ἀμφοτέρωθεν βλάπτουσι καὶ γόον ἐπάγουσιν, ἀπὸ αἰχμῆς τε καὶ στύρακος.

149. διαπρύσιον] διαφανὲς, τουτέστι τῇ φωνῇ ὡς πυρσῷ ἐσήμανεν. ἢ τὰς πάντων διαπερῶν ἀκοάς.

151. παρμένετ'] περιμένετε ἀλλήλους. αὐτὸς γὰρ ἔχει Δία, καὶ οὐ προσδεῖταί τινος.

153. οἴῳ] ἄμεινον εἶναι μόνῳ, ἵνα μὴ Ἕκτωρ διστάζῃ, ἢ τὸ ὀΐω ἀντὶ τοῦ πέπεισμαι· "ἢ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν" (Il. 1, 78).

155. μένος λέγει τὴν προθυμίαν, παρὰ τὸ μένω τὸ προθυμοῦμαι.

158. ὑπασπίδια προποδίζων] οὐ προβάλλων τὰ ἴχνη πρὸ τῆς ἀσπίδος. ἐν βραχεῖ δὲ δεδήλωται ὁ μετέωρα βαίνων καὶ τῷ κύκλῳ τῆς ἰδίας ἀσπίδος τὸ σῶμα κρύπτων.

*ἐκ τούτου δῆλον ὅτι οὐκ εἶχεν ὁ Δηΐφοβος ἀμφιβρότην ἀσπίδα.

160. καὶ βάλεν οὐδ' ἀφάμαρτε] βάλλειν καὶ οὐχ ἁμαρτεῖν παρὰ τῷ ποιητῇ τὸ αὐτὸ δηλοῖ· οἷον ἐπέτυχεν, ἀλλ' οὐκ ἀπέτυχεν.

161. τῆς δ' οὔτι διήλασεν] οὐδὲ τὸ τυχὸν, φησὶ, δι' αὐτῆς ἦλθε.

162. ἐν καυλῷ] ἀντὶ τοῦ κατὰ τὸν καυλὸν, ὡς τὸ "ἄξαντ' ἐν πρώτῳ ῥυμῷ" (Il. 6, 40). λέγει δὲ τὸ καθιέμενον εἰς τὸ κοῖλον τοῦ δόρατος μέρος.

165. χώσατο] συνεχύθη τὴν ψυχήν· οὔτε γὰρ ἐπὶ χαρᾶς οὔτε ἐπὶ ὀργῆς τίθεται. καὶ φθέγγεται μὲν οὐδέν (οὐ γὰρ οἰκεῖον ἦν τῷ καιρῷ), τῇ δὲ ψυχῇ λελύπηται.

168. οἰσόμενος] ἑαυτῷ. διὰ τί δὲ οὐκ ἄλλον πέμπει, ἀλλ' αὐτὸς ἄπεισιν; ὅτι ἐν τῷ θορύβῳ κεχώρισται τῶν δορυφόρων, καὶ ἡ σκηνὴ πλησίον ἦν, καὶ οἱ πεμπόμενοι οὐχ ὁμοίως ταχεῖς· καὶ παρὼν δὲ ὅμοιος ἦν τῷ μὴ παρόντι δόρυ μὴ ἔχων. τοὺς μὲν οὖν ὡς τραυματίας

10. γόον] γυῖον Bekkerus. 23. οὐχ ἁμαρτεῖν Cobetus] οὐχ om.

πιθανῶς ὁ ποιητὴς, τοὺς δὲ καὶ ὅπλων ἐνδεεῖς ποιεῖ. δύο δὲ εἶχε δόρατα, οἷς αὐτὸς ἐχρῆτο· διάφορα γὰρ τὰ τῶν βασιλέων· εἶχε δὲ καὶ ἄλλα πολλά.

*διαφέρει δὲ τὸ οἴσων τοῦ οἰσόμενος· οἴσων μὲν γὰρ ἑτέρῳ, ὡς τὸ "οἴσετε δ' ἄρνα λευκόν" (Il. 3, 103), οἰσόμενος δὲ ἑαυτῷ.

171. Ἴμβριον αἰχμητήν] πιθανῶς ἐφ' ἑκάστῳ τῶν ἐπισήμων τὴν διήγησιν κατὰ τὰς ἀναιρέσεις ἐκφέρει· τὸ μὲν γὰρ προεκθέσθαι περὶ ἑκάστου περιττὸν, τὸ δὲ ἐν τοῖς συμπτώμασι παραδιηγεῖσθαι πιθανόν.

179. ἥ τ' ὄρεος κορυφῇ] ἐν πεδίῳ γὰρ οὐ φύεται ἢ μικρά. ἔμφασιν δὲ ἔχει ἄνωθεν πίπτουσα ἡ μελία. περιφαινομένου δὲ περιορωμένου, ἢ ὑπερφαινομένου.

180. φύλλα τοὺς κλάδους, ὡς οὗτος τὰ ὅπλα· τέρενα δὲ τὰ χλωρά. ἔοικε δὲ ὁ ποιητὴς τῇ μελίᾳ συνάχθεσθαι.

181. *βράχε] ὠνοματοπεποίηκεν. ἐντεῦθεν δὲ ἀπὸ τοῦ ἤχου τῶν ὑδάτων καὶ τὸ βρέχειν ὠνόμασται.

184. ἄντα ἰδών] λείπει τὸ φερόμενον. χάλκεον δὲ ἀπὸ μέρους.

187. δούπησεν δὲ πεσών] κατὰ καρδίας καὶ πνεύμονος ἡ πληγή· διὸ ταχεῖα καὶ ἡ πτῶσις.

191. τὴν εὐθεῖαν χρώς φησιν ὁ ποιητὴς, τὰς δὲ πλαγίας ὡς ἀπὸ τοῦ χροῦς κλίνει. καὶ συντίθησι δὲ τὴν λέξιν, ταμεσίχροας (Il. 13, 340.) λέγων ὡς ἀπὸ τῆς ταμεσίχρους εὐθείας. οὕτως δὲ καλεῖ καὶ τὴν ἐπιφάνειαν καὶ τὴν ἐντοσθίδιον σάρκωσιν.

πᾶς] ὅλος Ἕκτωρ, ἢ ὁ χρὼς αὐτοῦ.

192. ὀμφαλόν] τὸ μέσον, ἢ τὸ ἐπιτιθέμενον αὐτῇ πρὸς κόσμον.

194. νεκρῶν ἀμφοτέρων] ὥστε μήτε τὸν πολέμιον σκυλεῦσαι μήτε τὸ τοῦ οἰκείου σῶμα λαβεῖν.

198. τὰ ἐν τῇ παραβολῇ ὡς καθ' ὑπόθεσιν ἐκδεκτέον. οὐ γὰρ συμμαχοῦσιν ἀλλήλοις λέοντες, ἀλλὰ τοῦ ἑνὸς ἁρπάσαντος συναρπάζει ὑπαντῶν ὁ ἕτερος, ἑκατέρου τὴν ἄγραν εἰς ἑαυτὸν κατάγοντος, ὡς καὶ Αἰσχύλος (Fr. 33) "εἷλκον ἄνω λυκηδόν."

199. *ῥωπήϊα] οἱ τόποι ἐν οἷς ῥῶπες φύονται. ῥῶπες δὲ πολύφυλλα καὶ ἱμαντώδη φυτὰ δρυῶν.

17. * βρέχειν] βράχειν

203. κόψεν Ὀϊλιάδης] οὐ γὰρ ἦν τοῦτο τῆς μεγαλοπρεπείας τοῦ Τελαμωνίου τὸ νεκροῦ τεμεῖν κεφαλὴν καὶ τοῖς πολεμίοις ῥίπτειν, ἀλλὰ περὶ τοὺς ζῶντας ἐπονεῖτο.

ὑπεραπολογεῖται αὐτοῦ ὁ ποιητὴς παρεντιθεὶς τὸ κεχολωμένος. θαυμαστῶς δὲ τῇ ἐπεξεργασίᾳ χρῆται· ὁ μὲν Ἕκτωρ τοῦ Ἀμφιμάχου οὐδὲ τὸ κράνος ἀφελεῖν ἐδυνήθη, ὁ δὲ Ἕλλην οὐ μόνον τὰ ὅπλα ἐσύλησεν, ἀλλὰ καὶ τὸ σῶμα ἐλυμήνατο. ὠμὸν δέ φασι καὶ οὐχ Ἑλληνικὸν τὸ ἔργον· ἀλλὰ σύγγνωστον ὑπὲρ φίλου ἀγανακτοῦντι, ὃ δηλοῖ καὶ τὸ ἐπιφώνημα.

204. σφαιρηδόν] δίκην σφαίρας. τὸ δὲ ἑξῆς οὕτως, ἧκε δέ μιν δι' ὁμίλου σφαιρηδὸν, συστρέψας τὴν χεῖρα πρὸς τὸ εὔτονον τῆς βολῆς. χαρίεν δὲ τὸ σύμπτωμα· ὁ μὲν γὰρ ἁπλῶς ἔρριψεν εἰς τοὺς πολεμίους, συνέβη δὲ παρὰ τὸν Ἕκτορα ἐνεχθῆναι τὴν κεφαλὴν ὥσπερ εἰς ἔλεγχον ὧν αὐτὸς ἀπέτυχεν.

207. υἱωνοῖο] τοῦ Ἀμφιμάχου δηλονότι, ὃν ὁ Ἕκτωρ ἀνεῖλεν.

210. δουρικλυτός] ἁρμόδιον τὸ ἐπίθετον· οἱ γὰρ λοιποὶ Κρῆτες τοξόται μόνον ἦσαν.

211. ἑταίρου] λείπει τὸ τίνος· οὐ γὰρ ἐξ ὀνόματος αὐτὸν ἐκάλεσεν ὅστις ἦν. λέγει δὲ ὅτι συνήντησεν αὐτῷ ἐρχόμενος ἀπὸ σκηνῆς τινὸς ἑταίρου, οὗ καὶ ἡ σκηνὴ πλησίον τῆς μάχης ἦν, καὶ εἰς τὴν ἰδίαν πόρρω οὖσαν ἀπιών. πρὸ Μηριόνου δὲ ἀναχωρεῖ τῆς μάχης.

212. ἰγνύην λέγει τὸ ὀπίσω τοῦ γόνατος μέρος, παρὰ τὸ ἱκνεῖσθαι. ἦλθε δὲ ἀντὶ τοῦ ἀπηνέχθη εἰς τὴν σκηνήν.

216. εἰσάμενος φθογγὴν] ἀπὸ μέρους δηλονότι τὸ ὅλον σῶμα.

219. Ἰδομενεῦ] ὁ μὲν ἀκροατὴς ἀκούσας τὸ "καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη" προσδοκᾷ τινὰ συμβολὴν πολέμου γενέσθαι μεγίστην· ὁ δὲ ποιητὴς φιλοποίκιλος ὢν ἄλλα ἐπεισάγει, τὴν συνάντησιν αὐτοῦ, τὴν ἐρώτησιν καὶ ἀπόκρισιν, τὸν ὁπλισμὸν Ἰδομενέως, καὶ ἕτερα. ἀπειλαὶ δὲ αἱ καυχήσεις.

224. οὔτε τις ὄκνῳ] πάντα περιέλαβεν ἐξ ὧν ἄν τις αἰτιαθείη· ἢ γὰρ δι' ἀπειρίαν ἢ διὰ δέος ἢ δι' ὄκνον φεύγουσι τὰ δεινά.

228. μενεδήϊος] μένων τοὺς δηΐους. Ἑλληνικὸν δὲ τὸ φρόνημα· οὐ γὰρ ἀποκάμνει ταῖς τύχαις, ἀλλὰ καὶ ἄλλους προτρέπεται.

233. κυνῶν μέλπηθρα γένοιτο] παίγνια· μετὰ κόρον γὰρ σφαι-

1. * τοῦ Τ.] τοῦ om. 2. τεμεῖν] ἀποτεμεῖν Bekkerus.

ρίζουσι καὶ διαρριπτοῦσιν οἱ κύνες τὰς σάρκας, λέων δὲ τὸ πᾶν ἐσθίει.

235. ἀλλ' ἄγε] Ἑλληνικῶς τε καὶ λίαν φιλαλλήλως εἰς προθυμίαν ἀλείφουσιν ἀλλήλους, ὃ χαρακτὴρ γενναίων.

236. σπεύδειν] μετὰ κακοπαθείας καὶ ταλαιπωρίας ἐνεργεῖν.

237. οὐδεμίαν καταλείπει τοῖς γενναίοις πρόφασιν εἰς τὸ μὴ ἀνδρίζεσθαι, εἴγε καὶ δειλοὶ ἀλλήλοις συνιόντες συμφέροντα δρῶσιν ἔργα. εἰ γὰρ τῶν μάλα λυγρῶν συμφέρουσα γίνεται ἡ ἀρετὴ, πόσῳ μᾶλλον τῶν γενναίων;

238. νῶϊ δέ] τὸ φορτικὸν ἐξέφυγεν, εἰπὼν ὅτι καὶ γενναίοις ἰσόμαχοί ἐσμεν ἡμεῖς· ἐπιστάμεθα γὰρ ἀντὶ τοῦ δυνάμεθα.

242. ἀστεροπῇ ἐναλίγκιος] πρὸς τὴν λαμπρότητα τῶν ὅπλων καὶ πρὸς τὸ τάχος τοῦ φοροῦντος ἡ ὁμοίωσις. οὐκ ἐπειδὴ δὲ ἔτρεχεν, ἔλαμπεν, ἀλλ' ὅτι καὶ ἔτρεχε καὶ ἔλαμπεν ὁ χαλκὸς, ἀστεροπῇ αὐτὸν εἰκάζει.

249. ἐν ἑνὶ στίχῳ καὶ τῆς συγγενείας καὶ τῆς ἰσχύος καὶ τῆς φιλίας αὐτὸν ὑπέμνησεν.

251. ἠέ τι βέβληαι] ἆρα μέρος, φησὶ, τι τοῦ σώματος ἐτρώθης, καὶ ἡ ἀκίς σε τείρει;

252. ἠέ τευ ἀγγελίης] ἀπό τινος, ἢ περί τινος. τὸ δὲ μετ' ἐμέ ἀντὶ τοῦ ἐπ' ἐμέ ἢ περὶ ἐμέ.

257. κατεάξαμεν ὃ πρὶν ἔχεσκον] πληθυντικῷ ἑνικὸν ἐπήγαγεν Αἰολικῶς. οἱ δὲ κατέαξα μὲν, ἵνα ᾖ, ὃ πρὶν μὲν εἶχον, κατέαξα.

261. ἐνώπια παμφανόωντα] τοὺς κατὰ τὴν εἴσοδον τοίχους, ἤτοι τοὺς ἀπέναντι τῶν εἰσόδων. οἱ δὲ τὰ πρόθυρα δι' ἂν τὸ φῶς εἰσέρχεται.

262. οὐ γὰρ ὀΐω] οὐκ ἀλαζονεύεται, ἀλλ' ἐρεθίζει αὐτὸν, λεληθότως ἐπιδεικνὺς ὡς ἔστι καὶ πολεμίου δόρατι ὡπλισμένον μὴ ἀργεῖν.

265. γανόωντες] στίλβοντες, ἀπὸ μεταφορᾶς τῆς γῆς τῆς κομώσης τοῖς καρποῖς.

268. οὐ σχεδὸν ἔστιν ἑλέσθαι] δηλοῖ ὅτι ἄκων τῆς μάχης ὑπολείπεται, ὅπου μηδὲ ἐφ' ὃ ὥρμηται βαδίζειν ἐθέλει, ἀλλὰ ἀναδύεται.

269. οὐδὲ γὰρ οὐδ' ἐμέ] τὸ ἓν οὐ περιττεύει. τὸ δὲ λελασμένον ἀντὶ τοῦ ἐπιλήσμονα, ἢ ἐπιλαθέσθαι.

30. στίλβοντες Bekkerus] στίλβουσαι

270. μετὰ πρώτοισι] ἀντὶ τοῦ ἐν πρώτοις. δοτέον δὲ Μηριόνῃ τὸν ἔπαινον πρὸς ἰδίαν ὠφέλειαν. Ἰδομενεὺς μὲν γὰρ αὐτὸν ἀπὸ τῶν ἰδίων ἐγκωμίων προτρέπεται· ὁ δὲ ἀντεπεισάγει ὡς αὐτεπάγγελτός ἐστιν ἐν τῇ μάχῃ.

275. ἀρετήν] τὴν κατὰ τὸν πολεμον ἀνδρείαν. τὸ δὲ ταῦτα λέγεσθαι ἀντὶ τοῦ περὶ τούτων λέγειν.

276. *εἰ γὰρ νῦν] οὕτως συντακτέον· εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι ἐς λόχον· οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο. τὰ δὲ λοιπὰ διὰ μέσου πρὸς τὸ δυσυπομόνητον εἶναι καὶ τοῖς ἀνδρειοτάτοις τὴν ἐνέδραν.

277. ἔνθα μάλιστ'] ἐν μὲν γὰρ τοῖς πολέμοις ἔστι συνιδεῖν πρὸς ποίους καὶ πόσους πολεμοῦμεν· ἐν δὲ τοῖς λόχοις εὐτολμία φανεροῦται.

279. κακοῦ] τοῦ δειλοῦ· ψυχῆς γὰρ κάκωσις ἡ δειλία.

281. μετοκλάζει] ὀκλάζων μετακαθέζεται ὁ δειλός· ἢ ὁ θυμὸς αὐτὸν ὀκλάζειν ποιεῖ. ἐπεξηγεῖται δὲ τὸ μετοκλάζει διὰ τοῦ ἐπ' ἀμφοτέρους πόδας ἵζει. ἀκόπως δὲ τὸ σχῆμα τοῦ ἀποδειλιῶντος ἐσήμανε καὶ συμμεταβάλλοντος τὸ σῶμα ταῖς τῆς ψυχῆς μεταβολαῖς· ἅμα καὶ τοῦ δειλοῦ. ἐζωγράφησε δὲ ἀμφοτέρους, παρακαλῶν ἡμᾶς εἰς ἀλκήν.

282. κῆρας ὀϊομένῳ] πολλοὺς θανάτους ὑπονοοῦντι.

284. οὔτε τι λίην] ἀντὶ τοῦ οὐδὲ ὅλως. ἢ ὅτι τὸ μηδὲ ὅλως φοβεῖσθαι ἀναισθησία· ἡ γὰρ ἀρετὴ μεσότης, οὐκ ἀκρότης.

287. τεόν γε] τοῦ θαρσαλέου δηλονότι. λείπει δὲ τὸ τίς.

291. προμάχων ὀαριστύν] τὴν μάχην μεταφορικῶς· κυρίως γὰρ ὀαρίζειν τὸ διδόναι τι καὶ λαμβάνειν καὶ ὁμιλεῖν.

292. νηπύτιοι] πνυτὸν γὰρ τὸν φρόνιμον ἔλεγον· ὅθεν καὶ τοῦτο μετὰ τοῦ νη στερητικοῦ καὶ τῆς ἀποβολῆς τοῦ ν.

297. μέγα πτολέμοιο μεμηλώς] πολλὴν φροντίδα μάχης ἔχων.

298. οἷος δὲ] δύο δυσὶ πολεμικοῖς δαίμοσιν ἀπείκασεν, ἐμφερῆ λαβὼν εἰκόνα. ἅμα δὲ καὶ τὴν τάξιν διὰ τῆς εἰκόνος τετήρηκεν· ὡς γὰρ ὁ Φόβος τῷ πατρὶ ἕπεται ἐν τῇ τάξει, οὕτω, καὶ ὁ Μηριόνης τῷ φίλῳ, νέος τε πρεσβυτέρῳ, καὶ τὴν τοῦ θεράποντος χώραν ἔχων.

5. *ἀνδρείαν] ἀνδρίαν
27. *πνυτὸν] πυκνὸν
28. Post haec repetitur a manu secunda scholion Porphyrii, quod legitur ad 2, 169.

πόλεμόνδε μέτεισι] ἢ τὸ δὲ περισσὸν, ἢ τὸ μετά, ἵν' ᾖ πόλεμόνδε εἶσι.

299. ἀεὶ Ἐνυαλίῳ τὸν Μηριόνην εἰκάζων, νῦν τὴν δευτέραν ἀπένειμεν αὐτῷ τάξιν διὰ τὸ σὺν Ἰδομενεῖ εἶναι.

301. ἐκ Θρῄκης] ὅτι παρ' αὐτοῖς μᾶλλον τιμῶνται καὶ διατρίβουσιν.

Ἐφύρους λέγει τοὺς Θεσπρωτούς· μάχιμοι δὲ οὗτοι καὶ δραστήριοι· Φλεγύας δὲ τοὺς Γορτυνίους.

307. Δευκαλίδη] ἀπὸ τοῦ Δευκαλιωνίδη κατὰ συγκοπὴν ἐγένετο. τὸ δὲ πῇ ἀντὶ τοῦ ποῦ.

309. ἐπεὶ οὔ ποθι] οὐδαμοῦ, φησὶν, ἐνδεεῖς τοσοῦτον οἶμαι τῶν βοηθησόντων εἶναι τοὺς Ἀχαιοὺς, ὅσον ἐπὶ τὰ ἀριστερά· ἐκεῖ γὰρ ἐρράγη τὸ τεῖχος, καὶ ὁ Ἕκτωρ ἐκεῖ ἐμάχετο.

315. ἄδην ἐλόωσι] λίαν ἀπελάσουσι· γίνεται δὲ τὸ ἄδην παρὰ τὸ ἄδος, ὃ δηλοῖ τὸ πλῆθος. ἐσσύμενον δὲ τὸ ἐφιέμενον.

321. μέγας Τελαμώνιος Αἴας] ὄντως μέγας ὁ Αἴας ἐστὶ, καὶ ὑπ' αὐτῶν ἐπαινεῖται διὰ τὴν ἀνδρείαν.

322. ἔδοι] πολλάκις γὰρ θεοὶ ἀνδράσιν ὁμοιοῦνται· διὸ προσέθηκε τὸ ἔδοι. ἀκτὴ δὲ τὸ προηγμένον καὶ τῶν ἄλλων προτιμηθέν.

324. οὐδ' ἂν Ἀχιλλῆϊ] θέλει λέγειν ὅτι τὸ βίαιον Ἀχιλλέως μόνος Αἴας ὑπομένει. ἐναβρύνεται δὲ ἀεὶ τῷ Ἀχιλλεῖ.

325. ποσὶ δ' οὔπως ἔστιν ἐρίζειν] δικαίως· πρεσβύτερος γάρ ἐστιν. ἡ δὲ τοῦ τάχους ὑπεξαίρεσις τὸ τῆς ἀλκῆς πιστὸν ἐμφαίνει.

326. ὧδ'] οὕτως ὡς ἔχεις νῦν ὁρμῆς. τὸ δὲ ἔχε ἀντὶ τοῦ πορεύου, βάδιζε.

329. ἦρχ' ἴμεν] θαυμάσια τὰ ἤθη· καὶ γὰρ παρὸν αὐτοῖς ἡσυχάζειν οὗτοι δὲ ταττόμενοι συνήθως, τὸ κοινῇ λυσιτελοῦν τοῦ ἰδίᾳ προκρίνουσιν.

333. ὁμόν] ἰσοβαρές· λέγει δὲ τῶν περὶ Ἰδομενέα Τρώων. πρυμνῇσι δὲ ταῖς ἐσχάταις.

334. λιγέων] τῶν ἐτησίων λέγει· οὗτοι γὰρ θέρους πνέουσιν, ὅτε κόνις ἐστίν. εἰκότως δὲ λιγεῖς εἴρηνται· κατὰ λεπτοῦ γὰρ πνέοντες ἀέρος ὑποσυρίττουσιν.

335. ὅτε τε πλείστη κόνις] ψαφαρὰ γάρ ἐστιν ἡ γῆ διὰ τὴν ἔκκαυσιν τοῦ κυνός.

336. οἵ τ' ἄμυδις] λείπει τὸ πνέοντες, ἵν' ᾖ, οἳ ὁμοῦ πνέοντες ὑποσύρουσι τὴν κόνιν δι' ἧς ὁμίχλη μεγίστη γίνεται.

16. * ἀνδρείαν] ἀνδρίαν 32. * ψαφαρὰ] ψαρά

337. ὣς ἄρα τῶν] τὸ συμπεφυρμένον αὐτῶν εἴκασε τῇ ὑπὸ τῶν ἀνέμων μιγείσῃ κόνει.

339. ἔφριξεν δὲ μάχη] ποιητικῶς ἔφη φρίττειν τὴν μάχην διὰ τῆς ἀνατάσεως τῶν δοράτων. ἐγγὺς δὲ παραβολῆς ἡ μεταφορά· ἐν βραχεῖ γοῦν τὸ μετέωρον τῶν δοράτων καὶ τὴν κίνησιν δηλοῖ.

340. ἄμερδεν] ἐστέρισκε τοῦ ὁρᾶν.

*Πορφυρίου. ἠξίους ἡμᾶς παρατηροῦντας τὴν τοῦ ποιητοῦ ἐν πᾶσι λεπτουργίαν ἰχνεύειν καὶ τὴν ἐν τοῖς ὀνόμασιν αὐτοῦ πρὸς αὐτὸν ὁμολογίαν. φωτὸς γὰρ ἐν τοῖς ὀφθαλμοῖς ἡμῶν ὄντος συμμέτρου δι' οὗ ὁρῶμεν τὰ πεφωτισμένα, τὴν τυφλότητα ὁτὲ μέν φησιν "ὀφθαλμοῦ ἀλάωσεν" (Od. 1, 69), ἀφῃρῆσθαι τὸ λεύσσειν παριστάς, ὁτὲ δὲ "ὀφθαλμῶν μὲν ἄμερσε" (Od. 8, 64), τὸ τοῦ μαίρειν ἐστερῆσθαι λέγων σκοτεινόν· καὶ τὸ τοῦ μαίρειν ἀφῃρημένον εἴδωλον ἀμαυρὸν ἔφη (Od. 4, 824)· φωτὸς γὰρ παρουσία καὶ ὀφθαλμὸς ὁρῶν τὰ ὁρώμενα φαίνεται. διττῆς οὖν ὀφθαλμῶν οὔσης καὶ κατὰ Πλάτωνα ἐπιταράξεως—ἢ γὰρ διὰ σκότος ἢ δι' ὑπερβολὴν τοῦ συμμέτρου φωτός—τὸ μὲν διὰ σκότος καὶ τὸ μήτε μαίρειν μήτε μαρμαίρειν ἀμέρθη εἶπε καὶ ἀμαυρόν, τὸ δὲ διὰ στιλβηδόνα ἐπὶ τοῦ χαλκοῦ· "ὄσσε δ' ἄμερδεν αὐγὴ χαλκείη κορύθων ἀπολαμπομενάων θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν" (Il. 13, 340). ὅθεν καὶ ἐπίθετον τοῦ χαλκοῦ ἐφιλοτέχνησε, τὸ νώροπα χαλκόν (Il. 2, 578) καὶ ἤνοπι χαλκῷ (Il. 16, 408), σημαίνων τὸν μὴ ἐῶντα τοὺς ὦπας ὁρᾶν διὰ τὴν προσοῦσαν στιλβηδόνα. εἰ δὴ τὸ μέρδειν τὸ μαίρειν ἐστὶ καὶ τὸ μὴ μέρδειν ποιοῦν ἀμέρδειν, τὸ ἄγαν μέρδειν σμερδαλέον ἂν εἴη, τῆς ζα ἐγκειμένης ὡς τὸ ζαχρηεῖς. ὅταν οὖν ἐπὶ τοῦ δράκοντος λέγῃ "σμερδαλέον δὲ δέδορκε" (Il. 22, 95). τὸ ἄγαν στίλβον τῶν ὀφθαλμῶν ἀκουσόμεθα· καὶ γὰρ δράκων παρὰ τὸ δράκειν εἴρηται. ἐπὶ τῶν λεόντων δὲ ὡσαύτως τὸ "σμερδαλέω δὲ λέοντε" (Il. 18, 579) ἐπὶ τῆς ἐκφοβούσης αὐτῶν ἐνοράσεως ἐκδεξόμεθα· καὶ γὰρ ὁ λέων παρὰ τὸ λεύσσειν ὠνόμασται. αὐτὸς γὰρ ἡρμήνευσε τί τὸ σμερδαλέον ἐπ' αὐτῶν, εἰπὼν γλαυκιόων (Il. 20, 172). καὶ ἡ ἀσπὶς δὲ τῆς Ἀθηνᾶς διὰ τὴν μαρμαρυγὴν "δεινή τε σμερδνή τε" (Il.

7. *Πορφυρίου] om. Transcriptum hoc scholion est ex Ζητημάτων Ὁμηρικῶν c. 9. nonnulla cum diversitate scripturae.

ἠξίους ἡμᾶς] Alloquitur Anatolium, cui Porphyrius Ζητήματα dedicavit.

5, 742)· δεινὸν γὰρ καὶ φοβερὸν καὶ τὸ ἄγαν δεινὸν καὶ στίλβον, ὡς ἐπὶ τῆς γλαυκώπιδος Ἀθηνᾶς ἔφη "δεινὼ δέ οἱ ὄσσε φάανθεν" (Il. 1, 200), ὅπερ ἐπ' ἄλλων ἔφη "ὄμματα μαρμαίροντα" (Il. 3, 397). γλαυκιόωντες δὲ οἱ λέοντες καὶ ἡ Ἀθηνᾶ γλαυκῶπις ἀπὸ τοῦ γάλακτος, ὅ ἐστιν ἄσκιον καὶ διὰ τοῦτο λευκόν, ὑπ' αὐτοῦ εἴρηται· μέλαινα γὰρ ἡ σκιά, οἷον "σκιόωντο δὲ πᾶσαι ἀγυιαί" (Od. 2, 388), τουτέστι δύντος τοῦ ἡλίου συνεσκοτοῦντο. ὀξὺ δὲ τὸ λευκόν, ὡς τὸ μέλαν ἀμβλύ· ἡ οὖν ὀξὺ ὁρῶσα γλαυκῶπις. ἀπὸ δὲ τοῦ γάλακτος καὶ τῆς στιλβηδόνος γλαυκὴ καὶ ἡ θάλασσα εἴρηται, καὶ ἡ τοῦ ὀφθαλμοῦ κόρη γλήνη καὶ ὁ ἐν σκιᾷ τρεφόμενος καὶ λευκὸς καὶ τρίγληνα τὰ ἐλλόβια, ἀπὸ τοῦ ἐν λευκότητι στίλβειν· καὶ "ὃς γλήνεα πολλὰ κεχάνδει" (Il. 24, 192), τὰ μὴ ἐρυπωμένα ἱμάτια, ἀλλὰ στιλπνὰ διὰ καθαρότητα. καὶ ζοφουμένη θάλασσα "μελάνει δέ τε πόντος" (Il. 7, 64) λέγεται, ἀτάραχος γὰρ οὖσα καὶ διειδής ἐστι "λευκὴ δ' ἦν ἀμφὶ γαλήνη" (Od. 10, 94)· καὶ γὰρ ἡ γαλήνη ἀπὸ τοῦ γάλακτος εἴρηται. καὶ ἐπεὶ τὸ μέλαν σκυθρωπόν, τὸ δὲ λευκὸν ἀντίκειται τῷ μέλανι, ἱλαρὸν ἂν εἴη, γέλως δ' ἡ ἱλαρότης· "γέλασε δὲ πᾶσα περὶ χθὼν" φησί "χαλκοῦ ὑπὸ στεροπῆς" (Il. 19, 362), τουτέστι λαμπρυνθεῖσα φαιδρὰ γέγονεν. οὕτω νόει καὶ τὸ κόρυθες καὶ τὸ θώρηκες λαμπρὸν γανόωντες (265), ἀπὸ τῆς αὐγῆς τῆς λαμπούσης καὶ διὰ τῆς στιλβηδόνος φαιδρυνομένης. καὶ ὁ γαίων δὲ τῷ κύδεϊ (Il. 1, 405), ὁ διαχεόμενος καὶ λαμπρυνόμενος διὰ τὴν δόξαν, ἐπειδὴ φῶς ἐστὶν ἐπὶ τοῖς ὀφθαλμοῖς, ὅταν μὲν ἥμερον βλέπωσιν, φάεα αὐτὰ καλεῖ ("κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά" Od. 16, 15), καὶ ἥμερον ζῷον ἄνθρωπος φῶς ζωῆς ἔτι μετέχον, ἀπὸ τοῦ ἐν τοῖς ὀφθαλμοῖς φωτός· ὅταν γὰρ ἀποθάνῃ "κατὰ δ' ὄσσ' ἐρεβεννὴ νὺξ ἐκάλυψεν" (Il. 5, 659)· ὅταν γὰρ ἐξαγριωθῶσιν ὑπ' ὀργῆς καὶ ἐκκαυθῶσιν, ἔτι μὲν ἀρχομένης τῆς ὀργῆς "πυρὶ λαμπετόωντι ἐΐκτην" (Il. 1, 104), κρατησάσης δὲ "πῦρ ὀφθαλμοῖσι δεδορκώς" (Od. 19, 446)· καὶ γὰρ τὸ φῶς ἀπὸ πυρός. καὶ τὸ ὕφαιμον δὲ ὁρᾶν, διὰ τὸ πυρὶ ἐοικέναι τὸ αἷμα, σμερδαλέον εἴρηται· "σμερδαλέος δ' αὐτῇσι φάνη κεκακωμένος ἅλμῃ" (Od. 6, 137) τουτέστιν ὕφαιμον βλέπων διὰ τὸ πυρωποὺς ἔχειν τοὺς ὀφθαλμοὺς ἐκ τῆς ἁλός.

21. *αὐγῆς* H. Stephanus apud Porph. pro *αὐτῆς*] *γῆς*
26 et 31. *φῶς*] *φ*ˢ

καὶ ἐπὶ τοῦ πυρὸς δίκην μαινομένου εἰπὼν "μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ οὔρεσι μαίνεται" (Il. 15, 605), ἐπάγει "τὼ δέ οἱ ὄσσε λαμπέσθην." λοιπὸν δὲ καὶ κατὰ μεταφορὰν σμερδαλέα μὲν τὰ οἰκήματα τοῦ Ἅιδου ἔφη (Il. 20, 65), ἀπὸ τοῦ ὕφαιμα εἶναι καὶ φόνων πλήρη, ἐπὶ τὴν ὄψιν ἀναφέρων. ἐπὶ φωνῆς δὲ λαμπρᾶς καὶ διαφανοῦς, "σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν" (Il. 2, 334) καὶ "σμερδνὸν βοόων" (Il. 15, 687)· καὶ γὰρ ἐπ' ὀρχήσεως συντόνου μεταφέρων "μαρμαρυγάς" ἔφη "θηεῖτο ποδῶν" (Od. 8, 265), τὰς ἐν τῇ κινήσει στιλβηδόνας, ἃς ποιεῖ καὶ τὸ πῦρ κινούμενον. καὶ οὐχ οἱ φιλόσοφοι πρῶτοι τὸ λευκὸν ἀφωρίσαντο τὸ διακριτικὸν ὄψεως, ἀλλὰ πρὸ αὐτῶν Ὅμηρος, μαρμαίρειν λέγων τὸ λάμπειν, ὅ ἐστι μερίζειν καὶ διαιρεῖν, ἀφ' οὗ τὸ διακρίνειν· ὅθεν τὸ μὴ μερίζον, ἀλλὰ σκοτεινὸν ἀμαυρόν. καὶ ὅτι παρὰ τὸ μερίζειν καὶ διακρίνειν καὶ διαιρεῖν κέκληκε τὸ φωτίζειν μαρμαίρειν, δηλοῖ τὸ φῶς δάος καλέσας (ὡς τὸ "δάος μετὰ χερσὶν ἔχουσαι" Il. 24, 647), ἀφ' οὗ αἱ δεκτικαὶ τοῦ φωτὸς δαΐδες καὶ δᾷδες.

342. νεοσμήκτων] οὐ καινῶν, φησὶν, ἀλλὰ διὰ τοῦ ἐπιθέτου τὴν περὶ αὐτὰ τῶν ἐχόντων δηλοῖ ἐπιμέλειαν.

χαρίεν καὶ τὸ ποικίλως τὴν κατ' εἶδος διαφορὰν φράζειν, καὶ τὰς μὲν κόρυθας λαμπομένας, τοὺς δὲ θώρακας νεοσμήκτους, καὶ φαεινὰς τὰς ἀσπίδας. διδάσκει οὖν ἐπιμελεῖσθαι τῶν ὅπλων τοὺς περὶ αὐτὰ ἀναστρεφομένους.

343. εἴη] ἀντὶ τοῦ ἦν. κατὰ συλλογισμὸν δὲ ἡ αὔξησις· εἰ γὰρ ὁ μόνον ὁρῶν ἐλυπήθη, τί μᾶλλον ἐπὶ τῶν ἐνεργούντων αὐτῶν δεῖ σκοπεῖν;

345. ἀμφίς] κεχωρισμένως καὶ μετ' ἀμφισβητήσεως.

348. κυδαίνων Ἀχιλῆα] τὸ "Διὸς δ' ἐτελείετο βουλή" (Il. 1, 5) δηλοῖ. ὑπὲρ παραμυθίας δὲ τῶν ἀκροατῶν ταῦτα διὰ μέσου φησί· σχεδὸν γὰρ ἀποδείκνυσιν ἀμφοτέρους τοῖς Ἕλλησι βοηθοῦντας, τὸν μὲν ἑνὶ, τὸν δὲ τῷ πλήθει.

351. μετελθών] ἡ μετά πρὸς τὸ Ἀργείους. καὶ ἔστιν ἀντὶ τῆς ἐπί.

352. ὑπεξαναδύς] ἡ ὑπό τὴν κάτω δηλοῖ σχέσιν, τὴν ἔξω ἡ ἔξ, καὶ τὴν ἄνω ἡ ἀνά. ἢ περισσὸν τὸ ὑπέξ· ἀναστρέφει δὲ αὐτὸ ἐν τῷ

10. οὐχ οἱ Bekkerus] οὐχὶ 14. φωτίζειν] φῶ[τῦ]

ἐξυπανέστη (Il. 2, 267). ταπεινὸς δὲ ὁ λάθρα θέλων βοηθεῖν. διδάσκει δὲ μήτε τοὺς φίλους παρορᾶν μήτε τοῖς φιλτάτοις προσκρούειν. ἡ δὲ συνέχεια τῶν προθέσεων τὸν λάθρᾳ μὲν προθύμως δὲ ἀναδύοντα δηλοῖ.

354. ἴα πάτρη] ἀντὶ τοῦ μία πατριά. ἠρέμα δὲ ἀφαιρεῖ διὰ τούτου τὸ ἐπὶ τῇ γενεᾷ οἴημα τῶν ἀνθρώπων· τιμιώτερα γὰρ τὰ πλεονεκτήματα.

355. ἀλλὰ Ζεὺς πρότερος] τοὺς πρεσβυτέρους ἀεὶ πολυπειροτέρους φησίν. ἄμφω δὲ εἰς σύστασιν παρέλαβε, τό τε τῆς ἡλικίας καὶ τῆς σοφίας. οὐ γὰρ περὶ τῆς δυνάμεως εἶπεν· αὔξει γὰρ τῇ δυνάμει Ποσειδῶνα, καὶ τιμῇ, οὐ ῥώμῃ φησὶν αὐτὸν εἴκειν Διί. διατείνει δὲ καὶ ἐπὶ πάντων ὁ λόγος, ὅτι δεῖ αἰδεῖσθαι ἀδελφοὺς πρεσβυτέρους ἅμα καὶ σοφωτέρους.

358. * ὁ Ζεὺς καὶ ὁ Πόσειδῶν τὰ πέρατα τῆς μάχης καὶ τοῦ πολέμου τείναντες κατ' ἀμφοτέρων τῶν στρατῶν ἔδησαν ἰσχυρῷ δεσμῷ, ὃς δεσμὸς πολλοῖς αἴτιος ἀπωλείας ἐγένετο· τέλος γὰρ ὑποτίθεται ἀλληγορικῶς τὰς ἑκατέρωθεν ἐξοχὰς ἐπιπεπλεγμένας, μίαν μὲν τῶν Τρώων, μίαν δὲ τῶν Ἑλλήνων καὶ Ποσειδῶνος κατὰ Διὸς γνώμην, καὶ τῶν ἐγκαταπεπλεγμένων κτεινομένων, ἀπὸ τῶν ἐξοχῶν δὲ τῶν μὴ δυναμένων μήτε ῥαγῆναι μήτε λυθῆναι. ταῦτα οὖν ἀλληγορεῖ εἰς τὸ ἰσόρροπον αὐτῶν τὴν ἰσχὺν συστῆσαι διὰ τὰς τῶν θεῶν βοηθείας.

μικτὴ ἡ ἀλληγορία. ἔχει δέ τι ἴδιον ἡ παραβολή· οὐ γὰρ ἰδίᾳ περὶ ἑκατέρου εἶπε τῆς τε εἰκόνος καὶ τοῦ εἰκονιζομένου πράγματος, ὅτι ὥσπερ οἱ ἐξασφαλιζόμενοι τοὺς δεσμούς, τὰ πέρατα αὐτῶν ἄλλοις ἐπιβαλόντες δεσμοῖς καὶ συμπλέξαντες, δυσδιάλυτον ποιοῦσι τὸν δεσμόν, οὕτω καὶ οἱ θεοὶ τὴν φιλονεικίαν τῶν στρατευμάτων ἔπλεξαν ὥστε δυσδιάλυτον αὐτὴν γενέσθαι· ἀλλ' ὥσπερ ἐπὶ μεταφορᾶς κέχρηται ἀπὸ τῶν δεσμῶν ἐπὶ τὴν μάχην. ἔριδος γὰρ πέρας καὶ πολέμου πέρας ὥσπερ σχοινίων πέρατα ὠνόμασε· καὶ τὸ ἐπαλλάξαι δὲ ὡς ἐπὶ δεσμοῦ ἔλαβε, καὶ τὸ τανύσαι, καὶ τὰ ἑξῆς ὀνόματα. τὸ δὲ λεγόμενον οὕτως, ὅτι ὁ Ποσειδῶν καὶ ὁ Ζεὺς τὸ πέρας τῆς ἔριδος καὶ τοῦ πολέμου συμπλέξαντες ἥπλωσαν αὐτὸ ἐπ' ἀμφοτέρων τῶν στρατιωτῶν. Κράτης δὲ ἐπ' ἀμφοτέρων τῶν στρατευ-

19. κτεινομένων] κατατεινομένων Bekkerus. 21. * συστῆσαι] στῆσαι

μάτων φησί· Τρῶες γὰρ καὶ Ἕλληνες. πῶς δὲ ὁ Ζεὺς ἀπεστραμμένος ὢν συμβάλλει τὴν μάχην; ἢ τάχα τοῦτο ἐπὶ τὸν νοῦν αὐτοῦ ἀνενεκτέον, θέλει δὲ εἰπεῖν ὅτι ὁ μὲν ἔνθεν ὁ δὲ ἔνθεν εἵλκυσαν· ὅθεν τὸ ἀδιαλύτως μάχεσθαι παρίστησιν.

* Πορφυρίου. ἐν τοῖς οὕτω λεγομένοις "τὼ δ' ἔριδος—γούνατ' ἔλυσεν" δυνατώτερα καὶ τολμηρότερα ἀπὸ τῶν εἰς πέρατα σχοινία συμβαλλόντων καὶ εἰς δεσμὸν ἐπαλλαττόντων τὰ πέρατα, ἔπειτα τεινόντων μετενήνοχεν, ἔριδος, λέγων, καὶ πολέμου τὰ πέρατα ἐναλλάξαντες καὶ δήσαντες ἐτάνυσαν ἐπ' ἀλλήλους, οὕτως ἰσχυρῶς τὴν ἔριν τῷ πολέμῳ συνδήσαντες, ὡς τὸν δεσμὸν τοῦτον ἄρρηκτον μὲν εἶναι καὶ ἄλυτον αὐτοῖς, πολλῶν δὲ γούνατ' ἔλυσεν. σκέψαι δὲ εἰ μὴ κακοζήλως εἶπε τὸν μὲν δεσμὸν ἄρρηκτον καὶ ἄλυτον, πολλῶν δὲ γούνατ' ἔλυσεν. ἐν δὲ ἄλλοις οὐκ ἔφη ἄρρηκτον, ἀλλ' "ἐν δ' αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν" (Il. 20, 55) καὶ ἐν ἄλλοις.

359. *ἐπαλλάξαντες] ἐπιπλέξαντες καὶ ὡσανεὶ δήσαντες.

361. σπαρτοπόλιος δηλονότι, ὠμογέρων δὲ Ὀδυσσεὺς μετ' αὐτόν, γέρων δὲ Νέστωρ μετ' Ὀδυσσέα.

363. ἤτοι ἔνδον τοῦ οἴκου Πριάμου, ἢ ἔνδον Ἰλίου. ἄμεινον δὲ τὸ ἔνδον ἐόντα ἀντὶ τοῦ ἐνόντα καὶ παρόντα, ὡς τὸ "δεῖπνον δὲ ξείνῳ δότω ταμίη ἔνδον ἐόντων" (Od. 7, 166), ὃ ἀντιφράζων φησὶ "χαριζομένη παρεόντων." Κάβησα δὲ πόλις Ἑλλησποντίς.

364. ὅς ῥα νέον] κατὰ τοῦτο ἄρα καὶ φοβῆσαι τοὺς Τρῶάς φησι τὸν Ἰδομενέα, ὅτι συμμαχίαν αὐτῶν νεωτέραν ἀφείλετο. θαυμαστῶς δὲ ἐπὶ μὲν Αἴαντος ἔφη "φόως δ' ἑτάροισιν ἔθηκε" (Il. 6, 7)· γενναῖος ὁ ἐκεῖσε ἀναιρεθεὶς Ἀκάμας· ἐπὶ δὲ Ὀθρυονέως οὐ σωτηρίαν φησὶν ὑπὸ Ἰδομενέως τοῖς Ἕλλησι γενέσθαι, ἀλλὰ φόβον τοῖς βαρβάροις· ἀλαζόνος γάρ τινος καὶ ἀνοήτου, ἀλλ' οὐκ ἀνδρείου ἀναιρεθέντος ἀπίθανον ἦν ὠφεληθήσεσθαι Ἕλληνας. αὔξεται δὲ διὰ τοῦ φόβου τῶν Τρώων καὶ ἡ Ὀθρυονέως ἀλαζονεία, ὡς δηλονότι κἀκείνων ταῖς ὑποσχέσεσι πεπιστευκότων.

365. αὕτη τῶν ἀγάμων ἀρίστη ἦν, τῶν δὲ γαμηθεισῶν Λαοδίκη. τινὲς δὲ εἰς τὸ θυγατρῶν στίζουσιν. οἱ δὲ εἶδος τὴν εἴδησίν φασι τῆς μαντείας. βαρβαρικὸν δὲ καὶ τοῦτο· οὐδέποτε γὰρ εὑρήσομεν παρ' Ἕλλησι τὸ ἐπὶ μισθῷ στρατεύειν καὶ πρότερον αἰτεῖν καὶ

5. * Πορφυρίου] om.
6. δυνατώτερα καὶ τολμηρότερα] δυνατώτατα καὶ τολμηρότατα Bekk.

χωρὶς ὑποσχέσεως μὴ συμμαχεῖν. ὅρα δὲ καὶ τὸν μισθόν· κόρης γὰρ ἐπιθυμῶν ἧκεν, οὐχ ὅτι βασιλικὴ, ἀλλ' ὅτι εἶδος ἀρίστη· καίτοι παρ' Ἕλλησιν οἱ ἀκολαστότατοι μνηστῆρές φασιν "εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν" (Od. 2, 206). καὶ τὸ ἀνάεδνον δὲ ἀλαζονικὸν, ὅπου γε καὶ οἱ ἀδικώτατοι μνηστῆρες ἕδνα τῇ Πηνελόπῃ παρέχουσιν.

366. ἀνάεδνον] δίχα τοῦ δοῦναι ἕδνα.

371. βιβάντα] ὡς ἱστάντα· οἰκεῖον δὲ τῷ ὑψηλόφρονι καὶ τὸ βάδισμα. ὡς μεγαλοφρονοῦντος δὲ αὐτοῦ ἐπὶ τῷ θώρακι περὶ τούτου ἀναφωνεῖ.

374. ἢ ἐπὶ τῶν αὐτομόλων ἢ ἐπὶ πάντων αἰχμαλώτων ἢ ἐπὶ τῶν ἐπ' ἐλπίδι ἐπαγγελμάτων αἱ ἀναφωνήσεις τάττονται. οἱ μὲν οὖν Τρῶες αὐτὸν ἐλπίδι νίκης θαυμάζουσι, καὶ ἀναιρουμένου φοβοῦνται· οἱ δὲ Ἕλληνες ἐπὶ ἀβελτηρίᾳ ἐπιφωνοῦσιν. φονεύων δὲ αὐτὸν ὁ Ἰδομενεὺς διδάσκει μὴ τὰ ὑπὲρ δύναμιν ἐπαγγέλλεσθαι, μήτε μὴν ταῖς τοιαύταις πιστεύειν ὑποσχέσεσιν. οὐ καυχηματίαν δὲ προφέρει λόγον, ἀλλὰ σαρκασμοῦ ἀνάπλεων· λέγει γὰρ αἰνίζομαι ἤτοι ἐπαινῶ, παρὰ τὸν αἶνον, ἢ φοβοῦμαι, παρὰ τὸ αἰνόν.

376. ἐλέγχει αὐτοῦ τὸ ἀνόητον ὁ Ἰδομενεὺς καὶ τὴν ὑπόσχεσιν ὀνειδίζει. ἔστι δὲ τὸ ὁ δ' ἀνθ' ὑποτακτικοῦ, ὃς δὴ ὑπέσχετο, ὁμοίως τῷ "ὁ δέ οἱ παρελέξατο λάθρῃ" (Il. 2, 515).

381. συνώμεθα] ἤτοι συνθώμεθα· ὅθεν καὶ τὰς συνθήκας συνημοσύνας φησί. λέγει δὲ ὅτι συμβόλαια ποιήσωμεν.

382. πενθεροί· οἱ τὰ ἕδνα λαμβάνοντες. ὀξύνεται δὲ ὡς τὸ χρυσωταί.

384. τῷ δ' Ἄσιος] πιθανὸν τὸ ἀλαζόνι ἐπιβοηθεῖν τὸν ὁμοιότροπον, καὶ ἄμφω ὑφ' ἑνὸς ἀναιρεῖσθαι.

385. πεζὸς πρόσθ' ἵππων] καὶ ταῦτα εἰς τὸ ἦθος Ἀσίου, ὅτι οὐκ ἀφειστήκει τοῦ ἅρματος· ἄλλῳ γὰρ οὐδενὶ ἐπήλπιζεν ἢ τῷ κάλλει τῶν ἵππων. τὸ ἕτοιμον δὲ τῆς φυγῆς καὶ τὴν δειλίαν δηλοῖ· οὕτω γὰρ ἦν παρεσκευασμένος ὡς καταπνεῖσθαι ὑπὸ τῶν ἵππων.

388. λαιμὸν ὑπ' ἀνθερεῶνα] τὸν ὑπ' ἀνθερεῶνα λαιμόν. τινὲς δὲ περισσεύειν φασὶ τὴν πρό, ἵν' ᾖ διήλασεν. ὁ δὲ Ἡρωδιανός φησιν ὅτι εἰς τὸ πρόσθεν διήλασεν.

5. * γε καὶ] καὶ om. 29. * ἅρματος] πράγματος

389. ἀχερωΐς] ἡ λεύκη· ταύτην γὰρ, φασὶν, Ἡρακλῆς ἀνήγαγεν ἐξ Ἀχέροντος, ὅς ποταμός ἐστι τῶν καταχθονίων.

390. βλωθρή] τινὲς ἁπαλήν, κατὰ Ἀρκάδας· οἱ δὲ ὑψηλήν, κατὰ Βοιωτοὺς, ἤτοι φλοιοβαρῆ, κατὰ Μάγνητας, ἢ τραχεῖαν, κατὰ Δρύοπας, ἢ ηὐξημένην, κατὰ Τυρσηνοὺς, ἢ σκληράν, κατὰ Καρυστίους. ἄκρως δὲ διὰ τῶν ἐπιθέτων τὰ ἰδιώματα παρίστησι, δρυσὶν ὑψικόμοισιν, ἰτέαι ὠλεσίκαρποι, αἰγείρων ὑδατοτρεφέων, τανύφλοιόν τε κράνειαν.

οὔρεσι τέκτονες] Νικίας ὑφ' ἓν οὐρεσιτέκτονες κακῶς· ἔδει γὰρ καὶ τὸ οὔρεσι βουκόλοι (571) συνάπτειν. ἄλλως τε ἔσονται οἱ ὄρη κατασκευάζοντες. δύο οὖν μέρη λόγου ἐστὶ, καὶ λείπει τὸ οὖσαν.

391. νεήκεσι] ὡς εὐμήκεσι. δηλοῖ δὲ τὸ νεακονήτοις.

392. πρόσθ' ἵππων καὶ δίφρου] διὰ τούτων τὴν περὶ τὸ ἅρμα ματαίαν αὐτοῦ σπουδὴν ἐμφανίζει.

393. βεβρυχώς] ἐναργῶς δείκνυσιν εἴδωλον ἥρωος ἐν αὐτῷ τῷ θυμῷ τὴν ψυχὴν ἀφιέντος καὶ ἀπρὶξ τῆς γῆς δεδραγμένου. τινὲς δὲ ἓν ἐξ ἀμφοῖν· ἐν τῷ βρυχᾶν γὰρ, φασὶ, τοῖς ὀδοῦσιν ἐδράσσετο τῆς γῆς. τὸ δὲ αἱματοέσσης μερικῶς ἀκουστέον, οἷον τῆς δι' αὐτοῦ αἱματοέσσης· καὶ γὰρ ἔμφασις δεδράχθαι αὐτὸν κόνεως πεφυρμένης τῷ ὑπ' αὐτοῦ αἵματι.

394. ἐκ δέ οἱ ἡνίοχος] ἐξεπλάγη τὰς φρένας ὁ ἡνίοχος ὡς ἐπί τινι παραδόξῳ· εἰκὸς γὰρ καὶ τὸν Ἀσίου ἡνίοχον ἀλαζόνα τινὰ καὶ ἀνόητον εἶναι, καὶ ἀκαταμάχητον τὸν δεσπότην οἰόμενον, εἶτα τῷ παραδόξῳ πτώματι ἐκπεπληγμένον. πιθανὸν τὸ πλάσμα εἰς τὸ ἁλῶναι καὶ τοὺς ἵππους· οὐ γὰρ ἦν ἐκ τοῦ εὐχεροῦς ἁλίσκεσθαι, εἰ ἐσωφρόνει. διὰ τὴν ἔκπληξιν οὖν αὐτοῦ πιθανῶς τὸ τοιοῦτο πράττεται.

407. δινωτήν] περιφερῆ· δῖνος γὰρ ὁ τόρνος.

408. ἐάλη] συνειλήθη καὶ συνεκρύβη. ὁ δὲ Ἕκτωρ "ἀλεύατο." "ὁ δὲ Πουλυδάμας λιάσθη" (Il. 5, 320). τοσαύτη γάρ ἐστι τῷ ποιητῇ εὐπορία.

409. καρφαλέον] ἐναργεστάτη ἡ ὀνομασία· τοῦ γὰρ δόρατος πληγὴν μὲν οὐ ποιήσαντος, διαδραμόντος δὲ, ἄκρως τὸν ψόφον τῆς

2. ὃς—καταχθονίων] Haec a m. sec.

7. ἰτέαι ὠλεσίκαρποι] ἰτέαις ὠλεσικάρποις

9. Νικίας] νεικίας

26. * τοιοῦτο] τοιοῦτ̄

ἀσπίδος ἐμιμήσατο. διὰ δὲ τοῦ ἄϋσεν ἐλαφρὸν μὲν ἦχον, ἐπὶ πολὺ δὲ παρατεινόμενον ἔφρασε, τοῦ δόρατος καὶ τὴν ἴτυν παρατρίψαντος.

* καρφαλέον καὶ τὸ κατάξηρον· ὅθεν καὶ κάρφος.

411. ἀλλ' ἔβαλ' Ἱππασίδην] προσυνίστησι τὸν Δηΐφοβον, ἐπεὶ διάδοχος Ἕκτορος ἔσται. ἀλλ' ὅρα πάλιν τὴν τέχνην· ἀποτυχίᾳ γὰρ τοῦ Ἰδομενέως ἄλλον ἀναιρεῖ κατά τινα τύχην ἐπιτυχών.

412. ἧπαρ ὑπὸ πραπίδων] ἔβαλεν αὐτὸν εἰς τὸ ἧπαρ ὑποκάτω τῶν φρενῶν. φρένες δὲ αἱ διεζωσμέναι τὸν ὑπὸ τῷ πνεύμονι καὶ τῇ καρδίᾳ τόπον, ὃς καλεῖται διάφραγμα.

413. ἔκπαγλον] ὑβριστικόν. ἐξελέγχει δὲ ὁ ποιητὴς τὸ ἄκαιρον· οὐδὲν γὰρ μέγα διαπραξάμενος, οὐδὲ ἐπιτυχὼν τοῦ προκειμένου, οὐδέ τινα τῶν ἐπισήμων ἀνελὼν κομπάζει. σαρκασμὸς δὲ ταῦτα δι' Ἰδομενέα.

419. οὐδ' ἀχνύμενός περ] ὡς τῆς λύπης κολοβούσης τὰς ὁρμάς. διὸ καὶ Ἀχιλλεὺς καμὼν καὶ ὑπὲρ Πατρόκλου λυπούμενος οὐ κατελάμβανεν Ἕκτορα.

420. περίβη] ἵνα μὴ ὑπὸ πολεμίων σκυλευθῇ.

423. ἐπὶ τῶν φερόντων· Ζηνόδοτος δὲ γελοίως ἐπὶ τοῦ νεκροῦ.

425. νυκτὶ καλύψαι] περιφραστικῶς ἀντὶ τοῦ ἀναιρῆσαι.

428. Ἑλληνικὸν τὸ φρόνημα τὸ ὑπὲρ φίλων ἑτοίμως ἔχειν πεσεῖν. δουπῆσαι δὲ τὸ ἐν πολέμῳ ἀποθανεῖν, ἐξ οὗ καὶ τὸ "δεδουπότος Οἰδιπόδαο" (Il. 23, 679).

γαμβρὸς δ' ἦν] ὑπὲρ ποικιλίας ἐξήλλαξε τὴν ἀπαγγελίαν, οὐκ ἐπιμείνας ἐπὶ τῆς αἰτιατικῆς.

430. περὶ κῆρι] ὑπὲρ τὸ τῆς φύσεως μέτρον.

432. κάλλεϊ καὶ ἔργοισιν] καὶ ταῦτα εἰς σύστασιν τοῦ Ἀλκαθόου, ὅτι δι' ἀρετὴν τῆς ἀρίστης ἔτυχε γυναικός. ἔχει δέ τι παιδευτικὸν ὁ λόγος, ὅτι καὶ τοῖς γονεῦσι πρὸς τοὺς παῖδας εὔνοια πλείων γίνεται δι' ἀρετήν, οὐ διὰ τὴν φύσιν.

434. Ποσειδάων ἐδάμασσε] διὰ τὸ πιθανὸν καὶ ταῦτα πρόσκειται, μή πως ἀπιστοῖτο Ἰδομενεὺς ὑπὲρ τὴν ἡλικίαν τινὰ κατορθῶν.

435. θέλξας ὄσσε φαεινά] μεταβαλὼν τῆς ὀξυωπίας· ἵστατο γὰρ ἀκίνητος οὐχ ὁρῶν, τρόπον τινὰ τῆς ψυχῆς νεκρῷ ἐνοικούσης τῷ σώματι. μετεβλήθη γὰρ τῆς πρὶν εὐτονίας.

τὸ θέλξας ἀντὶ τοῦ παρατρέψας, ὡς τὸ "αὐτὰρ Ἀχαιῶν θέλγε νόον" (Il. 12, 254). ὅμοιον τῷ "στρεφεδίνηθεν δέ οἱ ὄσσε" (Il. 16, 792).

437. στήλην] παρὰ τὴν στάσιν καὶ τὸ λίαν ἡ στήλη ὠνόμασται.

438. στῆθος μέσον] ἐδίδαξε ποῦ κεῖται ἡ καρδία, ὡς καὶ Εὐδήμῳ δοκεῖ.

439. ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα] περιέρρηξεν αὐτοῦ τὸν χιτῶνα.

441. αὖον] ἀντὶ τοῦ ὀξύ· καὶ ἔστιν ἀκοῦσαι σχιζομένου θώρακος ψόφον. ἐρεικόμενος δὲ ἀντὶ τοῦ σχιζόμενος.

443. *ἀσπαίρουσα] τὸ σπαίρειν καὶ τὸ σκαίρειν τινὲς συγχέουσιν, ταυτὸν δηλοῦν νομίζοντες, καίπερ Ὁμήρου διακρίνοντος· τὸ μὲν γὰρ σπαίρειν μετὰ τοῦ ᾱ κατὰ Ἀττικὴν συνήθειαν λέγει ἀσπαίρειν· "ἀσπαίροντα δ' ἔπειτα" (Od. 12, 254) καὶ "ἀσπαίροντα λαβών" (Od. 19, 229) καὶ "ἥ ῥά οἱ ἀσπαίρουσα καὶ οὐρίαχον πελέμιξεν ἔγχεος" καὶ "ἤσπαιρ' ὡς ὅτε βοῦς" (571). τὸ δὲ σκαίρειν οὐκέτι μετὰ τοῦ ᾱ· "μολπῇ δ' ἰύγμῳ τε ποσὶ σκαίροντες ἕποντο" (Il. 18, 572). ἔστιν οὖν ἡ διαφορά, ὅτι τὸ μὲν σπαίρειν καὶ ἀσπαίρειν ἄμουσόν τινα δηλοῖ κίνησιν, ὃ γίνεται ἐν ἰχθύσι καὶ τῷ δεδεμένῳ κατὰ τὸν ποιητὴν βοΐ, τὸ δὲ σκαίρειν ἔμμουσον κίνησιν ὀρχηστικὴν καὶ εὔρυθμον. οἶμαι δ' ἔγωγε καὶ τῶν ἰχθύων τὸν σπάρον καὶ τὸν σκάρον κατὰ διαφόρους ἐννοίας διαφόρως προσηγορεῦσθαι, τῆς κινήσεως οὐχ ὁμοίας ἑκατέρων γινομένης, τὸ δὲ σκαίρω πάντως ὀξυτέρας φωνῆς· ἀφ' ἧς καὶ τὴν πολύσκαρθμον Μυρίνην προσεῖπεν ὁ ποιητής (Il. 2, 814), μίαν τῶν Ἀμαζόνων, ὥς φασι, καὶ εὐσκάρθμους ἵππους (31). ἀπὸ δὲ τοῦ αὐτοῦ ἐν τῇ συνηθείᾳ τὸ σκιρτᾶν καὶ σκαρδαμυκτεῖν τοὺς ὀφθαλμοὺς εἴρηται.

οὐρίαχον] τὴν ἐπιδορατίδα. ἔδειξε δὲ ὁρμῶντα προσωτέρω τὸν σίδηρον καὶ ἀνακρουόμενον τῷ παλμῷ τῆς καρδίας, καὶ δηλοῖ ὡς μετὰ θάνατον τοῦ ἄλλου σώματος ἔτι ζῇ ἡ καρδία.

444. ἀφίει μένος ὄβριμος Ἄρης] τὴν εἰς τοὔμπροσθεν ὁρμὴν ὁ σίδηρος ἠφίει, μὴ συγχωρούμενος ὑπὸ τῆς καρδίας. οἱ δὲ, τὴν ψυχὴν ἀφιέναι τὸ μένος ἐποίει.

446. ἦ ἄρα] ὄντως ἄρα δή τινος νομίζομεν ἄξιον εἶναι τὸ τοὺς τρεῖς τούτους ἀνθ' ἑνὸς ἀνῃρῆσθαι, ἐφ' ᾧ σὺ μάτην πεφιλοτίμησο. ἦ

8. Similia leguntur in scholio ad 18, 572.

19. * σπάρον—σκάρον] σπαίρου—σκαίρου

22. * Μυρίνην] μύραιναν ὥς] ἃς

31. * τινος] τι

οὕτως, ἆρα ἴσον ὀφείλομεν στοχάζεσθαι τὸ τρεῖς ἀνθ' ἑνὸς πεφονεῦσθαι, ἢ δῆλον ὅτι μεῖζον καὶ τριπλάσιον;

450. ἐπίουρον] οἱ μὲν ὡς τὸ ἐπίσκοπον· οἱ δὲ ἀναστρέφουσι τὴν ἐπί· οἱ δὲ παρέλκειν αὐτὴν βούλονται. ἄμεινον δὲ τὸ πρῶτον.

452. ἔμ' ἔτικτε] ὀρθοτονητέον τὴν ἀντωνυμίαν· ἔστι γὰρ ἀντιδιασταλτική. τίκτειν δὲ τὸ κτίζειν.

453. εὐρείῃ] μεγάλῃ· "τοῦ μέν τοι κλέος εὐρύ" (Od. 19, 333) καὶ "εὐρύοπα Ζῆν'" (Il. 8, 206) καὶ εὐρυσθενές (Il. 7, 455).

456. ἑταρίσσαιτο] συνεργὸν καλέοιτο.

458. δοάσσατο] τοῦ δοκῶ παραγωγόν ἐστι, δοκῶ δοκήσω δοκάσσω, ἐδοκάσσατο δοκάσσατο, ἀποβολῇ τοῦ κ̄ δοάσσατο.

460. ἐπεμήνιε] ἐπεμέμφετο καὶ ᾐτιᾶτο.

461. οὔτι τίεσκεν] ὡς τιμώμενον αὐτὸν ὑπὸ τῶν Τρώων καὶ παραβλάπτοντα τὴν βασιλικὴν τιμὴν οὐκ ἐτίμα, δεδιὼς τὴν ἐπιβουλήν.

464. γαμβρῷ] τῷ τῆς ἀδελφῆς ἀνδρί. "οἷος σὺν γαμβροῖσι κασιγνήτοισί τε σοῖσιν" (Il. 5, 474).

465. ἐπαμύνομεν] καλῶς καὶ ἑαυτὸν τῇ ἐπικουρίᾳ συναριθμεῖ πρὸς τὴν ἐκείνου αἰδῶ.

468. θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν] τῶν γὰρ παλμῶν αἰτία ἡ τοῦ περὶ καρδίαν αἵματος θέρμη.

469. βῆ δὲ μετ' Ἰδομενῆα] ἡ γὰρ τοῦ φίλου συμφορὰ τὴν πρὸς τὸν ἐχθρὸν ἀμαυροῖ μῆνιν.

470. *τηλύγετον] ὁ τέλος τῆς γεννήσεως ἔχων, μεθ' ὃν ἄλλος οὐκ ἐτέχθη τῷ πατρί· οἱ τοιοῦτοι γὰρ ὡς ἐπίπαν δειλοί, ὑγρᾷ ἀνατρεφόμενοι διαίτῃ. καὶ πῶς αὐτός φησι "δείδια δ' αἰνῶς Αἰνείαν" (481); ἤτοι νῦν τὴν φυγήν φησιν.

τὸ τηλύγετος ἐνταῦθα ἐπὶ τοῦ πρεσβυτέρου, οὐκ ἐπὶ τοῦ μονογενοῦς ἢ ἐπὶ τοῦ ὁμήλικος. ὅτι δὲ ἐπὶ τοῦ πρεσβυτέρου καὶ τῆς τηλοτέρας γενεᾶς ὄντος, δῆλον ἀπὸ τοῦ εἰρηκέναι αὐτὸν ἐπὶ τοῦ μὴ ὁμήλικος "οὗτος δὲ προτέρης γενεῆς, προτέρων δ' ἀνθρώπων" (Il. 23, 790). ἀλλ' Ἰδομενεὺς μὲν μεσαιπόλιος, καὶ διὰ τοῦτο τῆς προτέρας γενεᾶς. προέγραψα καὶ τὰ περὶ τούτου πλατύτερον.

471. ἀλκί] ἀπὸ τῆς ἄλξ εὐθείας, ὅθεν καὶ ἄλξις καὶ ἔπαλξις.

472. κολοσυρτόν] ὁ μετὰ κολωοῦ ἐπισυρμός. ἢ ὁ μέγας θόρυβος· κόλον γὰρ τὸ μέγα, καὶ ὁ μεγάλην ἁφὴν ἔχων κόλαφος καλεῖται.

26. ἤτοι νῦν] ἢ τοίνυν

476. ὣς μένεν] τὸ μὲν μεῖναι γενναίου, τὸ δὲ καλεῖν τοὺς ἑταίρους ἀσφαλοῦς· προδιδόντος γάρ ἐστιν ἑαυτὸν τὸ τὴν παροῦσαν μὴ καλεῖν συμμαχίαν, ἀλλ' οἰκείᾳ τὸ πᾶν ἐπιτρέπειν δυνάμει.

481. οἴῳ] ἀντὶ τοῦ μονωθέντι. ὁ δὲ δέ ἀντὶ τοῦ γάρ.

484. ἥβης ἄνθος] τινὲς τὸν καιρὸν τῶν κε' ἐτῶν, οἱ δὲ τῶν μ', ἐπεὶ καὶ Ἡσίοδός φησι "τοῖς ἅμα τεσσαρακονταέτης αἰζηὸς ἕποιτο" (O. 439). τὴν δὲ ἥβην Ἡσίοδος καὶ ἐπὶ κτηνῶν, ὡς τὸ "ἥβης μέτρον ἔχοντε" (ib. 436)· ὁ δὲ ποιητὴς καὶ ἐπὶ φυτῶν, ὡς τὸ "ἡμερὶς ἡβώωσα" (Od. 5, 69). τὸ δὲ ὅτε ἐὰν μὲν ᾖ χρονικόν, ἔσται ἡ διάνοια οὕτως, ὅτε περὶ ἕκαστον ἄνδρα ἡ οἰκεία ἰσχὺς ἀκμάζει· ἐὰν δὲ ᾖ δύο μέρη λόγου, οὕτως, ὅ ἐστιν ἀνδρὶ κράτος μέγιστον, τὸ ἐν τῷ ἀκμαιοτάτῳ τῆς ἡλικίας εἶναι. κράτος δὲ εὐρωστία, εὐτολμία.

485. τῷδ' ἐπὶ θυμῷ] ἐφ' ᾧ νῦν ἐγώ εἰμι.

486. φέροιτο — ἠὲ φεροίμην] λείπει τὸ κατ' ἐμοῦ καὶ κατ' αὐτοῦ.

489. ἐκέκλετο οἷς ἑτάροισι] καίτοι νέος ὢν μόνος αὐτὸν οὐχ ὑπομένει.

490. Δηΐφοβον] ἄκρως ἐξήλεγξεν ὁ ποιητὴς τὸν Δηΐφοβον ἀποστάντα τῆς μάχης, ὅτι νῦν αὐτὸν Αἰνείας προσκαλεῖται.

493. γάνυται] χαίρει· μάλιστα γὰρ αὐτὰ πιαίνει ποτόν, δοκεῖ τε μᾶλλον ὑγιαίνειν τὰ ζῷα ὅταν ὀρέγηται ποτοῦ· ὅθεν θέρους οἱ ποιμένες ἁλοτροφοῦσιν αὐτά. πῶς δὲ τοὺς τοσούτους ἡγεμόνας ἑνὶ κτίλῳ εἴκασεν; ὅτι πάντων ἡγεμονικώτατος ἦν Αἰνείας.

502. εἰ αὐτοσχεδὸν ὡρμήθησαν, πῶς ἀκοντίζει; ὑποκεχωρήκει γὰρ Ἰδομενεὺς ὡς πόρρωθεν ἀγωνιούμενος.

506. Ἰδομενεὺς δ' ἄρα] θαυμασίως ἀμφοτέρους μὲν ἀποτυγχάνοντας ἀλλήλων εἰσήγαγεν, ἀλλὰ τὸν μὲν καθάπαξ μάτην ἀφιέντα τὸ δόρυ ἐπὶ τὴν γῆν, τὸν δὲ τοῦ μὲν Αἰνείου ἀποτυγχάνοντα, ἄλλον δέ τινα ἀναιροῦντα. τὸ δὲ ἐξαίρετον ἐνταῦθα παραφυλακτέον, ὅτι κατὰ τὸ ῥητὸν οὐκ εἶπεν ὁ ποιητὴς τὴν ἄφεσιν τὴν ἀπὸ τοῦ Ἰδομενέως καὶ τὴν ἀποτυχίαν, ἀλλ' ἁπλῶς ἔφη βεβλῆσθαι τὸν Οἰνόμαον· καίτοι οὐ τοῦτο προκείμενον τῷ Ἰδομενεῖ, ἀλλ' ἀποτυχίᾳ τοῦ Αἰνείου τοῦτον βάλλει· ὁ δὲ ὡς προηγουμένως τούτου κατεστοχασμένου πεποίηται τὸν λόγον.

6. *ἕποιτο] ἔοι

507. ῥῆξε] διέτεμεν, ὥστε διῃρῆσθαι τὴν σύμφυσιν· διὰ γὰρ τὴν ὑγρότητα, καὶ διὰ τὸ ἀεὶ ἐν τῇ εὐρυχωρίᾳ πνεῦμα ἔχειν, καὶ διὰ τὸ τῷ μεσεντερίῳ λαγαρῶς προσδεδέσθαι ἄτακτον ἔχοντα τὴν κίνησιν, ῥᾳδίως προπίπτειν πέφυκε. γύαλον δὲ τὸ κύτος.

512. ἔμπεδα] τὰ μὴ ὑπὸ δειλίας σαλευόμενα. ποδῶν δὲ γυῖα μερικῶς οἱ πόδες.

513. οὔτ' ἄρ' ἐπαΐξαι μεθ' ἑὸν βέλος] οὔτε ὁρμῆσαι ἐπὶ τὸ ἴδιον βέλος. τοῦτο δὲ καθολικώτερον εἶπε διὰ τὴν ἡλικίαν, ἐπεὶ καὶ τοῦ Οἰνομάου ἐξέσπασε τὸ δόρυ καὶ τοῦ Ὀθρυονέως.

515. τρέσσαι δ' οὐκέτι] εἰκότως οὖν καὶ ἔμπροσθεν συῒ αὐτὸν εἴκασε, τῷ δι' ὑπομονῆς ἑδραίας, οὐ δι' εὐκινησίας ἀμυνομένῳ τοὺς ἐπιόντας. δείκνυσι δὲ ὅτι οἱ πόδες φέρουσιν, οὐ φέρονται.

519. υἱὸν Ἐνυαλίοιο] Ἀσκάλαφος παρὰ τὸ ἀσκελὲς τῆς ἁφῆς, ἤτοι ὁ λίαν σκληρός.

521. βριήπυος] παρεξηλλαγμένον ἐστὶ τοῦ βοὴν ἀγαθὸς, ὡς ποδάρκης καὶ ποδήνεμος. ἢ διὰ τοὺς βρυγμοὺς τῶν πολεμίων. ἀνθρωποπαθεῖς δὲ οἱ Ὁμηρικοὶ θεοί. ὅρα γὰρ οἷος ἔσται Ἄρης ὁπλιζόμενος ἐπὶ τοὺς αὐθέντας τοῦ παιδὸς, δηλαδὴ ἐπὶ τοὺς φίλους Τρῶας. *ἐζήτηται δὲ πῶς θεὸς ὢν ὁ Ἄρης οὐκ ᾔδει περὶ τοῦ υἱοῦ. ῥητέον οὖν ὅτι παρὰ τῷ ποιητῇ οἱ θεοὶ σωματικῶς λαμβανόμενοι ἀνθρωποειδῶς ἐφίστανται, ἀθανασίᾳ γὰρ διαφέροντες μόνον ἀνθρώπων, τοῖς αὐτοῖς ἐνέχονται πάθεσιν.

527. Δηΐφοβος μέν] ὡς ἐπὶ τὸ πολὺ σκυλεύοντες εὑρίσκονται οἱ Ἕλληνες· ἐνταῦθα δὲ ὁ Δηΐφοβος ὥσπερ κλοπῇ κέχρηται καὶ ὀξυλαβείᾳ. καὶ ὅρα τὸ ῥῆμα· οὐ γὰρ ἐσκύλευσεν ἔφη, ἀλλ' ἥρπασε τὴν πήληκα. πλὴν οὐδὲ οὕτως ἀποφέρεται τὸ σκῦλον οὗτος, ἀλλὰ τρωθεὶς ἀφίησιν αὐτό.

532. πρυμνοῖο] ἄκρου, τοῦ πρὸς τὸν ὦμον, ὡς νεαίρην γαστέρα, καὶ ἁπαλοῖο αὐχένος, ἔνθα μάλιστα ἁπαλὸς ὁ αὐχήν.

536. μάχης ἠδὲ πτολέμοιο] καὶ τῶν μαχομένων καὶ πολεμούντων. πολλὰς δὲ τροπὰς τῆς μάχης λαμβανούσης, ἐμποδισθέντες ἀπηνέχθησαν εἴς τινα τόπον.

541. ὥσπερ Ἑρμέας, οὕτως Αἰνέας, καθὼς Ἡρωδιανῷ δοκεῖ.

543. ἑάφθη] ἐπηκολούθησε καὶ συνέπεσε, παρὰ τὸ ἕπω, ὃ δηλοῖ τὸ ἀκολουθῶ· ὅθεν καὶ δασύνεται.

21. *ἐφίστανται] ἐπίστανται 29. *μάλιστα] om.

547. ἥ τ' ἀνὰ νῶτα] οἶδε καὶ τὴν ἀνατομὴν ὁ ποιητής. λέγει δὲ τὴν καλουμένην κοίλην φλέβα, τὴν ἐκ δεξιῶν τῆς ῥάχεως ἀνερχομένην ἀπὸ τοῦ ἥπατος, καὶ κατὰ τὸ διάφραγμα χωροῦσαν ἐπὶ τὴν καρδίαν καὶ ἀπὸ ταύτης ἐπὶ τὸν τράχηλον.

548. ὀρθῶς ἐπὶ τὴν πληγὴν ἐποίησε πίπτοντα· τῆς φλεβὸς γὰρ διακοπείσης καὶ μηδεμιᾶς ἀντισχέσεως γενομένης ἐπ' αὐτὸ τὸ ἀλγοῦν ἠνέχθη.

554. Ποσειδάων] ἅμα μὲν ἐπεὶ πρόγονος, ὥς φασιν, αὐτοῦ ἐστίν· ὅθεν καὶ ἐν Ὀδυσσείᾳ (3, 43) τούτῳ θύοντες φαίνονται· ἅμα δὲ ἔγκειται καὶ τὸ παιδευτικὸν, ὅτι τῶν θεοφιλῶν οἱ παῖδες διασώζονται· ἐπάγει γὰρ ὅτι παῖς ἦν Νέστορος.

558. τιτύσκετο δὲ φρεσὶν ᾗσιν] πᾶσα προσοχὴ παρὰ τούτῳ εὑρίσκεται, καίτοι νέῳ ὄντι καὶ οὐχ ὑπερέχοντι τὸ σῶμα, ἀλλὰ διὰ σύνεσιν κατορθοῦντι.

562. ἀμενήνωσεν] μεταφορικῶς ἀπὸ τοῦ βαλόντος, ἀνίσχυρον εἰργάσατο· ἡ γὰρ αἰχμὴ μένος οὐκ ἔχει.

563. βιότοιο μεγήρας] φθονήσας Ἀδάμαντι μὴ τὸν βίον Ἀντιλόχου ἀφέληται· ἢ φθονήσας Ἀδάμαντι τοῦ βίου καὶ ποιήσας αὐτὸν ἀναιρεθῆναι.

564. σκῶλον λέγει τὸν σκόλοπα· οἱ γὰρ ἄγροικοι ἀποξύνοντες τὰ ξύλα πυρακτοῦσι τὸ ἄκρον, ὅπως πιληθὲν εἴη στερρότερον· χρῶνται δὲ αὐτῷ ἀντὶ αἰχμῆς. ἐπεὶ οὖν τὸ δόρυ τὴν ἐνεργὸν δύναμιν οὐκ εἶχεν, ἔμεινε τοσοῦτον διελθὸν ὅσον σκῶλος περονεῖ.

*Ἀπίων δέ φησι τὸν σκῶλον πεπυρακτωμένην ῥάβδον, Ἀρίσταρχος δὲ ἀκάνθης τι γένος. ταύτας εἰώθασι πυρπολεῖν, καὶ στερεώσαντες ἐφ' ὁρμήματα χρῆσθαι καὶ πρὸς ἄλλας χρείας.

567. ἀπιόντα] προχωροῦντα, ὑποποδίζοντα· οὐ γὰρ στραφέντα· διὸ ἔμπροσθεν τιτρώσκεται κατὰ τὸ ἦτρον, ὃ νευρῶδες λίαν ἐστὶ καὶ ἐπώδυνον· ὅθεν οἱ διακεντοῦντες τοὺς ὑδερικοὺς οὐ κεντοῦσι κατωτέρω τοῦ ὀμφαλοῦ, διὰ τὸ σπασμοὺς προσγίνεσθαι. ἴσως δὲ ἐντροπαλιζόμενος ὑπεχώρει, ἐπεὶ οὐκ ἂν κατὰ τὴν ὀσφῦν ἀναχωρῶν ἐτρώθη.

570. ἑσπόμενος] ἀκολουθῶν. τινὲς δὲ σχόμενος ἀντὶ τοῦ συνεχόμενος.

571. ἡ προσθήκη τοῦ οὔρεσι ἄγριον δείκνυσι τὸν ταῦρον.

20. * ἀποξύνοντες] ἀποξέοντες 23. περονεῖ] * περονῆσαι δύναται

572. ἰλλάσιν] τοῖς ἐξ ἱμάντων σχοινίοις.

574. ὄφρα οἱ ἐκ χροός] ὅρα διὰ τούτου τὸ καίριον τῆς βολῆς· ἅμα γὰρ τὸ δόρυ καὶ τὴν ψυχὴν αὐτοῦ ἀνέσπασεν.

577. Θρηϊκίῳ] μόνοι γὰρ οἱ Θρᾷκες μεγίστοις ξίφεσι χρῶνται. ἢ οὖν ἀπό τινος Θρᾳκὸς ἐπικούρου τότε ἀνέλαβεν, ἢ καὶ πρὶν ὡς καλλιστεῦον εἶχεν. ἔστι δὲ ἡ καλουμένη παρ' αὐτοῖς ῥομφαία. τὸ δὲ ἄραξεν ἀντὶ τοῦ τοὺς ἱμάντας ἀπέτεμεν.

583. τόξου πῆχυν ἀνεῖλκεν] οἱ μὲν τὴν νευρὰν κατὰ Δωριεῖς, οἱ δὲ τὸ κέρας.

588. τινὲς τὰ μὲν σιδηρᾶ πτύα, τὰ δὲ ξύλινα καὶ τρόπον χειρὸς ἔχοντα, οἷς καὶ τοὺς ἀστάχυας ἀναρρίπτουσι, θρίνακας καλοῦσιν.

589. θρώσκωσιν κύαμοι] περιφερεῖς γὰρ ὄντες ῥᾷον τῶν πυρῶν ἀφάλλονται. τῷ δὲ ἐπιθέτῳ κεκάλυπται τὸ ταπεινὸν τῆς λέξεως.

590. καὶ τίνα καὶ πότε δεῖ λικμᾶν ἐδίδαξε· λέγει γὰρ ὅτι καὶ ῥωμαλέος ἔσται ὁ λικμῶν πρὸς τὸ ἀναβάλλειν αὐτὰ, τὸν ἄνεμον ἔχων συνεργόν.

599. οἰὸς ἀώτῳ] ἐξ ἐρίων γὰρ συνέπλεκον τὰ κῶλα τῆς σφενδόνης, οὐχ ὡς νῦν νεύροις, ἵνα διατείνοιτο ἐν τῇ ἀπορρίψει. πολλὰ δὲ δηλοῖ τὸ ἄωτον, ὥς φησιν Ἐπαφρόδιτος· νῦν δὲ τὸ τοῦ ἐρίου λεπτότερον καὶ καθαρώτερον, ὅθεν καὶ αἱ σφενδόναι ἐπλέκοντο.

608. ἐπέσχε τὴν ὁρμὴν τοῦ δόρατος. καυλῷ δὲ τῷ τῆς ἐπιδορατίδος αὐλῷ, εἰς ὃν ἐνίεται τὸ ξύλον.

611. ὑπ' ἀσπίδος] τὴν ὑπὸ τὴν ἀσπίδα κρυπτομένην· ἔφερον γὰρ πρὸς τὸ κατασχίσαι τὰς ναῦς, ἀλλὰ καὶ πρὸς τὴν μάχην ἐχρῶντο αὐταῖς.

612. ἐλαΐνῳ] παρὰ τὸ ἐλαία· ἐλαίινος γὰρ ἦν, καὶ Ἀττικῶς ὑφήρηται τὸ ῑ.

πελέκκῳ] τῷ στειλειῷ, διὰ τὸ περιέχεσθαι ὑπὸ τοῦ πελέκεως. τινὲς δὲ καὶ αὐτὸν τὸν πέλεκυν οὕτως, ὡς καὶ τὸ ἡμιπέλεκκα δηλοῖ.

617. δυϊκῶς τὸ αἱματόεντε. διὰ δὲ τοῦ πέσεν ἐδήλωσεν οὐ χυθέντας τοὺς ὀφθαλμοὺς, ἀλλ' ἅμα τῇ ἰδίᾳ πήξει ἐκπεπτωκότας. ἐπεὶ γὰρ κατὰ τὴν ἄνω τῆς ῥινὸς ἀρχὴν γέγονεν ἡ πληγὴ, πιθανὸν ἐντεῦθεν ἐξωσθῆναι τοὺς ὀφθαλμοὺς ἐκ ῥίζης.

620. λείψετέ θην] οὐκέτι παρέσεσθε, φησὶ, πολεμήσοντες ἐπ'

11. * ἀναρρίπτουσι] ἀνερείπτουσι 24. * κατασχίσαι] σχίσαι

αὐτάς. ἐν ἤθει οὖν ὁ λόγος. λείπει δὲ εἰς τὸ οὕτω γε τὸ ἀναιρούμενοι.

621. ὑπερφίαλοι] ἄσπονδοι, παράνομοι. εἰρωνικῶς δὲ τὸ ἀκόρητοι, ἐπεί φησιν "ἀμφὶ σὲ Πηλέως υἱὲ μάχης ἀκόρητον" (Il. 20, 2). ἢ οἱ μηδὲ καίπερ πολεμούμενοι καὶ φθειρόμενοι τὴν Ἑλένην ἀποδιδόντες.

622. ὁ μέν ἀντὶ τοῦ μήν· οὐ γὰρ ἔχει τὸν δέ. ὁ δὲ νοῦς οὕτως· τοῖς εἰς ἐμὲ ὑμῖν πραχθεῖσιν ἄλλο οὐδὲν ἐνδεῖται γενέσθαι δεινόν.

623. κακαὶ κύνες] κατωφερεῖς δι' Ἀλέξανδρον, ἢ ἀναιδεῖς δι' Ἕκτορα. ἄκρως δὲ καὶ τῷ θηλυκῷ κατεχρήσατο, εἰς τὴν ἀνανδρίαν τῶν βαρβάρων. πρὸς δὲ μόνην ὑπήντησε τὴν λώβην.

626. καὶ κτήματα πάντα] μετὰ γὰρ πολυτελοῦς κατασκευῆς, ὡς ἐπὶ θυσίαν ἤκουσα, ἥρπαστο ὑπ' αὐτοῦ.

631. Ζεῦ πάτερ] ἠθικὴ καὶ ἔμψυχος ἡ δικαιολογία ὡς πρὸς παρόντα τὸν Δία. τὸ δὲ περὶ φρένας ἔμμεναι ἀντὶ τοῦ ταῖς φρεσὶ περιεῖναι τῶν ἄλλων.

τὸ ἄλλων πρὸς τὸ ἀνδρῶν ἀποδοτέον, ἤτοι πάντων· τὸ δὲ θεῶν συναπτέον τῷ λοιπῶν. εὖ δὲ τὸ μὴ προσθεῖναι, σὺ δὲ ἀνόητος εὑρέθης, καὶ πάντα δὲ ἐκ σοῦ ἐστὶ τὰ γινόμενα· κρατεῖ γὰρ ὡς ἐχέφρων τῆς λύπης:

633. οἷον] ἀντὶ τοῦ πῶς· ἔστι δὲ μετὰ θαύματος καὶ μέμψεως, ἅμα μὲν ἐπεὶ ταμίας ἐστὶ πολέμου, ἅμα δ' ἐπεὶ Τρωσὶν ἐβοήθει διὰ Θέτιν.

636. πάντων μὲν κόρος] κἀκείνων κόρος ἐστὶν ων τις ἐφίεται πλησθῆναι μᾶλλον τῆς τοῦ πολέμου πλησμονῆς.

637. περισσὸν αὐτὸν εἶναί φασί τινες· ἥττων γὰρ ἡ ἐπιθυμία τῆς μολπῆς. ἢ ὅτι ἔμελεν αὐτοῖς "χοροῖο νέον λήγοντας καθίζειν" (Il. 3, 394). ἀμύμονος δὲ τοῦ ἀμωμήτου· ἔστι δέ τις καὶ φαύλη ὄρχησις.

638. τῶν κέν τις] τούτων καὶ μᾶλλον ἐπιθυμεῖ τις κορεσθῆναι· πολέμου δὲ οὐδὲ τὴν ἀρχὴν θεάσασθαι βούλεται, ἢ πλησθῆναι καὶ διακορὴς γενέσθαι. οἱ δὲ Τρῶες τούτου ἀκόρητοί εἰσιν. ὅτι δὲ ἀδικήσαντες μάχονται, τοῦτο ὕβρεως, οὐκ ἀνδρείας. τὸ δὲ ἑξῆς οὕτως, πάντων μὲν κόρος ἐστὶ, Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν.

640. τὰ μὲν ἔντε'—αἱματόεντα] τὰ μὲν αἱματόεντα ἔντεα, ὡς τὸ "τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα" (Il. 1, 11).

32. ἀνδρείας] ἀνδρίας 35. * τὸν] om. ἠτίμασεν] ἠτίμησεν

643. ἔνιοι τοῦτον ἐνόμιζον εἶναι τὸν ἐν τῇ Ε (576) ἀναιρεθέντα· "ἔνθα Πυλαιμένεα ἑλέτην ἀτάλαντον Ἄρηϊ, ἀρχὸν Παφλαγόνων." ἔστιν οὖν ὁμωνυμία, ἐκείνου μὲν ἄρχοντος ὄντος, τούτου δὲ βασιλέως. πολλαὶ γὰρ παρὰ τῷ ποιητῇ ὁμωνυμίαι· Σχεδίοι γὰρ δύο Φωκέων ἡγούμενοι, ὁ μὲν Περιμήδους, ὁ δὲ Ἰφίτου, οὓς ἀμφοτέρους Ἕκτωρ ἀναιρεῖ· Εὐρυμέδοντες δύο ἡνίοχοι, ὁ μὲν Ἀγαμέμνονος, ὁ δὲ Νέστορος· κήρυκες Εὐρυβάται δύο, ὁ μὲν Ὀδυσσέως, ὁ δὲ Ἀγαμέμνονος· Ἄδραστοι τρεῖς βάρβαροι, ὁ μὲν ὑπὸ Διομήδους, ὁ δὲ ὑπὸ Μενελάου, ὁ δὲ ὑπὸ Πατρόκλου ἀναιρούμενος· Ἀκάμαντες δύο, ὁ μὲν Εὐσώρου, ὁ δὲ Ἀντήνορος· Ἀστύνοοι δύο, ὁ μὲν ὑπὸ Διομήδους ἀναιρούμενος, ὁ δὲ Πολυδάμαντος ἡνίοχος· Θόωνες βάρβαροι τρεῖς, ὁ μὲν ὑπὸ Διομήδους, ὁ δὲ ὑπὸ Ὀδυσσέως, ὁ δὲ ὑπὸ Ἀντιλόχου ἀναιρούμενος· Μελάνιπποι τρεῖς, ὁ μὲν ὑπὸ Ἕκτορος παραινούμενος ἐμπεσεῖν ταῖς ναυσὶν, ὁ δὲ ὑπὸ Τεύκρου, ὁ δὲ ὑπὸ Πατρόκλου ἀναιρούμενος· Ὀφελέσται δύο, ὁ μὲν ὑπ' Εὐρυπύλου, ὁ δὲ ὑπ' Αἴαντος· Πυλάρται δύο, ὁ μὲν ὑπ' Αἴαντος, ὁ δὲ ὑπὸ Πατρόκλου· Πείσανδροι δύο, ὁ μὲν ὑπ' Ἀγαμέμνονος, ὁ δὲ ὑπὸ Μενελάου.

652. ὑπ' ὀστέον ἐξεπέρησεν] δηλονότι φεύγοντος. τοῦτο δὲ Ἕλλην οὐχ εὑρίσκεται πεπονθώς. ὡς ἐπίπαν δὲ ὑπὸ Μηριόνου οὕτως τιτρώσκονται.

654. θυμὸν ἀποπνείων] ἐντεῦθεν δῆλον ὅτι πνεῦμα ἡ ψυχή. ὡς σκώληξ δὲ, ὅτι ἦν θίγῃ τις αὐτοῦ, ἀκινητεῖ.

657. ἀνέσαντες] ἤτοι καθίσαντες, μᾶλλον δὲ ἀναθέντες. νεκρὸς γάρ ἐστιν. οὐδένα δὲ τῶν ἀποθανόντων οὕτως ἐξάγει· διὸ ἀθετεῖται ὁ στίχος. ἢ δίφρῳ ἀπάγεται ὡς μακρὰν τῆς μάχης οὔσης· ἐπὶ ναυσὶ γὰρ μάχονται.

662. ἁπλοῦς ὁ στίχος ἐστὶ καὶ ἀποίκιλος. μὴ θέλων δὲ αὐτὸν οὕτως ἐᾶσαι, ἄλλης ἀρχῆς ἐπελάβετο.

664. ἀγαθός] ἐξ ἀγαθότητος γὰρ πάσχουσιν ἄμφω, καὶ ὁ νέος, ὅτι ἧκεν εἰδὼς τὸν θάνατον, καὶ ὁ πατὴρ, ὅτι οὐκ ἐκώλυσεν αὐτόν.

665. ὅς ῥ' εὖ εἰδὼς] οὐκ εἶπεν ὅτι ὁ πατὴρ τάδε προεῖπεν αὐτῷ περὶ τοῦ τέλους, ἵνα μὴ ἀδολεσχεῖν δοκῇ, καὶ ἵνα τὸ τελευταῖον προθῇ τοῦ διηγήματος καὶ τῷ παραδόξῳ τῆς ἀναφωνήσεως εἰς προσοχὴν τὸν ἀκροατὴν ἐπισπάσηται, εἶτα ἐξ ἀναστροφῆς πάλιν διηγῆται.

670. νοῦσον] τὴν ἐν γήρᾳ τιμωρίαν. ἢ νόσον ἁπλῶς.

671. ὑπὸ γναθμοῖο καὶ οὔατος] ὑπὸ τῆς γνάθου, ἤτοι κατὰ τὸν ὑπὸ τὸ οὖς τόπον. οἱ δὲ γνάθον τὴν σιαγόνα.

675. ἐπ' ἀριστερὰ τοῦ Ἕκτορος, οὐ τοῦ στρατοῦ· εἰ γὰρ ἐπ' ἀριστεροῖς ἐστὶν ἡ πύλη δι' ἧς εἰσῆλθεν, αὐτόπτης ἂν ἐγίνετο.

677. τοῖος] ἀντὶ τοῦ μετὰ τοσαύτης προθυμίας.

678. πρὸς δὲ σθένει αὐτὸς ἄμυνεν] οὐ πᾶν τὸ ἔργον ἦν τοῦ θεοῦ, ἀλλὰ πρὸς τῷ αὐτῶν σθένει καὶ αὐτὸς ἐπεκούρει. δηλοῖ δὲ ὅτι ἀεὶ ταῖς προθυμίαις συμβάλλεται τὸ θεῖον.

683. τεῖχος χθαμαλώτατον] ἀντὶ τοῦ χθαμαλόν, ὡς "ἀκρότατον δ' ἄρ ὀϊστός" (Il. 4, 139)· ἦν δὲ χθαμαλὸν διὰ τὸ ἀφῃρῆσθαι τῆς ἐπάλξεως ὑπὸ Σαρπηδόνος, ἢ ὡς πρὸς σύγκρισιν τοῦ πολυανδρίου, ὡς ἠπειγμένως ποιήσαντες οὐκ ἐξωμάλισαν αὐτό· διὸ καὶ ἡ ὑπέρβασις τοῖς βαρβάροις δυνατὴ ἐγένετο.

685. ἄλλοι εἰσὶ παρὰ τοὺς Ἴωνας Ἰάονες· φησὶ γὰρ Ἀνδροτίων ὅτι στήλην ἔστησαν ἐπὶ Λακεδαίμονος διορίσαντες οὕτως "τάδ' οὐχὶ Πελοπόννησος, ἀλλ' Ἰάονες," Ἴωνες δὲ ἐκ τοῦ ἑτέρου μέρους οὕτως "τάδ' ἐστὶ Πελοπόννησος, οὐκ Ἰάονες," ὥστε τοὺς μὲν ἔνθεν εἶναι, τοὺς δὲ ἐκεῖθεν.

ἑλκεχίτωνες] οἱ ἐν τοῖς χιτῶσι τῶν ἐναντίων ἕλκη ποιοῦντες. οἱ δὲ, ὅτι μέχρι τῆς Περικλέους στρατηγίας ποδήρεις εἶχον χιτῶνας.

686. Φθιῶται μὲν οἱ ὑπὸ Ἀχιλλεῖ, Φθῖοι δὲ οἱ ὑπὸ Πρωτεσιλάῳ καὶ Φιλοκτήτῃ.

φαιδιμόεντες] ἀντὶ τοῦ φαίδιμοι, παραγώγως. τινὲς δὲ σύνθετον ὑπονοοῦσι τὴν λέξιν, ἵν' ᾖ λαμπρὰς πανοπλίας ἔχοντες.

687. μόγις ὁρμῶντα ἐπεῖχον.

703. οἴνοπε] οἰνώδεις εἰς τὸ ὁρᾶν· οἱ δὲ μέλανες, ὡς τὸ "οἴνοπα πόντον" (Il. 1, 350). καὶ Πτολεμαῖος γὰρ εἰς τὸ τῆς Ἀρσινόης χιλιάροτρον τέμενος μέλανας ἐνῆκε βοῦς. τὴν τάξιν δὲ τῆς στάσεως καὶ τὴν προθυμίαν ἡ παραβολὴ δηλοῖ.

705. κεράεσσι] συμπάσχειν φασὶ τοῖς ποσὶ τὰ κέρατα τῇ διατάσει τῶν νεύρων· διὸ μετὰ τὸν κάματον ἀλείφειν δεῖ αὐτὰ κηρῷ ἢ ἐλαίῳ ἢ πίσσῃ, ὡς Ἀριστοτέλης φησίν (H. A. 8, 7). πρυμνοῖς δὲ τοῖς παρὰ τὴν σάρκα.

706. ἀμφὶς ἐέργει] ἀπ' ἀλλήλων αὐτοὺς, φησὶν, ὁ ζυγὸς χωρίζει.

15. τάδ' οὐχὶ Townl.] τάδ' ἐστὶν οὐχὶ   17. *τάδ' ἐστὶ — Ἰάονες] τάδ' ἐστὶν οὐκ ἰάονες, ἀλλὰ πελοπόννησος

707. ὦλκα λέγει τὴν αὔλακα, τέλσον δὲ τὸ βάθος, ἢ τὸ πέρας τῆς γῆς, ὅπερ τέμνει τὸ ἄροτρον.

710. οἵ οἱ σάκος ἐξεδέχοντο] τὸ τληπαθὲς Αἴαντος δείκνυσιν, εἴγε πολλοὶ καὶ ἀγαθοὶ τὸ σάκος αὐτοῦ διαδέχονται ἀποκάμνοντος, δεδιότες μή πως αὐτοῦ ἀγανακτήσαντος ἀπόλοιντο.

712. οὐδ' ἄρ' Ὀϊλιάδῃ] λεληθότως δεδήλωκε τὴν αἰτίαν τῆς συμπνοίας τῶν Αἰάντων· ἐν ὀλίγῳ γὰρ χωρίῳ γινομένης τῆς μάχης, ἀχρεῖοι ἦσαν οἱ Λοκροὶ ψιλοὶ ὄντες. κοσμεῖ οὖν αὐτοὺς διὰ προβλήματός τινος· ὑποδύντες γὰρ ὑπὸ τοὺς ὁπλίτας Σαλαμινίους ὄπιθεν βάλλουσιν.

719. οἱ μέν] οἱ Σαλαμίνιοι δηλονότι.

725. λείπει ἡ πρός, ἵν' ᾖ πρὸς θρασύν.

726. Ἕκτορ] ἐν καιρῷ ἀναμιμνήσκει τὸν Ἕκτορα τῆς ἰδίας συμβουλῆς· ἔλεγε γὰρ "μὴ ἴομεν Δαναοῖσι μαχησόμενοι περὶ νηῶν" (Il. 12, 216). ἀλλ' οὐκ ἄντικρυς αὐτῷ λέγει ὅτι παρακούσας τῆς συμβουλῆς ἐκάκωσας τὴν στρατιάν· ἀπήχθετο γὰρ τῷ βασιλεῖ, καὶ φιλονεικότερον αὐτὸν ἐποίει καὶ ἄλλως θρασὺν ὄντα. εἰς πολλὰ οὖν τρέπει τὸν λόγον, τῇ γνωμολογίᾳ χρώμενος. ἀμήχανος δὲ ἀνίκητος, ἢ ἀπαραμύθητος, τοῖς βουλομένοις σε πείθειν ἀμηχανίαν παρέχων. παραρρητοῖσι δὲ παρηγορητικοῖς λόγοις, παραμυθήμασιν, ὑποθήκαις· οἱ δὲ συμβούλοις.

727. ἐν ἐρωτήσει ὁ λόγος. πραγματικῶς δὲ ἐν ἑνὶ στίχῳ θεοφίλειαν καὶ ἀνδρείαν αὐτῷ μαρτυρῶν, ἕτοιμον πρὸς πειθὼ ποιεῖ.

728. τοὔνεκα καὶ βουλῇ] καὶ τοῦτο τεχνικῶς. οὐ γὰρ ἀνδρεῖον μὲν, ἀνόητον δὲ αὐτὸν ἔφη, ἀλλὰ λεληθότως τὴν ἀνδρείαν εἰς ψόγον αὐτῷ τρέπει, αἰτίαν τοῦτο φάσκων τοῦ ἀπειθεῖν τοῖς ὀρθῶς συμβουλεύουσιν.

730. πάντα εἰς θεὸν ἀναφέρει ὁ ποιητὴς, καὶ δείκνυσιν ὅτι αἱ ἀρεταὶ θεόσδοτοι. πιθανῶς δὲ τὸ μὲν ἐκείνου ἐν πρώτοις, δεύτερον δὲ τὸ ἴδιον πλεονέκτημα.

733. τοῦ δέ] τοῦ νοῦ. ἐπαυρίσκονται δὲ ἀπολαύουσιν· "ἐσθλὸς γὰρ κἀκεῖνος ὃς εὖ εἰπόντι πίθηται" (Hesiod. O. 293).

734. πολεῖς] πολλούς. ἤδη δὲ προεῖπε "τοῦ δέ τε πολλοὶ ἐπαυρίσκονται." ἐὰν δὲ τὰς πόλεις ἀκούσωμεν, μείζων ἔσται ὁ

23, 25. ἀνδρείαν] ἀνδρίαν et infra ἀνδρίας

23. πειθὼ] πειθῶ hic et infra

32. πίθηται] πείθεται

ἔπαινος, ὅτι ἀνδρὸς ἑνὸς εὐβουλία καὶ πόλεις ὅλας σώζει. ἀμείνων οὖν τῆς ἀνδρείας ἡ φρόνησις, ὅσῳ καὶ πολυωφελεστέρα.

πλεονάζει ὁ κεν. λέγει δὲ ὅτι μᾶλλον τῶν ἄλλων διέγνω τὴν ἐκ τοῦ πράγματος ὠφέλειαν καὶ σωτηρίαν.

735. δεόντως ἐπάγει νῦν τὴν ἰδίαν γνώμην, προπαρασκευάσας πρὸς πειθὼ τὸν στρατηγόν.

736. εἴωθεν ἀπὸ τοῦ γάρ ἄρχεσθαι οὐκ αἰτιολογικῶς. στέφανος δὲ ὁ κύκλος, ἀπὸ τῆς στεφάνης τῶν γυναικῶν· ἡ δὲ περί πρὸς τὸ δέδηεν. λέγει δὲ τὸ ὅλον ὅτι ὁ πόλεμος εἰς σὲ περισσῶς ἀνάκειται, ἢ ὅτι ὁ τοῦ πολέμου κύκλος παρὰ τῶν πολεμίων ἤδη σε περιείληφεν.

737. Τρῶες δέ] τοῦτ' ἂν εἴη ἀγαθοῦ συμβούλου τὸ μὴ μόνον τὰ καθ' ἑαυτὸν καὶ τὸν στρατηγὸν ἰδεῖν, ἀλλὰ καὶ τὸ πᾶν κατασκέψασθαι, ὃ νῦν ὁ Πολυδάμας ποιεῖ.

740. ἀρίστους] ἀντὶ τοῦ ἀριστεῖς. πιθανῶς δὲ χρῆται τῇ συμβουλῇ, ἵνα μάθῃ ὁ Ἕκτωρ τοὺς ἀνῃρημένους καὶ ἀναχωρήσῃ. ἐκ τοῦ καλέσαι, φησὶ, τοὺς ἀρίστους βουλευσόμεθα τὸ συμφέρον.

742. ἤ κεν] καθόλου ἐστὶ τῆς ἑτέρας γνώμης ὁ Πολυδάμας, ἀλλ' οὐ φανερῶς λέγει· ἠπίστατο γὰρ οὐ δεξόμενον τὸν Ἕκτορα. ἄμφω οὖν τέθεικεν, ἵνα ἐπ' ἐκείνῳ ᾖ τὸ ἑλέσθαι. ὅτι γὰρ ὡς παράδοξον αὐτὸ πρῶτον τέθεικε δῆλον ἐκ τῆς ἐπιφορᾶς "αἴ κ' ἐθέλῃσι θεός," ὡς δύσκολον καὶ ἐπὶ μόνῳ θεῷ κείμενον τὸ ἑλεῖν τὰς ναῦς.

745. σταθμῷ ἀποδῶσι τὴν χθεσινὴν ἡμῶν εὐημερίαν· ἐν τῇ κόλῳ μάχῃ γὰρ εὐτύχησαν Τρῶες. θεραπεύει δὲ τὸν Ἕκτορα λεληθόσιν ἐπαίνοις, ὑπομιμνήσκων αὐτὸν τῶν χθὲς αὐτῷ κατωρθωμένων.

*οἱ δὲ ἀρχαῖοι σταθμῷ ἐδάνειζον χρυσίον καὶ ἀργύριον καὶ τὰ παραπλήσια, ὡς νομισμάτων τότε μὴ ὑπαρχόντων. τὸ δὲ μὴ τὸ χθιζὸν ἀποτίσωνται χρεῖος ἀντὶ τοῦ ἴσον ἀπολάβωσιν, ὡς ἐν ζυγῷ τὸ ἴσον στήσαντες καὶ ἀπομετρούμενοι ὄφλημα· χρεῖος γὰρ τὸ χρέος εἶπε καὶ ὄφλημα, οὐχ ἁπλῶς τὸ πρᾶγμα. φησὶν οὖν, δέδοικα μὴ ὡς δανεισάμενοι χθὲς τὴν νίκην ἀποδῶμεν αὐτοῖς, σταθμῷ στήσαντες τὸ χρέος.

748. ἅδε δ' Ἕκτορι μῦθος] διδάσκει πείθεσθαι τοῖς καιροῖς. τοιοῦτος γὰρ ἦν καὶ Ἀγαμέμνων, ἐπιπλήσσων Ὀδυσσεῖ καὶ Διομήδει

2. *ἀνδρείας] ἀνδρίας
24. κόλῳ μάχῃ] κολοβομάχῃ, ut in scholio ad 8, 1.

ἐν τῇ ἐπιπωλήσει, καὶ ὕστερον ἀνεχόμενος αὐτῶν ἐν τῇ ἐπιπλήξει καὶ τοῖς ὀνείδεσιν.

751. ἐρύκακε] μὴ ἔα χωρίζεσθαι, ἀλλ' εἰς ταὐτὸ σύναγε.

754. καὶ Ὄλυμπος ἄρα ὄρος· φησὶ γὰρ "κατ' Ὀλύμπου νιφόεντος." πρὸς δὲ μέγεθος ἡ εἰκών, ἐπεὶ τὸ ὄρος ἀκίνητόν ἐστιν.

756. ἀγαπήνορα] τὸν διὰ τὴν οἰκείαν ἀνδρείαν ἀγαπώμενον.

761. ταχίστῃ συλλήψει ἐδήλωσεν ὧν μὲν τρῶσιν, ὧν δὲ τέλεον ἀναίρεσιν· Ἕλενος δὲ καὶ Δηΐφοβος οὐκ ἀπήμονες, Ὀθρυονεὺς δὲ καὶ Ἄσιος οὐκ ἀνώλεθροι.

763. κέατο ψυχὰς ὀλέσαντες] πρὸς τὸ δεύτερον ὑπήντησε, τὸ οὐδ' ἀνωλέθρους.

764. βεβλημένοι οὐτάμενοί τε] συλληπτικῶς· ἐβέβλητο γὰρ Ἕλενος, οὔταστο δὲ Δηΐφοβος.

765. ἀριστερὰ μὲν τοῦ Ἕκτορος, δεξιὰ δὲ τοῦ τείχους.

766. Ἑλένης πόσιν] ἐσπούδαζε γὰρ ἀνὴρ αὐτῆς εἶναι, εἰ καὶ μοιχὸς ἦν. ἢ τὸν τέως ἔχοντα αὐτὴν πόσιν λέγει· διὸ Μενέλαον οὐδέποτε πόσιν αὐτῆς καλεῖ.

768. προσέφη αἰσχροῖς ἐπέεσσιν] ὡς αἴτιον τῆς μάχης, καὶ ἐπεὶ δι' αὐτὸν ὁ τῶν ἀρίστων κίνδυνος. ἔχει δὲ ἦθος ὁ λόγος· αὐτὸς γὰρ μᾶλλον αἴτιος τῆς ἐκείνων ἀπωλείας γεγονώς, ὡς ἀναγκάσας αὐτοὺς διαβῆναι τὸ τεῖχος, ἄλλῳ τὴν αἰτίαν ἀναφέρει· ὅπερ ἴδιον τῶν δυσχεραινόντων καὶ τὰ ἴδια ἁμαρτήματα μετατιθέντων. ὃ καὶ ἐξελέγχει ὁ Πάρις ἐν τῇ ἀποκρίσει "Ἕκτορ ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι" (775).

769. τὸ εἶδος ἄριστε τῷ γυναιμανές συνάπτει, ἵν' ᾖ ὁ λόγος οὕτως, ἐπὶ μοιχείᾳ καλλωπιζόμενε· μέμφεται γὰρ τὸ κάλλος αὐτοῦ οὐχ ὡς κακὸν, ἀλλ' ὡς αἴτιον κακοῦ.

772. ἠθικῶς ὁ τοί ἐνταῦθα· οὐ γὰρ παρέλκει, ἀλλὰ ἔχει χώραν κυριωτάτην, ἐπεὶ καὶ τὸ ὅλον δι' Ἀλέξανδρον πράττεται. εἰκονικῶς δὲ ὁ ποιητὴς προβάλλεται τὴν φωνὴν καὶ τὸ βλέμμα τοῦ σχετλιάζοντος. κατ' ἄκρης δὲ διόλου ἕως τῆς ἀκροπόλεως.

773. σῶς] σωζόμενος· τοῦτο γὰρ ὀλέθρου σωζομένου, τὸ ὄλεθρον ἐμποιεῖν τοῖς ἐντυγχάνουσιν. οἱ δὲ ἰσχυρός. οἱ δὲ πλήρης. οἱ δὲ σωστέος, ἵν' ᾖ νῦν σοι σωστέον τὸν ὄλεθρον, ὅ ἐστι, νῦν ὀφείλεις σκοπῆσαι πῶς σωθήσῃ.

1. ἐπιπωλήσει] ἐπιπολήσει 6. ἀνδρείαν] ἀνδρίαν

776. ἐρωῆσαι] τὴν ἐπὶ τὰ ὀπίσω ὁρμὴν ποιῆσαι ὑποχωρῆσαι· οὐ γὰρ νῦν.

778. ἐξ οὗ] ἐξ ὅτου παρώρμησας τοὺς ἑταίρους ἐπὶ ταῖς ναυσίν. ἠρέμα δὲ ἐλέγχει ὅτι ἐκεῖνος αἴτιος ἀναγκάσας ἐλθεῖν· σαφῶς δὲ ἐλέγχειν οὐ δύναται.

779. ὁμιλέομεν Δαναοῖσι] κατὰ ἴλας συμβάλλομεν αὐτοῖς.

782. τετυμμένω ἐγχείῃσι] σύλληψις· φησὶ γὰρ "δουρὶ βραχίονα τύψε" (529) καὶ περὶ ἑτέρου "τὴν βάλεν ᾗ ῥ' ἔχε τόξον" (594).

786. ἀλκῆς] ὅση μοι πάρεστι δύναμις, παραυξήσω τὴν ἀλκὴν, οὐκ ἐλαττώσω.

787. πὰρ δύναμιν] τῶν πάνυ χρησίμων ἡ γνώμη καὶ καθ' ἑαυτὴν ὑπάρχουσα.

793. ἀμοιβοί] οἱ μὲν, πεζοί· οἱ δὲ, ἀμειβόμενοι Πρίαμον ὑπὲρ ὧν ἐπεκούρησε Τρωσὶ, μᾶλλον δὲ Φρυξίν· οἱ δὲ, διάδοχοι τῶν προκαμόντων, ἵν' ᾖ ἔπαινος τῶν Ἑλλήνων διαδοχῇ μὴ κεχρημένων.

*ἀμοιβοί] οἱ ἐξ ἀμοιβῆς καὶ ἐναλλάξεως παραγεγονότες συμμαχῆσαι τοῖς Τρωσὶν ἀντὶ τῶν πρότερον συνεργούντων αὐτοῖς πολιτῶν· διὰ γὰρ τὸ ἐπὶ δέκα ἔτη τὸν πόλεμον ἀνύεσθαι οἱ πρῶτοι, κεκμηκότες κατὰ τὴν μάχην, ἰσαρίθμων αὐτοῖς ἄλλων ἀποστελλομένων ἀποπέμπονται, ὡς εἰκός. ἐξ ἀμοιβῆς ἀμύνοντες. ἢ οἱ ἀμοιβὴν ἀποδιδόντες τῷ Πριάμῳ διὰ τὸ καὶ αὐτὸν συμμαχῆσαι Φρυξίν (Il. 3, 188). ἐπιφέρει γὰρ "ἠοῖ τῇ προτέρῃ" λέγει γὰρ ἐν τῷ καταλόγῳ "Φόρκυς αὖ Φρύγας ἦγε καὶ Ἀσκάνιος θεοειδής" (Il. 2, 861). οἷον ἀμοιβοί πεζοί· διὰ γὰρ τῆς ἀμοιβῆς τῶν ποδῶν γίνεται ἡ τῶν πεζῶν ἔφοδος.

795. ἀτάλαντοι ἀέλλῃ] κατ' ἀρχὰς μὲν ἀέλλῃ τὴν ἔφοδον αὐτῶν παρέβαλε διὰ τὸ σφοδρὸν τῆς ὁρμῆς, ὕστερον δὲ τὸ πλῆθος εἴκασε πελάγει· ὄχλου γὰρ κίνησις καὶ ὁρμὴ θαλάσσης παραπλήσια. δι' ἔμφασιν δὲ καὶ τὸ ἀργαλέων ἀνέμων πρόσκειται, ἵνα τοὺς σφοδροὺς ἐμφήνῃ.

796. ὑπὸ βροντῆς] μετὰ βροντῆς ἐπιφέρεται μὲν ὡς ἐπὶ τὸ πέδον, ἀποσκήπτει δὲ εἰς θάλασσαν, ὃ καὶ καλεῖται σκηπτός.

4. *αἴτιος] ἀναίτιος
ἐλθεῖν] *ἐνταῦθα ἐλθεῖν
15. *προκαμόντων] προκαλούντων
25. οἷον Vill.] οἷοι B et Ven. A. πεζοί addidit Bekk.
33. *σκηπτός] σκηπτόν

797. θεσπεσίῳ] θείῳ. δηλοῦν οὖν θέλει τὴν ἀπὸ τοῦ θεοῦ καταβεβηκυῖαν ἄελλαν.

798. κύματα παφλάζοντα] δεῖξαι θέλει καὶ φύσιν κυμάτων. καί μοι δοκεῖ καὶ τὸν ἦχον μιμήσασθαι διὰ τῆς περὶ τὴν σύνθεσιν τῶν σημείων τραχύτητος. ὅρα δὲ καὶ τὸ ὁμοιοκατάληκτον, κύματα παφλάζοντα, κυρτὰ, φαληριόωντα. καὶ ἔχει ἕκαστον τῶν ὀνομάτων ἰδίαν χάριν· τὰ μὲν γὰρ παφλάζοντα πρὸς τὸν ἦχον, τὰ δὲ κυρτὰ πρὸς τὸν ὄγκον, τὰ δὲ φαληριόωντα πρὸς τὸ χρῶμα. προειπὼν δὲ "ἐν δέ τε πολλὰ κύματα," ἐπεξηγεῖται πῶς πολλά· "πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἐπ' ἄλλα." εἰς δὲ τὴν συνέχειαν τῆς ἐπιφορᾶς τῶν πολεμίων ἡ εἰκών.

παφλάζοντα] ἐν τῷ ἀναζεῖν ἠχοῦντα, πρὸς τὸν Τρωϊκὸν πόλεμον.

799. φαληριόωντα] λευκανθίζοντα τῷ ἀφρῷ ὡς καὶ οὗτοι τῇ παντευχίᾳ.

* ἐκ τοῦ φῶ τὸ φαίνω, ὁ μέλλων φάσω, ἀφ' οὗ καὶ φαλὸν τὸ λαμπρὸν, ἐξ οὗ καὶ φάλαρον ("καπφάλαρ' εὐπείητα" Il. 16, 106)· ἐξ αὐτοῦ καὶ φαλακρός ὁ τὸ κάρα φάλαρον ἔχων, τουτέστι λαμπρόν. καὶ ὥσπερ ἔρευθος ἐρευθιῶ, οὕτως καὶ φάλαρον φαλαριῶ, καὶ τροπῇ τοῦ ᾱ εἰς η̄ φαληριῶ.

800. πρὸ μὲν πρόσω μέν, ἐπὶ ὀπίσω.

806. προποδίζων] ἠρέμα ἕτερον ἐφ' ἑτέρῳ πόδα τιθείς.

807. ὑπασπίδια προβιβῶντι] μετὰ πολλῆς ἀσφαλείας βαίνοντι. τῷ δὲ βαδίσματι καὶ τῇ προτροπῇ δείκνυσιν ἄνδρα βάρβαρον ἐνδεικνύμενον τὴν εὐψυχίαν.

810, 811. δαιμονίως τῷ ἤθει χρῆται· τὸν μὲν γὰρ κίνδυνον ἴδιον αὐτῷ καθίστησι διὰ τοῦ σχεδὸν ἐλθέ, τὴν δὲ ἀρετὴν κοινὴν ἁπάντων· "οὔ τοί τι μάχης ἀδαήμονές εἰμεν."

814. ἄφαρ ῥᾳδίως. τινὲς δὲ, ἐλπίζει ἄφαρ ἐξαλαπάξειν, εἰσὶ δὲ χεῖρες καὶ ἡμῖν ὥστε ἀμύνειν. ἢ εἰσὶ καὶ ἡμῖν χεῖρες ὥστε ἄφαρ ἀμύνειν.

817. σοὶ δ' αὐτῷ φημὶ] οὐ προμαντεύεται, ἀλλὰ στοχάζεται· ἤκουσε γὰρ καὶ Ἀχιλλέως "ἀμφὶ δέ τοι τῇμῇ κλισίῃ Ἕκτορα καὶ μεμαῶτα μάχης σχήσεσθαι ὀΐω" (Il. 9, 645)· ὅθεν καὶ τὸ περισσὸν ὑποφαίνει.

5. σημείων] * στοιχείων
24. εὐψυχίαν Bekk.] εὐτυχίαν
27. τι et εἰμεν addidit Bekk.
28. ἐξαλαπάξειν] ἐξαλαπάζειν

824. ἁμαρτοεπές] τῶν βελτίστων λόγων ἁμαρτάνων. ἐπιλέλησται δὲ τοῦ "ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε καὶ πινυτήν" (Il. 7, 288).

βουγάϊε] τὴν γῆν ἐργαζόμενε βοῦ, διὰ τὸ δυσκίνητον καὶ μὴ δρομικὸν, ὡς Ἀχιλλεὺς, καὶ μέγα τοῦ σώματος. ἢ ἐπὶ τῇ ἀσπίδι γαίων. βουκαῖος δὲ ὁ ἀγροῖκος, ὡς Νίκανδρος "βουκαῖός τ' ἀλέγοι καὶ ὀροιτύπος."

*Πορφυρίου. τὸ βουγάϊον ἀκουστέον διὰ τὸ ὑπερμεγέθη ἔχειν βοείαν ἀσπίδα, ὡς εἰ ἔλεγεν ὁ γαίων ἐπὶ τῇ ἀσπίδι, ὡς κύδεϊ γαίων. ἐπὶ δὲ τοῦ Ἴρου "νῦν μὲν μήτ' εἴης βουγάϊε μήτε γένοιο" (Od. 18, 78) χαριεντιζομένου ἀκουστέον διὰ τὸ μέγεθος, ὡς ὑπερμεγέθη ἂν ἔχοντος ἀσπίδα. λέγει δὲ μὴ εἴης μέγας μηδὲ γένοιο μέγας, ᾧ ὅμοιον τὸ "ἦ μάλα Ἶρος ἄϊρος" (ib. 72) "ἀπαγγέλλων ὅτε πού τις ἀνώγοι" (ib. 7). τούτῳ ὅμοιον τὸ "οὕτω γάρ κεν δή μοι ἐϋκλείη τ' ἀρετή τε εἴη ἐπ' ἀνθρώπους ἅμα τ' αὐτίκα καὶ μετέπειτα" (Od. 14, 402)· ταὐτὸ τῷ εἴη καὶ γένοιτο.

825. αἲ γάρ] τέσσαρα εὔχεται, καὶ παῖς Διὸς εἶναι, καὶ ὡς θεὸς ἀεὶ, καὶ ἐξ Ἥρας, καὶ ἴσος Ἀθηνᾷ καὶ Ἀπόλλωνι.

830. μακρόν] τὸ μέγα, ἢ τὸ κατὰ βάθος ἐρχόμενον. λειριόεντα δὲ εὐτραφῆ καὶ ἀνθηρόν. χρόα δὲ λέγει τὴν ἕως ὀστῶν σάρκωσιν.

831. σημειωτέον τὸ ἔπος· ὁ γὰρ περὶ λύμης σώματος ἀπειλῶν περὶ σῶμα αἰκισθήσεται.

835. ἐπίαχον] δηλονότι ἀνθιστάμενοι, ὥστε ἐκ τῆς ἑκατέρων βοῆς μέγαν τινὰ ἦχον γενέσθαι.

837. ἷκετ' αἰθέρα καὶ Διὸς αὐγάς] ἐν τάχει τὸ μέγεθος τῆς βοῆς ἐσήμανεν εἰς ὅσον ἤρθη· Διὸς γὰρ αὐγὰς λέγει τὸν οὐρανόν· τὸ δὲ μέγιστον ἔξαλμα οὐρανός ἐστι καὶ γῆ.

ΕΙΣ ΤΗΝ Ξ.

1. Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή] καθελὼν τὸ τεῖχος ὁ ποιητὴς, καὶ τοὺς Τρῶας εἰσαγαγὼν, καὶ ἀναλώσας τὰ πολλὰ περιπτώματα καὶ τὰς ἐνεργείας τῶν λόγων, τὴν ἐπὶ ταῖς ναυσὶ μάχην ὑπερτίθεται διὰ Νέστορος καὶ τῆς τοῦ Διὸς κοιμήσεως, καὶ δείκνυσιν ὡς ἄκων ἐλιμπάνετο Νέστωρ τῆς μάχης συνὼν Μαχάονι διὰ τὸ αὐτὸν αἴτιον εἶναι τῆς τῶν ἄλλων σωτηρίας. ἀπάγει οὖν ἡμᾶς ἀπὸ τοῦ ὁμοειδοῦς,

7. *Πορφυρίου] om.
26. ἔξαλμα] Conf. Apollon. de adverb. p. 624, 7.

μὴ θέλων ἐπιμένειν τοῖς Ἑλληνικοῖς ἀτυχήμασιν. οὐχ ὅτι δὲ παράδοξον τὸ πίνοντα κραυγῆς ἀκοῦσαι, τοῦτο λέγει, ἀλλ' ὅτι καὶ πίνων ὅμως παρεφύλαττε τὰ ἐπὶ τοῦ πολέμου γινόμενα· ἐπάγει γοῦν (4) "μείζων δὴ παρὰ νηυσὶ βοή," ὥστε καὶ πρὸ τῆς βοῆς προσεῖχεν. δηλοῖ δὲ ὡς οὐδὲν ἡ χρεία τῶν ἡδέων κατὰ τὴν δίαιταν ἐμποδὼν γίνεται τοῖς σπουδαίοις.

ἰαχή] τὸ ἰδίωμα, φησὶ, τῆς βοῆς οὐκ ἔλαθεν αὐτὸν ὡς πάλαι πολέμων εὖ εἰδότα. τὸ δὲ λανθάνειν δηλοῖ καὶ τὸ ἀκούειν μὲν, ἐθελοντὴν δὲ παραιτεῖσθαί τι.

πίνοντά περ ἔμπης] ἀκολάστως, φασὶ, καὶ ὡς μέθυσος πίνει. τάχα οὖν τὸν κυκεῶνα πίνειν φησὶν, ὃς εἶχε καὶ οἶνον. τινὲς δὲ στίζουσιν εἰς τὸ ἰαχὴ, καὶ τὸ ἑξῆς οὕτως, ἀλλὰ καὶ πρὸς τὸν Ἀσκληπιάδην πίνοντα ἔφη. ὁ δὲ Ἀρίσταρχος ἀντὶ τοῦ ὁμοίως τῷ Μαχάονι, ὡς τὸ "σὺ δὲ χαῖρε καὶ ἔμπης" (Od. 5, 205). παρών τε καὶ ἀπών. τόν τε πέρ πλεονάζειν, ὡς τὸ "ἔφυγόν περ αἰπὺν ὄλεθρον" (Od. 17, 47).

2. ἡ πρός πρὸς τὸ Ἀσκληπιάδην. Ξάνθης δὲ καὶ Ἀσκληπιοῦ υἱὸς ὁ Μαχάων.

3. *τὸ ἔσται τοῦ γενήσεται διαφέρει· τὸ μὲν γὰρ ἐπὶ τοῦ ὑπάρχοντος, ὡς "ἔσται γέρων," τὸ δὲ ἐπὶ τοῦ μὴ ὄντος, ὡς τὸ "γενήσεται παῖς."

4. θαλερῶν] ἀπὸ τῶν νέων ἔτι καὶ θαλλόντων φυτῶν παρείληπται ἡ μεταφορά. λείπει δὲ τῷ λόγῳ τὸ ἔστιν.

5. ἀντὶ τοῦ πῖθι, ὡς τὸ "διεφαίνετο χῶρος πιπτόντων" (Il. 10, 199) ἀντὶ τοῦ πεσόντων. ὡς ἐπιπολαίας δὲ οὔσης τῆς πληγῆς, ἅμα δὲ καὶ ὡς ἰατρὸς ὢν καταφρονεῖ τῆς διαίτης καὶ πρὸς τὸ ποτὸν ἀδιαφορεῖ.

6. εἰσόκε θερμὰ λοετρά] προανακτησάμενος αὐτὸν τῷ κυκεῶνι, τότε λούει, ἀλλ' οὐκ εὐθέως, ἵνα μὴ ἀτονῶν γένηται ἀτονώτερος, οὐ τὰ θερμὰ δὲ θερμήνῃ, ἀλλὰ θερμήνῃ ἅ ἐστι θερμαντικὰ μετὰ τὸ θερμανθῆναι.

7. βρότος μὲν ὁ ἐξ αἵματος ῥύπος, βρωτὸν δὲ τὸ ἐσθιόμενον, καὶ βροτὸς ὁ φθειρόμενος ἄνθρωπος. ἀναστρεπτέον δὲ τὴν πρόθεσιν πρὸς τὸ λούσῃ.

8. εἴσομαι] ὄψομαι, ἢ γνώσομαι. περιωπὴ δὲ πᾶν ὅθεν ἔστι περιοπτεύειν. λέγει δὲ ἢ κρημνόν τινα ἢ πρύμναν νεώς.

9. τετυγμένον] εὔτυκτον, ὡς τὸ ὀρυκτὴν τάφρον καὶ πύλας ποιητάς· ἐν γὰρ πᾶσι λείπει τὸ εὖ.

11. διδάσκει ὅπως δεῖ περὶ κτημάτων πατέρας πρὸς παῖδας καὶ παῖδας διακεῖσθαι πρὸς πατέρας, μηδὲν ἡγουμένους οἰκεῖον. τάχα γοῦν ὑποχωρῶν τῆς μάχης ὁ Νέστωρ τὴν κρείττονα ἀσπίδα τῷ υἱῷ κατέλιπεν.

12. ἄλκιμον εἴρηται κατὰ τὴν πρὸς τὸν φοροῦντα ἤτοι κομίζοντα ἀναφοράν. ἀκάχμενον δὲ ἀκὴν ἔχον, ἠκονημένον, μὴ εἶκον, σκληρὸν, ἀντίτυπον.

13. τάχα δ' εἴσιδεν ἔργον ἀεικές] δαιμονίως τὴν ἔπειξιν τοῦ πρεσβύτου παρέστησεν· οὐ γὰρ προσωτέρω προελθὼν περισκοπεῖ, ἀλλ' ἅμα τῷ τῆς σκηνῆς ἐκτὸς γενέσθαι· ἦσαν γὰρ ἔγγιστα. τάχα δὲ τὸ ταχέως.

15. Τρῶας ὑπερθύμους] τῇ ἐπιφορᾷ διέλυσε τὴν ἀμφιβολίαν, ὡς τὸ "ἡ δ' ἑτέρη θέρεϊ προρέει" (Il. 22, 151)· ἐδήλωσε γὰρ ὡς ἡ ἄλλη χειμῶνος ῥεῖ.

ὡς φιλέλλην αὔξει τὴν συμφορὰν, ἐπεὶ οὐ πᾶν, ἀλλὰ μόνη πέπτωκεν ἡ ἔπαλξις.

16. πορφύρει] ἀντὶ τοῦ μελαίνεται, ὡς τὸ πορφύρεος θάνατος. ἢ κατὰ βάθους κινεῖται· πορφύρειν γὰρ τὸ κατὰ βάθος μεριμνᾶν.

κωφῷ] ἀφώνῳ, μηδέπω παφλάζοντι· καὶ κωφὸν ὕδωρ τὸ ἄροιζον, κωφὴν δὲ γαῖαν τὴν ἀναίσθητον. τοῦτο δὲ Ἀττικοὶ κολόκυμα, Αἰολεῖς δὲ σκώληκα καλοῦσι. καλῶς δὲ μελαίνεσθαί φησι τὸ πέλαγος τὸ μηδέπω ὕπαφρον γενόμενον ἐκ κυμάτων παφλαζόντων.

18. παρέλκει ὁ τέ· τὸ δὲ πρό εἰς τοὔμπροσθεν, τὸ δὲ ἑτέρωσε εἰς τοὐπίσω, ἵν' ᾖ ἀπὸ κοινοῦ τὸ κυλίνδεται, ὅ ἐστιν οὐδ' ἔμπροσθεν ἀνακάμπτει τὸ κῦμα.

19. ἀπλανῆ, σταθερὸν, ἢ τῶν ἄλλων κεχωρισμένον. οὖρος δὲ παρὰ τὸ ὀρούειν. διδάσκει δὲ ὅτι τὸ ἄνω θερμὸν τὸν ἀέρα κινοῦν ἄνεμον ποιεῖ, λῦον τὴν περικειμένην ὕλην· εἰσὶ δὲ ἐξ ἰκμάδος· ὅθεν καὶ ἴκμενος οὖρος, καὶ Ἴκμιος Ζεὺς τιμᾶται, ὁ τῶν ἀνέμων δεσπότης.

21. τὸ τέλειον διχθάδια. ὥσπερ δὲ τὸ κῦμα ἀργοῦν ἕστηκε πρὸ τῆς ἐμβολῆς τοῦ ἀνέμου, οὕτω καὶ ὁ γέρων. ἔστι δὲ ταῦτα τοῦ βουλευτικοῦ καὶ ἔμφρονος, ἐπιμένοντος ἐπὶ πλέον ταῖς σκέψεσι. περισπαστέον δὲ τὸν δεύτερον η̄, ὡς δοκεῖ τῷ Ἡρωδιανῷ. ὡς λίαν

δὲ τιμώμενος παρὰ Ἀγαμέμνονι ἄτοπον ἡγεῖτο μὴ ὁρᾶν αὐτὸν τετρωμένον. ἢ ὅτι οὐδὲν δεῖ ποιεῖν ἄνευ σκέψεως· δεῖσθαι οὖν νενόμικε τῆς σὺν ἐκείνῳ βουλῆς, ὡς καὶ αὐτὸς ἐν τῇ νυκτί· ἐπάγει γοῦν "ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα, εἴ τι νόος ῥέξει."

24. οἱ δ' ἀλλήλους ἐνάριζον] ἐμάχοντο γὰρ ἐκεῖνοι πρὸς οὓς ἐλθεῖν ἐβούλετο. τοῦτο γὰρ ἐπήγαγε πρὸς τὸ "ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν."

26. ἀμφιγύοισιν] ἀμφοτέρωθεν γυῶσαι δυναμένοις, ἢ ἀμφοτέρωθεν γυῖα ἔχουσι καὶ ἐπερείδεσθαι ἰσχύουσι· γυῖα δὲ δοράτων τὰ ἄκρα τοῦ σιδήρου.

27. ξύμβληντο] συνέβαλον κατὰ συντυχίαν. ἢ ὥσπερ ὁ Νέστωρ ὑπὸ τῆς βοῆς κινηθεὶς πρόεισιν, οὕτω καὶ οἱ συνηγμένοι τραυματίαι ἐπὶ τὴν τοῦ βασιλέως σκηνήν, τεταραγμένοι ἐπὶ τῇ βοῇ, ὁμοῦ προέρχονται.

28. πὰρ νηῶν] ἀπὸ τῶν πρὸς θάλασσαν ἐπὶ τὰς ἐν τῷ τείχει. καὶ μὴν μόνος ἐν αὐτοῖς Διομήδης ἐβέβλητο. οὐκ ἔστιν οὖν σύλληψις· αἱ γὰρ συλλήψεις ἀπὸ τῶν ἴσων ἢ ἀπὸ τῶν πλειόνων γίνονται, ὡς καὶ τὸ "οὐτάμενοί περ ἀνάγκῃ" (128). ἔστι δὲ εἶδος ἀντὶ γένους, ἀντὶ τοῦ ὅσοι τετρωμένοι ἦσαν. καὶ ἀλλαχοῦ "ὅντινα τοῦτον ἄγει βεβλημένον" (Il. 11, 612) ἀντὶ τοῦ τετρωμένον· οὐ γὰρ δὴ ᾔδει Ἀχιλλεὺς πότερον ἐξ ἀφέσεως ἢ συστάδην τέτρωται ὁ σὺν τῷ Νέστορι.

30. πολλὸν γάρ ῥ' ἀπάνευθε] ἐπεξηγεῖται τὸ ἀνιόντες. ἔστι δὲ περιπαθὴς ὁ λόγος, ὅτι καίπερ μακρὰν ὄντες ὅμως ᾔεισαν ἐπὶ τὴν μάχην.

31. τὰς γὰρ πρώτας] ὅτι οὐκ ἐν διστιχίᾳ ἦσαν, ὥς φησι Κράτης· εἶπε γὰρ ἂν προτέρας· καὶ "νηῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ τῶν πρωτέων" (Il. 15, 656). ἔστι δὲ ὁ πρῶτος τῶν πρός τι, καὶ εἰσὶ πρῶται μὲν αἱ πρὸς τῇ θαλάσσῃ νενεωλκημέναι (ἑξῆς γοῦν — 75 — φησὶ "νῆες ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης"), ἔσχαται δὲ αἱ πρὸς τῷ τείχει. αἱ δὲ τοῦ Ἀγαμέμνονος νῆες πᾶσαι πρὸς τῇ θαλάσσῃ ἦσαν, ὥς πού φησιν ὁ Διομήδης "νῆες δέ τοι ἄγχι θαλάσσης" (Il. 9, 43). τὸ δὲ πρυμνῇσιν ἀντὶ τοῦ ἐσχάταις. ὁ δὲ Ἡρακλέων νῦν μὲν τὰς πρὸς τῷ τείχει καὶ πρώτας φησίν, ἑξῆς δὲ τὰς πρὸς τῇ θαλάσσῃ· "νῆες ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης." τὸ δὲ πρύμνῃσιν ἀντὶ τοῦ πρύμναις.

32. πρύμνῃσιν] τινὲς προπεριέσπασαν, ἐσχάταις ἐκδεχόμενοι, οὐχ ὑγιῶς. πρύμνῃσιν οὖν ταῖς πρύμναις, καὶ ἔστιν ἡ ἐπί ἀντὶ τῆς παρά· οὐ δύναται δὲ ταῖς ἐσχάταις· οὐ γὰρ πρυμνὸν ἄλλο ἄλλου, ἀλλ' αὐτὸ ἑαυτοῦ· πρυμνὸν δὲ σκέλος τὸ περὶ ἄκραν τὴν σάρκωσιν.

33. εὐρύς] ἀντὶ τοῦ μέγας, ὡς τὸ εὐρυκρείων. πλεονάζει δὲ τὸ ἐν οὖ.

35. προκρόσσας] κλιμακηδόν· τὴν ἑτέραν πρὸ τῆς ἑτέρας.

36. διὰ τὸ ἔχειν ἐν αὐτῷ κοιλότητα πρὸς τὸ καθορμίζεσθαι τὰς ναῦς. ἄκραι δὲ τὰ κέρατα τοῦ ναυστάθμου, ὧν ἐκτὸς οὐκ ἦν ναῦς. ὅσον οὖν, φησὶ, στόμα συνέκλειον αἱ ἄκραι τῆς ἠϊόνος, τουτέστιν ἀπὸ τοῦ ἑνὸς κέρως ἐπὶ τὸ ἕτερον.

37. ὀψείοντες] ὀπτικῶς ἔχοντες, ὄψεσθαι θέλοντες. ἡ παραγωγὴ δὲ αὕτη ἡ διὰ τοῦ ειω ἀπὸ ἐνεστώτων ἢ ἀπὸ μελλόντων γίνεται. κλίνεται δὲ μέχρι παρατατικοῦ.

38. ἀθρόοι] πλήθους γὰρ ἀρχὴ ἡ τριάς· ἢ ὡς καὶ ἄλλων ἀσημοτέρων αὐτοῖς ἑπομένων. ἢ ἄθροοι, ἵν' ᾖ ἄφωνοι.

39. ἄχνυτο δέ σφι θυμός] τῶν μὲν τραυμάτων κατεφρόνουν ὡς γενναῖοι, τὸν θυμὸν δὲ διὰ τοὺς συμμάχους ἤλγουν.

40. Ἡρωδιανὸς πῆξεν ἀποδέχεται, ἵν' ᾖ τὸ ἐν ἀκινησίᾳ ἐποίησεν· ἐπί τινι γὰρ χαλεπῷ τὴν ἀποχώρησιν αὐτοῦ ὑπώπτευσαν. ἢ μᾶλλον ἐπέρρωσεν· ἡ γὰρ ἐλπὶς αὐτῶν ὁ λόγος αὐτοῦ. Ἀρίσταρχος δὲ πτῆξεν ἀντὶ τοῦ ἐταπείνωσεν ἢ ἐπτόησεν.

41. τεταραγμένου τὸ ἦθος τὸ μὴ περιμεῖναι τὸν Νέστορος λόγον, ἀλλ' αὐτὸν ἄρξασθαι.

43. φθισήνορα] τὸν τοὺς ἀνδρείους ἀναιροῦντα. καλῶς δὲ πρῶτος πυνθάνεται πῶς καταλιμπάνει τὴν μάχην· ᾔδει γὰρ αὐτὸν τῷ γήρᾳ μὴ ἐπιτρέποντα. οὐ μὴν αἱ ἀποκρίσεις τοῦ πρεσβύτου πρὸς τοῦτο γεγόνασιν· ἀκαίρως γὰρ δισσολογεῖν ἔμελλεν ὁ ποιητής.

45. τῇ προτεραίᾳ ταῦτα εἴρηται· "μνημοσύνη τις ἔπειτα πυρός." τὸ δὲ ποτέ καὶ ἐπ' ἐλαχίστου τίθεται χρόνου.

53. ταῦτά γ' ἑτοῖμα] πρὸς τὸ "δείδω μὴ δή μοι τελέσῃ ἔπος." φησὶ δὲ ὅτι ταῦτα μὲν οὕτως ὡς ἐκεῖνος ἠπείλησεν ἔσται, καὶ οὐκ ἂν παραποιήσαι αὐτὰ ὁ Ζεύς.

9. αὐτῷ] αὐτῷ 17. ἄθροοι] ἀθρόοι

60. ἐπιμίξ] ἀθρόως ἀναμεμιγμένοι, ὥστε τῇ ὄψει μὴ διαγινώσκειν τοὺς πίπτοντας.

61. ἡμεῖς δὲ φραζώμεθ'] παιδευτικῶς· ἔστι γὰρ καὶ ἐν τοῖς ἀνιάτοις καὶ ἐσχάτοις πράγμασι διὰ συνέσεως ἀνασφῆλαι. καὶ νῦν γοῦν ὁ Νέστωρ ἀντὶ τῶν ἀνῃρημένων, ἀντὶ τοῦ διακεκομμένου τείχους, ἐπὶ τὴν φρόνησιν καταφεύγει. ἐμφαντικῶς δὲ καὶ τῷ ῥήματι χρῆται· ῥέξει γὰρ ἔφη, οὐ μηχανήσεται, ὥσπερ ἐργαζομένου τοῦ νοῦ καὶ αὐτὰς τὰς πράξεις ἀποτελοῦντος.

73. κυδάνει] ὡς μελάνει καὶ οἰδάνει ἀντὶ τοῦ μελαίνει καὶ οἰδαίνει, καὶ κυδαίνει.

75. ἢ νοσῶν οὐχ ὁρᾷ τὸ χρειῶδες, ἢ τῶν ἀριστέων πειρᾶται· οἶδε γὰρ ὅτι ἐν ἡσυχίᾳ μὲν τῶν πραγμάτων κειμένων ὑποπίπτουσι τοῖς ὑπερέχουσιν ἕκαστος, κινδύνου δὲ ἐπιγενομένου δηλοῦσι τὴν προαίρεσιν, οὐδὲν τῆς οἰκείας ἀσφαλείας προτιμῶντες. καὶ ἰδίως μὲν αὐτὸς πάλιν δοκιμάζειν βούλεται· καὶ πρὸς σώφρονας ὁ λόγος, καὶ οὐκ εὐθὺ πηδήσουσι πρὸς πρᾶξιν. βούλεται δὲ παρακληθῆναι ἑαυτῷ τὸν στρατὸν, ἀλλὰ διὰ τῶν ἡγεμόνων· δι' ἑαυτοῦ γὰρ οὐκ ἐδύνατο, ὡς τοῦ παρόντος κινδύνου διὰ τὴν Ἀχιλλέως μῆνιν τὴν αἰτίαν φέρων.

*Πορφυρίου. ἐζήτηται πῶς ὁ Ἀγαμέμνων οὕτως ἀστρατηγήτως φυγεῖν προστάσσει τοῖς Ἕλλησι. ῥητέον οὖν ὅτι ὁ Ἀγαμέμνων γινώσκων αὐτοὺς μὴ φευξομένους διὰ τὴν οἰκείαν ἀρετὴν, καὶ ὅτι οὐδὲ λαθεῖν ἠδύναντο τοὺς πολεμίους, ἐπιτρέπει αὐτοῖς φεύγειν, ἵνα μὴ δόξῃ παρὰ δύναμιν κατέχων ἕνεκα τοῦ καθ' ἑαυτὸν χρησίμου αἴτιος γίνεσθαι τοῦ πάντας ἀπολέσθαι, τοὐναντίον δὲ εὔνοιαν αὐτῷ πορίσηται διὰ τὸ πᾶν ὁτιοῦν αἱρεῖσθαι ποιεῖν καὶ ὑπομένειν καὶ τὴν ἐκ τῆς φυγῆς ἀδοξίαν ἕνεκεν τῆς ἐκείνων σωτηρίας.

77. ὕψι] τὸ γὰρ ὑγρὸν ὑψηλότερον τῆς γῆς· διὸ ἀνάπλους μὲν ἡ ἀναγωγὴ καλεῖται, κατάπλους δὲ ἡ προσόρμισις. καὶ "ὑψοῦ δ' ἐν νοτίῳ τήν γ' ὅρμισαν" (Od. 4, 785).

78. ἀβρότη] ἐν ᾗ φόνοι οὐ γίνονται· ἔλυον γὰρ νυκτὸς τὰς τάξεις. ἢ μεταληπτικῶς ἡ φῶς μὴ ἔχουσα· βροτὸς γὰρ ὁ φώς· καὶ Αἰσχύλος (Pr. 2.) "ἄβροτον εἰς ἐρημίαν," δῆλον ἐν ᾗ φὼς οὐ γίνεται.

19. * Πορφυρίου] om. ἀστρατηγήτως L. Dindorfius] ἀστρατήγως. V. vol. 2 p. 389.

22. ἠδύναντο] ἠδύνα̃

24. * τοῦ πάντας] τῶ πάντας αὐτῷ] αὐτῷ

29. ὅρμισαν] ἔρουσαν

φυγέειν κακόν] αἰσθάνεται αἰσχρὰ συμβουλεύων, ἀλλ' ὅρα τί προστίθησιν· οὐ γὰρ ἔφη φυγεῖν τὸν πόλεμον, ὅπερ ἦν ἀπρεπέστατον, ἀλλὰ κακόν. καὶ τὸ οὐδ' ἀνὰ νύκτα εἰς ἐπίτασιν, καίτοι γε ἀγεννὲς ἦν τὸ νυκτὸς ὥσπερ δραπετεῦσαι τὴν μάχην.

83. Ἀτρείδη] καλῶς ἐπιπλήσσοντα παράγων τὸν Ὀδυσσέα περιεῖλε τὰ λοιπὰ τῶν ὀνομάτων, τὸ κύδιστε καὶ τὸ ἄναξ. ἕρκος δὲ τὴν ἔξοδον τῶν ὀδόντων. καὶ γὰρ ἦν παράδοξον τὸν εἰπόντα "ἱδρώσει τελαμών" (Il. 2, 388) καὶ ἀπειλήσαντα τοῖς φυγοῦσιν ("ὃν δέ κ' ἐγὼν ἀπάνευθε μάχης" ib. 391) νῦν λέγειν "οὐ γάρ τις νέμεσις φυγέειν."

84. τὸ πρῶτον ἐπιχείρημα ἀπὸ τῶν ἀκουόντων λαμβάνει, ὅτι πρὸς τοιούτους οὐκ ἔδει συμβουλεύειν τοιαῦτα. οὐλόμενε δὲ ὀλέθρων αἴτιε. ὡς ἐν ἰδιάζουσι δὲ σοβαρῶς ἐπιπλήσσει· μετεσχηκὼς γὰρ τῆς πρώτης ἀποπείρας, οἶδεν ὅτι καὶ νῦν πεῖραν καθίησιν. ἔχει οὖν καιρὸν ἡ παρρησία.

86. *μεταφορικῶς ἀπὸ τῶν ἔργων ὅσα ἐκλείπει ἐπὶ ταυτὸν συνάγεται· ὅσα οἱ τελεσιουργοὶ τολύπας καλοῦσι· καὶ γὰρ ἐπὶ τῶν πολέμων τὸ παραπλήσιον γίνεται ἐξ ὀλίγων πλαττομένων καὶ νοουμένων ἐπὶ τὸ αὐτὸ συνελθόντων κατορθωμάτων.

88. οὕτω δή] τὸ δεύτερον ἐπιχείρημα ἀπ' αὐτοῦ τοῦ πράγματος, ὅτι εἰ καὶ ἄλλοι ἦσαν οἱ ὑποτεταγμένοι, οὐκ ἔδει τοιαῦτα συμβουλεύειν οὐδὲ καταλείπειν τὰ προκείμενα. εἶτα τρίτον, ὅτι ἀνάξια βασιλέως ἐφθέγξατο.

90. σίγα· μή τίς τ' ἄλλος] δαιμονίως ὡς πρὸς ἁμαρτόντα διαλέγεται, καί φησιν ὅτι ἀρκέσει σοι πρὸς ἡμᾶς τοὺς φίλους τὸ εἰρημένον.

91. οὐδὲν αἰσχρότερον οἶδεν ὁ ποιητὴς τοῦ λιποτακτεῖν· ἀμέλει καὶ Ἀγαμέμνων ἀλλαχοῦ αὐτοὺς ἐξωνείδισεν. ἄντικρυς δὲ ἐξελέγχει ὅτι οὐ βασιλικὸς ὁ λόγος ἐστί. καὶ ῥητορικὸν δὲ τὸ σχῆμα, ὅταν αἰτιώμενοί τινας πεφεισμένως μὴ τὰς κυρίας ὀνομασίας τῶν ἁμαρτημάτων λέγωμεν· ἔδει γὰρ εἰπεῖν, ὡς οὐδὲ ἰδιώτης ἀξιώσει λέγειν.

99. ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιρρέπῃ] ἡμῖν δὲ ἀνυπέρβλητος ἐπιγίνηται ὄλεθρος.

101. ἀποπαπτανέουσιν] περιβλέψουσι καὶ πτοηθήσονται, δηλονότι

26. λιποτακτεῖν] λειποτακτεῖν 32. ἐπιγίνηται] ἐπιγίνεται

περὶ τὴν καθολκὴν γενόμενοι. γίνεται δὲ ἀπὸ τοῦ παπταίνω παπτανῶ παπτανέω.

102. ὄρχαμε λαῶν] ἠθικὸν τοῦτο· κατακερτομεῖ γὰρ τὴν βουλὴν ὡς οὐ βασιλεῖ ἁρμόζουσαν, καὶ οἱονεὶ λέγει ὅτι σὺ ὁ βασιλεὺς πάντα συγχέεις.

104. καθίκεο] διδάσκει φέρειν πράως τὰς λοιδορίας, ἐὰν ἐν καιρῷ καὶ ἐπὶ συμφέροντι γίνωνται.

105. ἀτὰρ οὐ μέν] ἄριστα τρέπει τοὺς λόγους ἐπὶ ἕτερα, ὡς πάντα ὑπὲρ Ἑλλήνων σκοπῶν.

107. εἴη] ἀντὶ τοῦ ἴτω· "καὶ τῷ προσιόντι προσεῖναι" (Hesiod. O. 351) ἀντὶ τοῦ προσιέναι. διδάσκει δὲ παντὸς δέχεσθαι τὴν παραίνεσιν ἐν καιρῷ κινδύνου.

108. ἀσμένῳ] ἀπὸ τῆς ἠσμένος μετοχῆς γέγονεν ὄνομα, ὅθεν καὶ τὸ πνεῦμα ἤμειπται.

110. ἐγγὺς ἀνήρ] ἐγγὺς, φησὶν, ὅστις ἀμείνονα μῆτιν ἐνίψει. ματεύσομεν δὲ ἐρευνήσομεν, ζητήσομεν· ὑποβάλλει γὰρ καὶ ἑαυτὸν τοῖς ζητοῦσι. μέτριος δὲ ὁ λόγος, οὐκ ἔχων ἐπίπληξιν· ἀπήρκει γὰρ Ὀδυσσεὺς εἰς τοῦτο· ἄλλως τε τὸ πλήσσειν θαμὰ ἀπέχθειαν οὐ κηδεμονίαν ἐμφαίνει.

*Πορφυρίου. ἐζήτηται διὰ τί νῦν Διομήδης συμβουλεύει καὶ οὐχ ὁ Νέστωρ. ῥητέον οὖν ὅτι τὸ μὲν γῆρας ἐν τοῖς δεινοῖς ἐστὶν ἐπισχετικὸν, ἡ δὲ νεότης θαρσαλεωτέρα. ἄλλως τε καὶ Διομήδης ἐν τῇ προτέρᾳ βουλῇ θαυμασθεὶς νῦν μᾶλλον τεθάρρηκε, καὶ προήρπασε τῶν πρεσβυτέρων τοὺς λόγους.

113. πατρὸς δ' ἐξ ἀγαθοῦ] καίτοι ἴδια λέγειν ἔχων, ὅμως τὰ τοῦ πατρὸς προβάλλεται· τούτῳ γὰρ αὐτὸν συνέκρινεν Ἀγαμέμνων.

114. τὸ Θήβῃσι καὶ ὄνομα καὶ ἐπίρρημα δύναται εἶναι. Ὁμηρικὸν δὲ τὸ ταῖς παρεκβάσεσι διαναπαύειν τὸν ἀκροατήν.

116. συλλήψει ἐχρήσατο· οἱ μὲν γὰρ δύο ἐν Πλευρῶνι, ὁ δὲ Οἰνεὺς ἐν Καλυδῶνι ᾤκει.

120. *καὶ διὰ τί νῦν ὁ Διομήδης ἑαυτὸν γενεαλογεῖ; ῥητέον οὖν ὅτι πάνυ ῥητορικῶς· δεῖ γὰρ ἐν ταῖς συμβουλαῖς προαποδεικνύειν ὡς εἰσὶν οὐχ οἱ τυχόντες, ἀλλὰ πολλῷ κρείττους, ἵν' οὕτως ὡς ἂν καλλίονες εἰπόντες πείσωνται.

1. *καθολκὴν] καθολικήν 4. *πάντα] πάντας 18. *θαμὰ] ἅμα
20. *Πορφυρίου] om. 31. καὶ διὰ—] Cohaeret cum scholio lin. 20–24.

τὴν μὲν τῆς φυγῆς αἰτίαν ἐσιώπησε, μόνον θεοθελῆ εἰπών, τὰ δὲ πρὸς ἀρετὴν καὶ πλοῦτον εἶπεν.

*εὐσχημόνως ὁ Διομήδης παρεσιώπησε τὴν τοῦ πατρὸς φυγήν· Τυδεὺς γὰρ ἀνελὼν Λυκωπέα καὶ Ἀλκάθουν ἑαυτοῦ παῖδας ἔφυγεν. ἡ δ' ἀληθεστέρα ἱστορία ἐστὶν αὕτη. Τυδεὺς ὁ Οἰνέως Αἰτωλὸς μὲν ἦν τὸ γένος, ἀνδρειότατος δὲ τῶν κατ' αὐτὸν γενόμενος ἔτι νέος ὢν ἐθεάσατο τὸν πατέρα διὰ γῆρας ὑπὸ τῶν Ἀγρίου παίδων τῆς βασιλείας ἐκβαλλόμενον· διόπερ ἀναιρεῖ τούς τε ἀνεψιοὺς καὶ σὺν αὐτοῖς ἀκουσίως τὸν ἀδελφόν. φεύγων δ' εἰς Ἄργος πρὸς Ἄδραστον τὸν βασιλέα τῆς χώρας καθαρσίων τε τυγχάνει πρὸς αὐτοῦ, καὶ λαμβάνει τὴν θυγατέρα αὐτοῦ Δηιπύλην. ἡ ἱστορία παρὰ Φερεκύδει.

123. *ὄρχατοι] κῆποι.

124. πάντα τὰ τετράποδα π ρ ό β α τ α ἐκάλουν οἱ παλαιοὶ διὰ τὸ πρὸ τῶν ὀπισθίων βάσεων ἑτέρας ἐμπροσθίους ἔχειν, καθὼς καὶ Ἡσίοδός φησι (Ο. 558) "χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις."

128. καὶ οὐτάμενοί περ ἀνάγκῃ] καλῶς οὐχ ὁ Νέστωρ ταῦτα λέγει, ἀλλ' εἷς τῶν τετρωμένων. δεῖ δὲ πρὸς βραχὺ στίξαι εἰς τὸ π έ ρ, εἶτα τὸ ἀ ν ά γ κ ῃ ἐπαγαγεῖν, ἵν' ὥσπερ αἰτίαν τῆς ἐξόδου ἐπιφέρῃ τὴν περιεστῶσαν ἀνάγκην.

129. ἐχώμεθα] λείπει ἡ ἀπό. τὸ δὲ ἔ π ε ι τ α ἀντὶ τοῦ δή.

131. ἐ ν ή σ ο μ ε ν τῷ πολέμῳ. οἱ δὲ ἀ ν ή σ ο μ ε ν, ἤτοι πείσομεν. τὴν δὲ ἀφορμὴν τῆς συμβουλίας ἀπὸ τῶν Νέστορος λόγων λαμβάνει καὶ κελεύει τοὺς μὲν ἄλλους κινεῖν πόλεμον, αὐτοὺς δὲ μή.

136. μ ε τ' α ὐ τ ο ύ ς πρὸς αὐτούς. παλαιὸς δ' ὁ γέρων λίαν, καλῶς δὲ ἐπὶ τοῦ ὄχλου Κάλχαντι εἴκασται, δι' οὗ καὶ ἔπειθεν· εὐδοκίμησε γὰρ περὶ τὸν λοιμὸν ἐκεῖνος. οὐ προσέθηκε δὲ τίνι εἴκασται, ἀλλ' ἁπλῶς φωτὶ παλαιῷ, καὶ μόνον αὐτῷ τὰ τῆς ἡλικίας εἰς πίστιν ἀπήρκεσεν δηλώσας.

139. Ἀχιλλῆος ὀλοὸν κῆρ] ἀεὶ καταδρομήν τινα εὑρίσκομεν Ἀγαμέμνονος ἐν τοῖς πρὸς Ἀχιλλέα πεπραγμένοις· νῦν δὲ τοὐναντίον. καὶ ἔστιν ἁρμόδιον τῷ καιρῷ παραμυθίαν τινὰ παρέχειν τῷ Ἀγαμέμνονι, ὅτι οὐ διὰ τὴν αὐτοῦ ἁμαρτίαν, ἀλλὰ διὰ τὴν Ἀχιλλέως ἀφροσύνην δυστυχεῖ τὸ Ἑλληνικόν.

11. Δηιπύλην] διπύλην (ut Ven. A.)
27. *λοιμὸν] λιμὸν

140. φύζα] ἡ μεγίστη μετὰ δέους φυγή· γίνεται δὲ παρὰ τὸ ζα̅ καὶ τὴν φυγήν.

141. ἔνι] ἔνεισιν. ὁ δὲ τρόπος μετατύπωσις· ἐκ συνθήκης γὰρ ἁπλοῦν ἐποίησε. λέγει δὲ ὅτι τὸ ἐπιχαίρειν κακοῖς ἑτέρων ἄφρονος ἀνδρός.

οὐδ' ἠβαιαί] ἐκ τοῦ βαίνω γίνεται βαινός καὶ βαιός καὶ πλεονασμῷ τοῦ η̅ ἠβαιός· ὡς τὸ μύει ἠμύει· πεδανός ἠπεδανός· ἢ ἐκ τοῦ βαίνω βαινὸς καὶ βαιός· καὶ μετὰ τοῦ α̅ στερητικοῦ ἀβαιὸς καὶ τροπῇ τοῦ α̅ εἰς η̅ ἠβαιὸς ὁ ἐπ' ὀλίγον χρόνον βεβηκώς.

142. ὧς] οὕτως ὡς Ἕλληνες. ἢ ὡς ἡμᾶς θέλει. ἢ ὡς ἔστιν ἀκλεής. σιφλώσειε δὲ οἱ μὲν κακώσειεν, οἱ δὲ μωμητὸν ποιήσειεν, οἱ δὲ γέλωτα θείη, οἱ δὲ ἐκλύσειεν.

145. * κονίσουσι] ἐκ τοῦ παρακολουθοῦντος νοεῖται τὸ φεύξονται· οἱ γὰρ φεύγοντες κατὰ τὸν δρόμον ἐγείρουσι κόνιν.

147. μέγ' ἄϋσεν] ἵνα δείξῃ ὅτι θεός ἐστιν. ὅρα δὲ τὴν ποικιλίαν· πρότερον μὲν ἐκ τοῦ ἴχνους ἐπιγινώσκεται· νῦν δὲ βοᾷ μέγα, ἵνα ἐκ τῆς βοῆς συνῶσι. πῶς δὲ ὁ κλέπτων τὴν μάχην βοᾷ; ἐπεὶ εἶπεν "ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς" (Il. 13, 837).

* πῶς δέ, φησίν, ὁ Ποσειδῶν, ὁμοιωθεὶς πρεσβύτῃ ὑπὲρ τὴν ἡλικίαν ἐφθέγγετο; ῥητέον ὅτι τῇ μὲν ὄψει πρεσβύτης ἐφαίνετο. τῇ δὲ φωνῇ τὴν τοῦ θεοῦ δύναμιν ἐπεδείκνυτο.

150. ἐν στήθεσφιν] ἐκ ψυχῆς· ἔστι γὰρ ἐν τοῖς στήθεσι, μέρος δὲ αὐτῆς ἡ βοή· ἐπεὶ πῶς φησὶν "ὅσον κεφαλὴ χάδε φωτός" (Il. 11, 462).

153. Ἥρη δ' εἰσεῖδε] ἤδη προσδοκωμένου τοῦ κινδύνου τῶν νεῶν ἀνυπερθέτως, ἑτέρῳ ἐπεισοδίῳ ἐκαινοποίησε τὴν ὑπόθεσιν. μετάγει τε ἡμᾶς ἐπὶ τὰ οὐράνια καὶ ἐρωτικὰς διηγήσεις ποιεῖται, ἅμα διδάσκων μὴ νικᾶσθαι ταῖς ἡδοναῖς.

155. * ποιπνύειν ἐστὶ τὸ μετὰ πνεύματος καὶ σπουδῆς ποιεῖν τι· ἔγκειται οὖν τὸ ποιεῖν καὶ τὸ πνύειν. τὸ δὲ πνύω ἐκ τοῦ πονῶ πονύω καὶ συγκοπῇ πνύω.

158. στυγερός] καταπληκτικὸς, ἢ μισητός. ἔστι δὲ καὶ τοῦτο ἦθος τῶν γυναικῶν· ἀποτυγχάνουσαι γὰρ τῶν προκειμένων στυγοῦσι τοὺς ἄνδρας.

12. * ἐκλύσειεν] ἐκλύσει
14. * τὸν] om.
16. ἴχνους Bekk.] ἤθους
21. * ἐπεδείκνυτο] * ἐνεδείκνυτο

160. ὅπως ἐξαπάφοιτο] τρία εἰσὶ δι' ὧν περιγινόμεθα, βία, πειθώ, ἀπάτη. θεωροῦσα οὖν αὐτὸν ἄμαχον μὲν διὰ τὴν ἰσχὺν, ἄπιστον δὲ τὴν γνώμην, ἐπὶ τὴν ἀπάτην κατέφυγεν.

163. παραδραθέειν] τότε γὰρ τὸ δρᾶν τι ἀποτιθέμεθα, ὅ ἐστι πράττειν.

*ἐκ τοῦ δρῶ τὸ ἐνεργῶ. ἐξ οὗ καὶ δρήθω τὸ κοιμοῦμαι κατὰ ἀντίφρασιν· οἱ γὰρ κοιμούμενοι οὐδὲ ἐνεργοῦσιν.

164. ἀπήμονα] κυρίως ἐπίθετον τοῦ ὕπνου· λύει γὰρ μελεδήματα θυμοῦ. λιαρὸν δὲ λίαν ἀρηρότα, ὅ ἐστι προσκολλώμενον, ἢ θερμόν· θερμαίνει γὰρ τὸ σῶμα· ᾗ δὲ χροιῇ τῷ ἰδίῳ αὐτῆς σώματι.

165. πευκαλίμῃσι] δριμείαις, παρὰ τὴν πεύκην, ἢ πυκναῖς, παρὰ τὸ πύκα.

166. ἐς θάλαμον] οὐκ ἐπὶ ὅπλα· μία γὰρ τοῖς ἀσθενέσι τῶν ἄλλων ὁδὸς, ἡδονῇ περιγίνεσθαι τῶν μειζόνων.

167. ἐπῆρσε] ἐπήρεισεν, ἢ ἐφήρμοσεν.

168. τριχῶς ἡ γραφή ἐστι, τὴν δέ τὴν κλεῖν, τὸν δέ τὸν θάλαμον, τὰς δέ τὰς θύρας.

170. θαυμασία ἡ μίμησις· ἐν ἀπορρήτῳ γὰρ τὰ τοιαῦτα πράττουσιν, ὡς ἂν μὴ ὑποβολιμαῖον ἐκ τέχνης κομμωτικῆς τὸ κάλλος αὐταῖς, ἀλλὰ γνήσιον φαίνοιτο.

171. λύματα] παρὰ τὸ λυμαίνεσθαι τὸν χρῶτα. τὸ δὲ κάθηρε προπαροξυτόνως, ἀπὸ τοῦ καθαίρω, ἐκάθηρε, καὶ Ἰακῶς κάθηρεν.

172. δασύνεται τὸ ἑδανόν. παρὰ γὰρ τὸ ἡδονή ἡδανόν καὶ ἑδανόν.

173. κινυμένοιο] ἀναχεομένου. πολλὴ δὲ τῆς εὐωδίας ἡ ἐνέργεια, τὸν κόσμον ἀποπληροῦσα.

174. ὁμοίως ὡς ἐς οὐρανὸν, οὕτω καὶ ἐς γῆν.

176. πεξαμένη] διακρίνασα καὶ διαχωρίσασα. τὸ δὲ πλοκάμους ἔπλεξε παρωνομασία ἐτυμολογική. μέμφεται δὲ Πλάτων τὸν κόσμον, ἀγνοῶν ὡς ἀνθρωποπαθεῖς τοὺς θεοὺς ὁ ποιητὴς εἰσάγει. παραφυλακτέον δὲ τὸ παιδευτικὸν, ὅτι οὐ κομμωτρίας εἰσήγαγε τῇ θεῷ, ἀλλ' αὐτὴν ἑαυτῇ πάντα ὑπηρετοῦσαν.

179. ἔξυσ'] ἐκέρκισεν· ξύουσι γὰρ τὴν κρόκην πρὸς τὸ πυκνωθῆναι. οἱ δὲ ἐλέανεν, ἀπὸ μεταφορᾶς τῶν ξύλων. οἱ δὲ ἀντὶ τοῦ ἔγναψε μετὰ τὸ ὑφανθῆναι.

16. *γραφή] στροφή 19. *ὑποβολιμαῖον] ἐπιβολιμαῖον
28. παρωνομασία] παρονομασία

180. ἐνετῇσι] ἵημι ἰτή ἐτή. λέγει δὲ τὴν τῶν περονῶν εἰσβολήν.

182. ἕρματα τὰ τοῖς ὠσὶ πρὸς κόσμον προσαπτόμενα, παρὰ τὸ ἐνείρεσθαι τούτοις. λοβοὶ δὲ τὰ τῶν ὤτων ἄκρα, παρὰ τὸ λαμβάνειν τι καὶ δέχεσθαι, λαβοί τινες ὄντες καὶ τροπῇ λοβοί.

183. τρίγληνα] οἱ μὲν ἀξιοθέατα, ὡς "γλήνεα πολλὰ κεχάνδει" (Il. 24, 192)· οἱ δὲ ἐκ τριῶν ζῳδίων συγκείμενα· οἱ δὲ τριόφθαλμα, ἅπερ οἱ Ἀττικοί τριοττίδας καλοῦσιν.

ἐκπεπονημένα τῇ κατασκευῇ καὶ μεμεριμνημένα τῇ τέχνῃ.

184. κρηδέμνῳ] κεφαλοδεσμίῳ, παρὰ τὸ τὴν κάραν δεσμεῖν.

185. νηγατέῳ] ὥσπερ παρὰ τὸ τείνομαι γίνεται τατός, οὕτως παρὰ τὸ γείνομαι γατός, καὶ μετὰ τοῦ νέον νέηγατος, καὶ ἐν ὑπερθέσει τοῦ ε̄ νηγάτεος.

187. αὐτὰρ ἐπειδή] οὐδὲν παρέλιπε τῶν γυναικείων κοσμημάτων, οὐ τὰ νίπτρα, οὐ τὴν τῶν ἀλειμμάτων περιεργίαν, οὐ τὴν ἐμπλοκὴν, οὐ τὴν ἐσθῆτα, οὐ τὸν ἔξωθεν κόσμον περὶ τὰ ὦτα, περὶ τὴν κεφαλὴν, περὶ τοὺς πόδας. τῷ οὖν φυσικῷ κάλλει τὴν ἐκ τῆς τέχνης ἠθέλησεν εὐπρέπειαν προσάψαι. καίτοι δὲ τῶν περὶ ταῦτα δεινῶν γυμνὰς γραφόντων ἢ πλασσόντων τὰς γυναῖκας πρὸς ἀπάτην, ὁ ποιητὴς παραλιπὼν γυμνουμένην αὐτὴν δεῖξαι, ἵνα μὴ εἰς αἰσχρὰν ἐνέργειαν τὴν τῶν ἀκροωμένων διάνοιαν προκαλέσηται, κοσμηθεῖσαν ἐνεφάνισε, καὶ λόγοις πλειόνων αὐτὴν διετύπωσε χρωμάτων.

188. καλεσσαμένη δ' Ἀφροδίτην] οὐκ ἀπέχρησεν αὐτῇ μόνος ὁ κόσμος, ἀλλὰ καὶ ἄλλης τινὸς συλλήψεως δεῖται. διδάσκει δὲ ὁ λόγος ὅτι αἱ τοιαῦται ὑπὸ τῶν γυναικῶν ἡδοναὶ οὐ χωρὶς περιέργου τινὸς δυνάμεως γίνονται, πρὸς ἣν παρεσκευάσθαι δεῖ τὸν ἔμφρονα. ἅμα δὲ κἀκεῖνο νοητέον ὅτι οὐχ ἁπλοῦν φαίνεται τῷ Ὁμήρῳ τὸ περιγενέσθαι σοφοῦ· διὰ τοῦτο καὶ Ἥρα πολλὰ πραγματεύεται εἰς τὸ περιγενέσθαι Διός.

189. τῶν ἄλλων ἀπάνευθε] δεῖ γὰρ τοιούτοις ἐγχειροῦσαν κρύφα λέγειν. ἐπεὶ καὶ ἐν ἀπορρήτοις τὰ τοιαῦτα πράττουσιν αἱ γυναῖκες.

190. ἦ ῥά νύ μοι] ὑποθετικῶς διαλέγεται, καὶ θυγατέρα αὐτὴν διὰ τὴν χρείαν καλεῖ.

7. τριοττίδας ex Eustathio p. 976, 36] τριόπιδας (*τριώττιδας). V. Thes. vol. 7 p. 2449.

9. * κεφαλοδεσμίῳ] κεφαλοδέσμιον

11. * γείνομαι] γίνομαι

192. οὕνεκ' ἐγώ] πιθανῶς τὴν ὑπὲρ τῶν στρατευμάτων διαφορὰν παρήγαγε, προλαμβάνουσα αὐτῆς τὴν ἀντίρρησιν.

196. καὶ εἰ τετελεσμένον ἔσται] καὶ εἰ ἑτέρῳ τινὶ τετελεσμένον τυγχάνει, ὡς τὸ μὴ προγενόμενον οὐκ ἂν ὕστερόν ποτε γένοιτο. ἢ εἰ τελεσθησόμενόν ἐστι· τῶν γὰρ πραγμάτων τὰ μὲν εἰδικῶς ἄπορα, τὰ δὲ κοινῶς ἀδύνατα.

199. δαμνᾷ] ἀποκοπὴ τοῦ δάμνασαι, Δωρικῶς. πρακτικὰ δὲ ἅπαντα· καὶ γὰρ τὸ ἐπαίρειν αὐτῆς τὴν δύναμιν ἐπαγωγότατον. ἅμα δὲ καὶ σύστασιν ἔχει ὁ λόγος, ἵνα πιθανὸν φανῇ καὶ τὸν Δία τοῖς τοιούτοις κρατηθῆναι.

200. *Πορφυρίου. πῶς πολλάκις Ὅμηρος τὴν γῆν ἄπειρον εἰπὼν διὰ τούτων "ταί μιν φέρον ἐφ' ὑγρὴν ἀπείρονα γαῖαν" (Od. 1, 97) καὶ πάλιν "γαῖαν ἀπειρεσίην" (Il. 20, 58), πάλιν διὰ τῆς Ἥρας "εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης;" μάχεται γὰρ τὸ ἅμα μὲν αὐτὴν πεπερασμένην, ἅμα δ' ἀπείρονα ἀποφαίνεσθαι. εἰ μὲν οὖν ἡ τοῦ ἀπείρου φωνὴ ἓν σημαινόμενον περιεῖχε, τὸ κατὰ ποσὸν ἀδιεξίτητον καὶ ἀπειρομέγεθες ἐναντιολογία ἂν ἦν· πῶς γὰρ ἡ ἀπειρομεγέθης γῆ πέρατα ἂν ἔχοι; ἐπειδὴ δὲ τὸ ἄπειρον πολλαχῶς λέγεται, ἄτοπον ἂν εἴη πλειόνων ὄντων τῶν σημαινομένων ἐφ' ἓν ἀποταξαμένους ἐλθεῖν, καὶ τοῦτο μαχόμενον. δεικτέον οὖν κατὰ ποῖον σημαινόμενον τὴν πεπερασμένην ἐνδέχεται καὶ ἄπειρον λέγειν. ἡ τοίνυν τοῦ ἀπείρου φωνὴ τάσσεται μὲν καὶ κατὰ ποσόν. διττὸν δὲ τοῦτο, ἢ κατὰ μέγεθος ἢ κατὰ πλῆθος, κατὰ μέγεθος μὲν, ὅταν ζητῶμεν εἰ ἄπειρος ὁ κόσμος, κατὰ πλῆθος δὲ, ὅταν εἰ ἄπειροι οἱ κόσμοι, ὡρισμένοι μὲν κατὰ μέγεθος, κατὰ δὲ πλῆθος ἀδιεξίτητοι ὄντες. σημαίνει δὲ τὸ ἄπειρον καὶ τὸ πεπερασμένον μὲν τῇ ἑαυτοῦ φύσει, ἡμῖν δ' ἀπερίληπτον, ᾧ δὴ σημαινομένῳ χρῆται Ὅμηρος, ὅταν λέγῃ "Κρήτη τις γαῖ' ἔστι μέσῳ ἐνὶ οἴνοπι πόντῳ, καλὴ καὶ πίειρα, περίρρυτος, ἐν δ' ἄνθρωποι πολλοὶ ἀπειρέσιοι" (Od. 19, 172). καὶ ἐπὶ τοῦ Χρύσου δὲ τὰ ἄποινα ὑπὲρ τῆς θυγατρὸς κομίσαντος "φέρων" φησὶν "ἀπερείσι' ἄποινα" (Il. 1, 13), ὅπερ ἐστὶ πολλὰ τῷ πλήθει. τρία μὲν οὖν ταῦτα σημαινόμενα ἐκ τῆς τοῦ ἀπείρου φωνῆς κατὰ ποσὸν δεδήλωται. σημαίνει δὲ καὶ ἐπὶ τοῦ κατὰ τὸ εἶδος διαφέροντος καὶ ἄγαν καλοῦ, ὡς παρ' Ἡσιόδῳ ἐν γυναικῶν καταλόγῳ ἐπὶ τῆς Ἀγήνορος παιδὸς Δημοδόκης

4. *γένοιτο] γένηται 5. * εἰδικῶς] ἰδικῶς 11. * Πορφυρίου] om.

Δημοδόκη, τὴν πλεῖστοι ἐπιχθονίων ἀνθρώπων
μνήστευον, καὶ πολλὰ καὶ ἀγλαὰ δῶρ' ὀνόμηναν,
ἴφθιμοι βασιλῆες ἀπειρέσιον κατὰ εἶδος·

τὸ γὰρ ἀπειρέσιον ἐν τούτοις ἐπὶ τοῦ κατ' εἶδος ἐξόχου καὶ καλοῦ ἄγαν τέτακται. δυνατὸν δὲ καὶ τὰ ὑπὸ τοῦ Χρύσου κομισθέντα οὕτως ἀπερείσι' ἄποινα λέγεσθαι, οἷον ὑπερβαλλόντως καλὰ καὶ περικαλλῆ. λέγεται δὲ ἄπειρον κατ' ἄλλο σημαινόμενον καὶ ἐπὶ τοῦ κατὰ σῶμα κυκλοτεροῦς τε καὶ σφαιροειδοῦς· τῶν γὰρ πεπερασμένων ἃ μὲν πρὸς πέρασι λέγεται ὡρισμένοις πεπεράσθαι, ἃ δὲ οὔ, ὡς φέρε ἀπὸ γραμμῶν ἢ οἷον τοῦ τετραγώνου. πρὸς πέρασι μέν ἐστι τοῖς ἀπό του καὶ ἐπί τι· δύο γὰρ ὄντων περάτων τὸ μέν ἐστιν ἀρχὴ ἀφ' οὗ, τὸ δὲ τέλος εἰς ὅ· ἔστι γὰρ ἐπ' αὐτοῖς τὸ ποθέν ποι· τῆς δὲ ὅλης τοῦ κύκλου περιφερείας οὐκέτι. πᾶν γὰρ ὃ ἄν τις ἐπινοήσῃ σημεῖον, ἀρχή τέ ἐστι καὶ πέρας· ξυνὸν γὰρ ἀρχὴ καὶ πέρας ἐπὶ κύκλου περιφερείας κατὰ τὸν Ἡράκλειτον. τοῦ τοίνυν κύκλου κατὰ τὴν περιφέρειαν ὄντος πεπερασμένου καὶ μὴ ἀπείρου κατὰ τὸ διεξίτητον, οὐκ ἂν λέγοιτο πρὸς πέρασιν αὐτὴ πεπεράνθαι, κατὰ δὲ τὸ μὴ ἔχειν ποθέν ποι διάφορα πέρατα, πᾶν τε τὸ ληφθὲν ἀρχὴν εἶναι καὶ πέρας, ἄπειρον ἐκάλουν τὸν κύκλον. ὡσαύτως δὲ καὶ τὴν σφαῖραν, οὔτε ἄπειρον καὶ ἀδιεξίτητον οὖσαν κατὰ μέγεθος οὔτε κατὰ ἀριθμόν, κατὰ δὲ τὸ μὴ πέρασι διαφόροις ἀφορίζεσθαι, τῆς φωνῆς κατὰ τὰς συντάξεις ἄλλα τε ἀτὰρ δὴ καὶ τὸ πολύ σημαινούσης. οὕτως γὰρ ἀχανὲς πέλαγος τὸ μέγα πάνυ, καὶ ὁ ἐν Δελφοῖς θεὸς ἀφήτωρ, ὁ πολυφήτωρ καὶ πολλὰς ἀφιεὶς φήμας, οὐχ ὁ μηδεμίαν, καὶ ἄξυλος ὕλη ἡ πολύξυλος. οὕτω καὶ ἄπειρος κύκλος ὁ πολυπείρων· οὗ γὰρ ἂν ἔλθῃ τις, τοῦτο αὐτὸ τὸ πέρας ἐστί. σημαινούσης δὲ τῆς ᾱ καὶ τὸ ἴσον, ὡς τὸ ἀρρεπές τὸ ἰσορρεπές καὶ ἀτάλαντον τὸ ἰσοτάλαντον, δύναται καὶ ἀπείρων ἰσοπέρατος εἶναι, ὅτι ὅμοιος πάντῃ κατὰ τὰ πέρατα. τὸ δὲ ἴσον ἐπὶ μόνων σχημάτων κύκλου τε καὶ σφαίρας γίνεται. ὅμοια γὰρ ταῦτα πάντοθεν διὰ τὴν ἐκ μέσου πρὸς τὸ πέρας ἴσην ἀποχὴν εἶναι πάντῃ. διὰ τοῦτο δὲ καὶ ὁμοιομερὴς ἥ τε τοῦ κύκλου περιφέρεια καὶ ἡ τῆς σφαίρας ἐπιφάνεια· καὶ τὸ ὅμοιον πάντῃ ἐπὶ μόνων τῶν σχημάτων τούτων λέγεται. εὐλόγως οὖν οἱ παλαιοὶ ἐπὶ τὸ προσαγορεύειν τόν τε κύκλον καὶ τὴν σφαῖραν ἀπείρονα προήχθησαν. οὕτω

1. Δημοδόκη addidit Cobetus.
12. αὐτοῖς Vill.] αὐτῆς
18. διάφορα Bekk.] διαφορὰν
24. φήμας] φωνὰς Vill.

καὶ Ἀριστοφάνης Δαναΐσι (fr. 247) "δακτύλιον χαλκοῦν φέρων ἀπείρονα" ἔφη· ἔστι δὲ ὁ ἀπείρων δακτύλιος καὶ ὁ κρίκος ὁ ἀσυγκόλλητος καὶ πέρας μὴ δεικνὺς ἀρχήν τε καὶ τέλος· οἱ γὰρ σφενδόνας ἔχοντες, εἰς ἃς οἱ λίθοι ἐντίθενται ἢ σφραγῖδες, οὐκ εἰσὶν ἀπείρονες· οὐ γάρ ἐστιν ὁμοιομερής· ὁμοίως δὲ καὶ Αἰσχύλος (fr. 407) τὰς ἐν κύκλῳ ἑστώσας ἐν ἀπείρονι σχήματί φησιν ἵστασθαι·

ὑμεῖς δὲ βωμὸν τόνδε καὶ πυρὸς σέλας
κύκλῳ περίστητ', ἐν λόχῳ τ' ἀπείρονι
εὔξασθε·

τοῦτο δέ ἐστιν ἐν τάξει κατὰ κύκλον· ὁ γὰρ λόχος ἐστὶ τάξις, ἐπεὶ καὶ ὁ λοχαγὸς ταξίαρχος. καὶ Εὐριπίδης (Orest. 25) ἐπὶ τοῦ συνερραμμένου πανταχῇ χιτῶνος καὶ κατὰ τοῦτο ὁμοίου (πέριξ οὖν ἡ Κλυταιμνήστρα τὸν Ἀγαμέμνονα ἐνέδυσεν) "ἣ πόσιν περιβαλοῦσ' ὑφάσματι ἀπείρονι." καὶ ἐπὶ τοῦ αἰθέρος κυκλοτεροῦς ὄντος εἰπὼν (fr. 935) "ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα," ἐπήγαγε κατὰ τί ἄπειρον εἴρηκεν, ὅτι κατὰ τὸ τὴν γῆν ἔχειν πέριξ ὑγραῖσιν ἀγκάλαις. μήποτε δὲ καὶ ὅταν Ὅμηρος λέγῃ "δεσμοὶ μὲν τρὶς τόσσοι ἀπείρονες ἀμφὶς ἔχοιεν" (Od. 8, 340), οἱ ἀπείρονες δεσμοὶ οὐ σημαίνουσι πλῆθος, ἀλλὰ τοὺς ἰσχυρούς, οἵ εἰσιν ἔγκυκλοι καὶ κρικωτοί· πρὸς γὰρ τὴν ἐρώτησιν ἡ ἀπόκρισις ἔσται κατὰ λόγον, τοῦ σημαινομένου οὕτως ἀποδοθέντος· ἤρετο μὲν γὰρ αὐτὸν εἰ θέλοι δεσμοῖσι κρατεροῖσι πιεσθεὶς εὕδειν παρὰ τῇ Ἀφροδίτῃ, ὁ δὲ ἀποκρίνεται "εἴη μοι πολλάκις τοσούτοις δεσμοῖς δεθέντα εὕδειν," ἴσον τῷ πολυπλασίοις καὶ πρὸς τούτοις ἀπείροσιν, ἐν ταὐτῷ λέγων τῷ ἰσχυροῖς· τοῦτο γὰρ αὐτὸς ἐπύθετο· "ἦ ῥά κεν ἐν δεσμοῖς ἐθέλοις κρατεροῖσι πιεσθεὶς εὕδειν" (ib. 336). τὸ δὲ ἰσχυροῖς δηλοῖ διὰ τῆς ἀπείρονες φωνῆς ἀναφέρων ἐπὶ τοὺς κρικωτοὺς καὶ ταύτῃ δυσλύτους. ὡς γὰρ ἀλλαχοῦ εἶπε "πέδας ἀρρήκτους ἀλύτους" (Il. 13, 36), τοῦτο ἐνταῦθα τοὺς ἀπείρονας δεσμούς, τοὺς ἀλύτους διὰ τὸ ἐν κύκλῳ περιέχειν, εἰ γὰρ ἀπείρονες ἀκούοιμεν ὡς ἄπειροι πλήθει, ἄλογος ἔσται ἡ ἀπόφασις, τρὶς τόσσους εἰπεῖν καὶ ἀπείρους· τὸ γὰρ τρὶς τόσσους

1. Δαναΐσι] Δαναοῖσι φέρων] φέρειν ap. schol. Odyss. 1, 98.
2. καὶ ὁ κρίκος Vill.] δὲ ὁ κρόκος
8. περίστητε (sic B)] παρίστατε schol. Odyss.
12. συνερραμμένου Vill.] συναραμένου
21. ἤρετο Bekk.] ἤρητο
25. κρατεροῖσι Vill.] κραταιοῖσι

πολλαπλάσιόν ἐστι, τὸ δὲ καθ' ὁπωσοῦν πολλαπλάσιον οὐκ ἄπειρον, ὥστε ἅμα δεσμοί τε εἶεν ἂν καὶ τὸ πλῆθος ἄπειροι· ὁ γὰρ δεσμὸς συνοχὴν καὶ δέσιν ὑπαγορεύων τοῦ κατὰ πλῆθος ἀπείρου κεχώρισται. ὅλως τε ἡ ἐρώτησις οὐ περὶ πλήθους, ἀλλὰ περὶ δυνάμεως· εἰ γὰρ βουληθείη δεσμοῖσι κρατεροῖς πιεσθεὶς εὕδειν, ἐρωτᾷ, οὐκ εἰ πολλοῖς. ἄλογον δὲ πρὸς τὸ πολλοῖς ὅπερ οὐκ ἐπύθετο ἀποκρίνεσθαι, πρὸς δὲ τὸ κρατεροῖσι μηδὲν φάναι. λέγοι ἂν οὖν τὸ μὲν τρὶς τόσσους πολλαπλασίους, ἀπείρονας δὲ τοὺς κραταιούς, ὥστε τὸ ἄπειρον καὶ ἐπὶ σχήματος πεπερασμένου καθ' Ὅμηρον τίθεσθαι. καὶ ἔστι τοῦ κυκλοτεροῦς ἴδιον καὶ σφαιροειδοῦς, εἴγε καὶ αὐτὸς πείρατα γαίης φησὶ καὶ ἀπείρονα γαῖαν, ἀδύνατον δὲ καὶ ἐπὶ τοῦ κατὰ μέγεθος ἢ κατὰ ποσὸν ἀδιεξιτήτου ἀπείρου τίθεσθαι πέρας, ἐπὶ δὲ τοῦ περιφεροῦς οἷόν τε. ὥστε συνάγεται, εἴπερ ἡ γῆ πεπερασμένη ῥηθεῖσα ἄπειρος πάλιν ἐρρήθη, μὴ διὰ τὸ ἐξίτητον αὐτὴν εἶναι κατὰ μέγεθος εἰρῆσθαι ἄπειρον, διὰ δὲ τὸ σφαιροειδῆ εἶναι, καὶ τοιαύτην αὐτὴν κατὰ σχῆμα ὑπειλῆφθαι τῷ Ὁμήρῳ. εἰ δὲ καὶ ἀπειρέσιος ὡς μεγάλη ἀκούοιτο καὶ ἀπερίληπτος εἰς γνῶσιν ἡμετέραν, οὐδ' οὕτως ἀντιπίπτει κατὰ τὴν πρός τι σχέσιν· πολλὴ μὲν γὰρ οἰκουμένη τῆς καθ' ἡμᾶς ἠπείρου, πολλὴ δὲ θάλασσα, πολλὴ δ' ἀντίπερα ταύτης χέρσος διειργομένη τῷ τοῦ Ὠκεανοῦ χεύματι ("μέσσῳ γὰρ μεγάλοι ποταμοὶ καὶ δεινὰ ῥέεθρα, Ὠκεανὸν μὲν πρῶτον ὃν οὔπω ἔστι περῆσαι" Od. 11, 157)· τῆς δ' οἰκουμένης αὐτῆς εἴ τις ἐπίδοι τὰ μεγέθη καθόλου τε καὶ κατὰ μέρη, καὶ τῆς θαλάσσης τά τε πελάγη καὶ τοὺς κόλπους τοὺς μεγάλους τε καὶ μικρούς, πολλοῦ χρόνου δέοιτ' ἂν πρὸς τὴν διήγησιν. κἂν μέντοι ἀπειρεσίη λέγοιτο διὰ τὸ κάλλος, οὐδ' οὕτως ἀντιπίπτει τῇ φύσει αὐτῆς τὸ σημαινόμενον, καθάπερ τοῖς διαγράφειν τὰ κατ' αὐτὴν βουλομένοις ἐστὶ πρόδηλον.

201. πιθανῶς αὐτὴν πλανᾷ ἐκτοπίζουσα τὸν ἔλεγχον καὶ μακρὰν καθιστᾶσα τὴν ὑποψίαν. τὴν γῆν φησὶ Τηθὺν οἱονεὶ τιθήνην τινὰ οὖσαν καὶ τροφὸν πάντων.

202. εἰκότως μνήμονα εὐεργεσιῶν ἑαυτὴν ἀπογράφει, καὶ ταύτην εὔελπιν ποιοῦσα ὡς ἀποληψομένην τὰς χάριτας.

208. τὸ κείνω πρὸς τὸ ἀνέσαιμι, παραπείσασα, φησί, τὴν ψυχήν. τὸ δὲ ὁμωθῆναι εἰς ταὐτὸ συνελθεῖν.

9. τίθεσθαι Vill.] τίθεται

19. ἀντίπερα] Corrige ἀντιπέραν. V. Thes. vol. 1, 2 p. 965.

210. αἰεί κέ σφι φίλη] λεληθότως λέγει ὅτι καὶ σὲ τὴν τῆς τιμῆς μοι αἰτίαν ἀεὶ νομιῶ φίλην.

212. οὐκ ἔστ' οὐδὲ ἔοικε] πῶς ἡ ἄλλους ἐξαπατῶσα ἀπατᾶται νῦν; ἢ ὅτι οὐκ ἀλεξιφάρμακον ἀπάτης ἡγεῖσθαι δεῖ τὸν κεστόν· ἔστι γὰρ μόνης συνουσίας περιποιητικὸς, φιλοτιμουμένη δέ φησι περὶ αὐτοῦ τὸ "ὅ τι φρεσὶ σῇσι μενοινᾷς·" οὐδὲν οὖν κωλύει αὐτήν τε ἀπατᾶσθαι καὶ ἄλλους ἀπατᾶν δύνασθαι.

214. κεστὸν ἱμάντα] οὐκ ἔστιν ὄνομα τοῦ ἱμάντος ὁ κεστὸς, ἀλλὰ ἐπίθετον διὰ τὸ πεποικίλθαι.

216. *Πορφυρίου. διὰ τί τὰ ἐρωτικὰ ἐν ἱμάντι φησὶν Ὅμηρος κατεστίχθαι; "ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος." φησὶν οὖν Σάτυρος, ἐπεὶ πληγῶν ἄξια δρῶσιν οἱ ἐρῶντες· Ἀπίων δὲ, ἐπειδὴ δεσμοῖς ἐοίκασι καὶ βρόχοις οἱ ἔρωτες καὶ τὰ τῶν ἐρώντων πάθη· Ἀρίσταρχος δὲ, ὅτι ἄχρι τοῦ δέρματος διικνεῖται τὰ ἐρωτικὰ πάθη, τήκοντα τοὺς ἐρῶντας καὶ ἀποξύοντα διὰ τῆς στύψεως τὰ μέλη.

217. ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων] προκατασκευάζει διὰ τούτου, ἵνα μὴ θαυμάζωμεν εἰ Ζεὺς ἠπάτηται. καὶ ἐπὶ θυμοῦ δέ φησιν "οἰδάνει ἐν στήθεσσι νόον πύκα περ φρονεόντων" (Il. 9, 554). διδάσκει δὲ ὡς εἰ καὶ συνετὸς εἴη τις, ἁλίσκεται τοῖς τοῦ νοῦ πάθεσιν, εἰ μὴ ἑαυτῷ προσέχοι. πάρφασις δὲ ἡ διὰ λόγου παράπεισις.

219. τῇ] ἐκ τούτου γίνεται καὶ τήθη ἡ λέγουσα "δέξαι θήλασον·" θῶ γὰρ τὸ θηλάζω, ἐξ οὗ καὶ τὸ "θήσατο μαζόν" (Il. 24, 58).

κόλπῳ] τῷ τοῦ ἱματίου κόλπῳ, τῷ κατὰ τὸ στῆθος πτύγματι τοῦ πέπλου, ἐπειδὴ οἱ ταῦτα παρέχοντες παραγγέλλουσι μὴ ὁρᾶσθαι, ἵνα μὴ ἀλλοιοῖτο τῇ ὄψει τῇ ἀλλοτρίᾳ τὰ μαγγανεύματα.

222. ἀντὶ τοῦ ὑποστρέψειν· οὕτως Ἀρίσταρχος. τινὲς δὲ τὸν γενέεσθαι μέσον μέλλοντα ἐδέξαντο διαλελυμένως· γίνω γὰρ γενῶ γενοῦμαι γενεῖσθαι, καὶ διαιρέσει γενέεσθαι. οὐκ ἔσῃ, φησὶν, ἄπρακτος οὗ προθυμῇ.

225. Μακεδὼν ὁ Δίωνος καὶ Αἰθυίας, κατέχων τὴν ὅλην Θρᾴκην, ἀφ' ἑαυτοῦ Μακεδονίαν ὠνόμασε, γεννᾷ δὲ παῖδας δύο, Ἄμαθον καὶ

10. *Πορφυρίου] om. Idem scholion ad Od. 8, 288.
21. *λέγουσα] λέξουσα
25. *μαγγανεύματα] μηχανήματα
27. γίνω] *γείνω
28. *καὶ διαιρέσει γενέεσθαι] γενέσθαι διαιρέσει καὶ γενέεσθαι
30. Δίωνος καὶ Αἰθυίας] Nomina corrupta. In Ven. A est Διὸς καὶ Αἰθρίας. Διὸς καὶ Θυίας Lobeck. Aglaoph. p. 325.

Πίερον, ἀφ' ὧν τόποι τινὲς ἐν Μακεδονίᾳ. ἄκρως δὲ τοὺς τόπους καὶ τὰς χώρας κατονομάζει· τῇ γὰρ ὀνομασίᾳ τούτων συμπαραθέουσα ἡ διάνοια τῶν ἐντυγχανόντων ἐν φαντασίᾳ καὶ ὄψει τῶν τόπων γίνεται. ἅμα οὖν τὸ ἀργὸν περιέφυγεν, οὐκ εὐθὺς ἀγαγὼν αὐτὴν ἐπὶ τὰ προκείμενα χωρία· μάρτυρας γοῦν τοὺς ἀκούοντας ἐπαγόμενος πιθανωτάτην καθίστησι τὴν διήγησιν.

229. ἐξ Ἀθόω] ἡ ἐπέκτασις ποιητική. εἴρηται δὲ ἀπὸ Γίγαντος τοῦ Ἄθω. οὗτο δὲ ὤρυξε Ξέρξης, καταπλῆξαι βουλόμενος Ἕλληνας. τοῦτο δὲ τὸ ὄρος στάδια τριακόσια Λήμνου ἀπέχον σκιάζει αὐτήν· προπαροξύνεται δέ· πλεονασμὸς γάρ ἐστι τοῦ ο̄.

230. πόλιν Θόαντος τὴν ὑπὸ Θόαντος πολισθεῖσάν φησιν. εἰσὶ δὲ τῆς Λήμνου πόλεις δύο, Ἡφαιστιὰς καὶ Μύριννα. ὅμοιον δέ ἐστι τῷ "Ἴδην δ' εἰσαφίκανε Λεκτόν" (283) "Κύπρον ἵκανεν ἐς Πάφον" (Od. 8, 362)· ἔθος γάρ ἐστιν αὐτῷ τοῖς ὅλοις τὰ μερικὰ ἐπάγειν.

231. ἔνθ' Ὕπνῳ ξύμβλητο] πολυοίνων ὄντων καὶ φιλοίνων τῶν Λημνίων εἰκότως ἐκεῖσε διατρίβει ὁ Ὕπνος· καὶ γὰρ πολὺν ἔχουσιν οἶνον, ὥστε καὶ τοῖς Ἕλλησι χορηγεῖν· καὶ γὰρ καὶ οἱ Λήμνιοι παῖδες Αἰγύπτου, ὑπὸ τῶν γυναικῶν διὰ τὴν πολλὴν ἀναιροῦνται ἀκρασίαν. εἴωθε δὲ ὁ Ὕπνος ἐπὶ πάντας καὶ μᾶλλον ἐπὶ τοὺς μεθύσους ἐνδιατρίβειν.

κασιγνήτῳ Θανάτοιο] Μνησίμαχος ὁ κωμικὸς περὶ Ὕπνου διαλεγόμενός φησιν ὅτι "ὕπνος ἐστὶ μικρὸν καὶ μερικὸν θανάτου μυστήριον·" ὁ μὲν γὰρ θάνατος ἀπὸ ἰσχυρᾶς γίνεται καὶ τελείας λύσεως σώματος, ὁ δὲ ὕπνος ἀπὸ μικρᾶς καὶ καιρὸν ἐχούσης· ἀμφότεροι δὲ κακῶν ἀναπαύουσι. καὶ ὁ μὲν χωρίζει ψυχήν, ὁ δὲ συστέλλει μικρόν· καὶ ὁ μὲν διαλύει αἰσθήσεις, ὁ δὲ στερίσκει μόνον.

233. ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων] ἀλλαχοῦ γοῦν φησὶν "ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες εὗδον παννύχιοι, Δία δ' οὐκ ἔχε νήδυμος ὕπνος" (Il. 2, 1). ὥσπερ οὖν τὸν κεστὸν ἀπεθαύμασεν, οὕτω καὶ τὸν Ὕπνον σεμνολογεῖ πρὸς πειθὼ ὑπαγομένη.

235. Ἀττικῶς ἀντὶ τοῦ ὀφλήσω. ἐπίτηδες δὲ ὑπέμνησεν αὐτὸν τῆς προγεγονυίας εὐεργεσίας· μνήμη γὰρ χάριτος παλαιᾶς παρασκευαστικὴ δευτέρας. οὐκ ἐγύμνωσε δὲ διὰ τὰ παρακολουθήσαντα τότε τῷ Ὕπνῳ τὴν χάριν.

21. ὕπνος—] Mnesimachi versus fuit ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια ut est apud Eustath. p. 981, 3.

26. * γοῦν] οὖν

27 et 28. Addidi παννύχιοι et νήδυμος ὕπνος

29. * ὑπαγομένη] ἐπαγομένη

238. *θρόνον*] οὐ προλέγει τὸν τῆς Χάριτος γάμον, ἀλλὰ φυλάττει εἰ ἀντιλέξει. καλῶς δὲ θρόνον ὑπισχνεῖται· ἴδιον γὰρ τοῦ Ὕπνου, καὶ πρὸς ἀνάπαυσιν πεποίηται.

239. Ἥφαιστος] εἰς πίστιν τῆς ὑποσχέσεως καὶ Ἡφαίστου μνημονεύει, ὅτι ἐκ προχείρου παρέξει παρὰ τοῦ ἰδίου αὐτίκα λαβοῦσα υἱοῦ.

240. *θρῆνυν*] οὐδέτερον μέν ἐστι λῆγον εἰς ῡ· οὗτος δὲ ἀρσενικῶς αὐτὸ ἔφη. γίνεται δὲ παρὰ τὸ θρᾶνον, ὅ ἐστι μικρὸν ὑποπόδιον.

243. *πρέσβα*] ἀντὶ τοῦ πρεσβυτάτη, ὡς τὸ "δῖα θεάων." τὴν ἴσην δὲ τιμὴν ἀνταπέδωκεν αὐτῇ.

245. *καὶ ἂν ποταμοῖο ῥέεθρα*] τεχνικώτατα διαλέγεται, τοῦ μὲν καὶ νῦν κρατῆσαι τοῦ Διὸς δύνασθαι πίστιν ἐπάγων ἐκ τῶν ἐπὶ τῷ Ὠκεανῷ, τοῦ δὲ μὴ δύνασθαι νῦν ποιῆσαι ἀπολογίαν κομίζων τὸ μηδὲ πρόσθεν αὐτῷ λυσιτελῆσαι τοῦτο πρᾶξαι, ἐξ οὗ δύο χρήσιμα πράττει, τήν τε δοθησομένην ἐπιτείνει δωρεάν, καὶ τῆς παλαιᾶς εὐεργεσίας τὴν Ἥραν ὑπομιμνήσκει· λέγει γὰρ ὅμως πρὸς ταῦτα ὑπηρετήσειν, ἃ μὴ κίνδυνον αὐτῷ φέροι.

246. **γένεσις*] πῶς Ἡσιόδου (Th. 216) πάντων πρῶτον εἰπόντος γεγενῆσθαι τὸ Χάος, Ὅμηρός φησι γεγενῆσθαι τὸν Ὠκεανὸν ποταμόν; ῥητέον οὖν ὅτι ἕκαστος εἴρηκεν ὡς ἐβούλετο, Ὅμηρος δὲ φιλοσοφώτερον· τὸ γὰρ ὕδωρ τῶν πάντων ἡ ζωή, καὶ προέχει τῶν τεσσάρων στοιχείων, ὅθεν καὶ Πίνδαρος ἄριστον αὐτό φησιν. ἐκ γὰρ ὕδατος πάντα τὰ στοιχεῖα· ὅθεν καὶ τὸ σπέρμα πνεῦμά ἐστιν ὑγρῷ κραθέν. διὸ καὶ κουροτρόφοι καλοῦνται οἱ ποταμοί.

249. Ἀρίσταρχος ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή, ἵν' ᾖ, ἤδη γάρ με καὶ εἰς ἄλλο ἐπαίδευσεν ἡ σὴ πρόσταξις. εἰ γὰρ ἦν ὅτι τῇ ἰδίᾳ ὁ Ζεύς, ἔδει ἐπάγειν ὑπέρθυμος υἱὸς ἑός. οἱ δὲ ἄλλοτε ᾗ ἐπίνυσσεν ἐφετμῇ, τουτέστι τῇ ἰδίᾳ ἐσωφρόνισε καὶ ἐνουθέτησεν ἀπειλῇ. λέγει δὲ τὸ πρᾶγμα κίνδυνον φέρειν, ἵνα καὶ παρωσάμενος συγγνώμην ἔχῃ καὶ ποιῶν μείζονα δοκῇ αὐτῇ χαρίζεσθαι.

252. *Διὸς νόον*] τὸν Δία, ὅς ἐστιν ὁ τοῦ κόσμου νοῦς.

253. *ἀμφιχυθείς*] ὑγρὸς γὰρ ὁ ὕπνος, καὶ μᾶλλον τοῖς ὑγροῖς ἐπιχεόμενος.

2. ἀντιλέξει Bekk.] ἀντιλέξαι
16. * ὑπηρετήσειν] ὑπηρετῆσαι
22. * στοιχείων] ὅλων
25. ἐπίνυσσεν] ἐπίνυσεν
27. ἄλλοτε ᾗ ἐπίνυσσεν Bekk.] ἄλλο τεῇ ἐπίνυσεν
28. * ἐσωφρόνισε] ἐσωφρόνησε

255. *Κόωνδ'] Ἡρακλῆς ἀνακομιζόμενος μετὰ τὸ πορθῆσαι Τροίαν, γενόμενός τε κατὰ τὸ Αἰγαῖον πέλαγος, βουλήσει Ἥρας σφοδρῷ συνεσχέθη ἀνέμῳ· κατασυρεὶς δὲ εἰς Κῶν τὴν Μεροπίδα ἐκωλύθη ἐπιβῆναι τῆς νήσου ὑπὸ Εὐρυπύλου τοῦ Ποσειδῶνος, βασιλεύοντος αὐτῆς. βιασάμενος δὲ καὶ ὡς λῃστὴς ἐπιβὰς ἀνεῖλε τόν τε Εὐρύπυλον καὶ τοὺς παῖδας αὐτοῦ, μιγεὶς δὲ τῇ θυγατρὶ αὐτοῦ Χαλκιόπῃ Θεσσαλὸν ἐγέννησεν. ἡ ἱστορία παρὰ Φερεκύδει.

εὖ ναιομένην] ἢ δι' εὐβοσίαν, ἢ τὴν οὐ τότε, ἀλλ' ὕστερον, ἢ τὴν ὑπὸ τῶν γενναίων οἰκουμένην, οἳ νομίσαντες αὐτὸν λῃστὴν ἐπηρέασαν αὐτῷ.

256. φίλων] ἢ τῶν πολιτῶν ἢ τῶν ἰδίων, ὡς τὸ "ἀπὸ μὲν φίλα εἵματα δύσω" (Il. 2, 261)· ἰδίᾳ γὰρ νηῒ ἐκεῖ κατῆλθεν.

257. θεούς] δηλονότι τοὺς συλλαμβάνοντας τῇ Ἥρᾳ. ἡ δὲ ἀπόστασις εἰς τὸν Ἥφαιστον· φησὶ γοῦν ἐν τῇ Α (590) "ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα ῥῖψε ποδὸς τεταγών." ἔτι δὲ ἐπεβοήθουν τινὲς τῇ Ἥρᾳ, τοῦτο διέθηκεν ὁ Ζεὺς εἰπὼν ἐν τοῖς ἑξῆς "λῦσαι δ' οὐκ ἐδύναντο· ὃν δὲ λάβοιμι, ῥίπτασκον" (Il. 15, 22). τὸ δὲ ἔξοχα πάντων ἀντὶ τοῦ κατ' ἐξοχὴν παρὰ πάντας.

258. ἄϊστον] ἀνιστόρητον. τὸ δὲ ἔμβαλε ἀντὶ τοῦ ἐμβαλὼν ἐποίησεν, ὡς τὸ "βροτὸς οὔτασεν ἀνήρ" (Il. 5, 361) ἀντὶ τοῦ οὐτάσας ἐποίησεν.

259. δαιμονίως τοῦτο λέγει· ὡς γὰρ τὸν Ὕπνον ἄνακτα θεῶν καὶ ἀνθρώπων φησίν, οὕτω καὶ τὴν Νύκτα δμήτειραν θεῶν καὶ ἀνδρῶν, ἤτοι δαμάστριαν.

260. ἱκόμην] ἱκέτευσα. εἰκότως· φυσικώτερος γὰρ ὁ ἐν νυκτὶ ὕπνος τοῦ μεθ' ἡμέραν.

261. θοῇ] τινὲς φίλῃ, ὃ καὶ ἄμεινον· τί γὰρ πρὸς τιμὴν ἡ θοὴ Νύξ; διδάσκει δὲ ὡς χρὴ καὶ ὀργῆς κρατεῖν εἰς πρόσωπον αἰδέσιμον ἀφορῶντας.

262. ἀμήχανον] πρὸς ὃ μηχανὴν σωτηρίας οὐκ ἂν εὑροίμην.

264. Ὕπνε, τίη δέ] ἄκρως διασύρει τὸ πᾶν, οὐδὲ ἀξιοῦσα εἰς ἔννοιαν αὐτὸν λαμβάνειν οὐδὲ παραβάλλειν τὰ παρόντα ἐκείνοις· οὐ γὰρ ὁμοίως κινηθήσεσθαι τὸν Δία ἐπὶ τοῖς Τρωσὶ κακωθεῖσιν, ὡς

1. Lemma in marg. rubrum ἱστορία
3. Κῶν] * Κῶ
7. * ἡ—Φερεκύδει] om.
18. * παρὰ] περὶ

ὑπὲρ τοῦ ἰδίου παιδὸς ἐχαλέπηνε. καὶ ἔστιν ἠθικόν· ὡς γὰρ πρόδηλον ὂν τὸ τῆς συγκρίσεως, αὐτὸν τὸν Ὕπνον ἐρωτᾷ αὐτό.

265. τὸ μὲν ῆ βαρυνόμενον ἐρώτησιν δηλοῖ, τὸ δὲ περισπώμενον ἀπόρησιν.

267. ἀλλ' ἴθ' ἐγώ] τεχνικὸν καὶ τοῦτο· ὡς γὰρ ἤδη πείσασα οὐκέτι αἰτεῖ, ἀλλ' ὑπουργεῖν λοιπὸν προτρέπει. συνάπτει δὲ τῇ προτροπῇ καὶ τὴν ὑπόσχεσιν.

*Πορφυρίου. διὰ τί Ἥρας ὑποσχομένης τῷ Ὕπνῳ δώσειν θρόνον ἀρνεῖται, αἰτεῖται δὲ Χαρίτων μίαν ὁπλοτεράων; καὶ τί βούλεται ἡ ὁπλοτέρα Χάρις; ῥητέον οὖν· τὸν μὲν θρόνον ἀρνεῖται, ὅτι Ὕπνος θρόνου οὐ δεῖται· Θανάτου γὰρ τὸ τοιοῦτον, περιφοίτητον δὲ ὁ Ὕπνος πάθος ἐστὶ καὶ τῶν ἐπιόντων καὶ τῶν ἀπιόντων. Χάριν δὲ αἰτεῖται οὐ προκαταρκτικὴν, ἀλλ' ἀμειπτικήν· ἀνθ' ὧν γὰρ εὖ ποιεῖ, ἀξιοῖ λαβεῖν τὴν ἀμοιβὴν, οὐκ ἐξ ὧν αὐτὸς προκατήρχθη. αἱ μὲν οὖν προκατάρχουσαι Χάριτες εἶεν ἂν πρεσβύτεραι, αἱ δὲ ἀμειπτικαὶ ἔτι νεώτεραι· μεταγενέστερον γὰρ, καὶ διὰ τοῦτο νεώτερον, τὸ δεύτερον τοῦ προτέρου. διόπερ τῶν ὁπλοτέρων φησὶν αἰτεῖσθαι μίαν Χαρίτων.

270. χήρατο δ' Ὕπνος] πιθανῶς, ὁτὲ μὲν θρόνον ὠνόμασεν, οὐκ ἤνυσεν, ὁτὲ δὲ γάμον, ἐπιτείνοντος τὴν ἐπιθυμίαν τοῦ κεστοῦ· πρὸς γὰρ ἐρωτικὰ μόνα δυνατώτατός ἐστι. δύο δὲ θεοὺς ἡ Ἥρα δι' ἡδονῆς ἐξηπάτησεν.

271. ἀάατον] ὑπερεπιτατικὸν εἶναι τὸ τοιοῦτόν φασιν, ὃ ταυτόν ἐστιν ἑνὶ ἁπλῷ. δηλοῖ δὲ τὸ λίαν βλαπτικώτατον. κατὰ Στυγὸς δὲ ὀμνύναι λέγει, ὅτι τὸ Στυγὸς ὕδωρ στυγνότητος αἴτιόν ἐστι τοῖς ψευδομένοις, ἀπελέγχον αὐτοὺς καὶ τοῦ ἐν ἡδονῇ ζῆν στερίσκον.

*τὸ ᾱ καὶ στέρησιν καὶ ἐπίτασιν δηλοῖ, ὡς ἀβλαβὲς μὲν τοῖς εὐόρκοις, πολυβλαβὲς δὲ τοῖς ἐπιόρκοις.

272. *τὰ βαρύτατα τῶν στοιχείων ὄμνυσι, καθάπερ ἐν τῇ συνηθείᾳ λέγομεν ξηρὸν καὶ ὑγρόν.

κατὰ ξηροῦ καὶ ὑγροῦ ὀμνύουσιν, ἐπεὶ πάντα ἐκ ξηροῦ καὶ ὑγροῦ τὴν σύστασιν ἔχουσιν.

273. μαρμαρέην] τὴν λαμπρότητος θρεπτικὴν, ἤτοι τοῦ ἡλίου· ἄναμμα γὰρ, φησὶν, ἡλίου νοερὸν θάλασσα.

3. ῆ addidit Vill.
4. ἀπόρησιν Bekk.] ἀπόρρησιν
8. * Πορφυρίου] om.
18. ὁτὲ—ὁτὲ] ὅτι—ὅτι (*ὅτε—ὅτε)
28. * βαρύτατα] βαρύτερα
33. * ἄναμμα] νάμα

274. *θεοὶ Κρόνον ἀμφὶς ἐόντες*] ἢ συγκολαζόμενοι αὐτῷ, ἢ μᾶλλον ὑπ' αὐτῷ ταγέντες. Τιτᾶνες δέ εἰσιν οἱ Οὐρανοῦ παῖδες, Κρόνος, Κρεῖος, Ὑπερίων, Ἰαπετὸς, Κοῖος.

276. *Πασιθέην*] ἐπίτηδες μὲν ἐσιώπησεν ἡ Ἥρα τὸ ὄνομα τῆς ἐρωμένης, ἵνα μὴ ὀνειδίζῃ τὸν ἔρωτα· ὁ δὲ Ὕπνος καὶ τὸ ὄνομα προσέθηκεν εἰς βεβαίωσιν. Πασιθέην δὲ, ὅτι πανταχοῦ δεῖ θέειν καὶ μὴ κεκρύφθαι τὴν χάριν. οὐκ οἶδε δὲ τὰ παρ' Ἡσιόδῳ ὀνόματα τῶν Χαρίτων. ὑποφαίνει δὲ διὰ τούτου ὡς οὐδὲ κοιμώμενον ἐπιλανθάνεσθαι χάριτος δεῖ, καὶ ὅτι τῷ Ὕπνῳ ἔνεστιν ἡδονὴ καὶ χάρις· Πίνδαρος δὲ χάριτος ἄρχοντα πρὸ πάντων τὸν ὕπνον ποιεῖ, αἰνιττόμενος τὸ συμβαῖνον περὶ τοὺς χαρίτων τυγχάνοντας, καί φησι, "παλαιὰ μὲν εὕδει χάρις," ὡς λήθης καὶ ὕπνου τοὺς περὶ χάριν ἀχαρίστους ἔχοντος.

279. *τοὺς ὑποταρταρίους*] τοὺς ἐν τῷ Ταρτάρῳ ὄντας· οὐδὲν γάρ ἐστιν ὑπὸ Τάρταρον. Τιτὰν δὲ παρὰ τὸ τιτός, τιτάν.

282. *πρήσσοντε*] περῶ πρῶ, ὡς βείω βῶ, βορῶ βρῶ, ὁ μέλλων πρήσω.

283, 284. τὸ Ἴδην ἀντὶ τοῦ Ἴδης· ἔστι δὲ μέρος Ἴδης τὸ Λεκτόν. ἐν ὑπερβατῷ δὲ καὶ ἀναστροφῇ ἑρμηνευτέον τὸ δίστιχον οὕτως, ἵνα μὴ δύσφραστον ᾖ, Ἴδης δ' ἱκέσθην πολυπίδακος Λεκτόν· τὼ δ' ἐπὶ χέρσου πρῶτον βήτην ὅθι λιπέτην ἅλα. ἀκροτάτη δὲ ὕλη ἡ χαμαίζηλος πᾶσα καὶ μικρὰ βοτάνη.

* Λεκτὸν δὲ ὠνομάσθη ἐκ τοῦ ἐν αὐτῷ κατακλιθῆναι Δία καὶ Ἥραν.

286, 287. *πάρος Διὸς ὄσσε ἰδέσθαι*] πρὶν ἴδῃ τοὺς ὀφθαλμοὺς τοῦ Διὸς, ὅπως μὴ πρὸ τοῦ δέοντος αὐτὸν κοιμίσῃ. ἐμφαντικώτατα δὲ εἴρηται, ὡς ἅμα τῷ προσβλέψαι τινὶ εὐθὺς κατακοιμίζοντος. τὸ δὲ εἰς ἐλάτην ἀντὶ τοῦ ἐπὶ ἐλάτην· ἔστι δὲ ἐπίμηκες καὶ ἄκαρπον δένδρον, ὡς ὁ ὕπνος.

288. *μακροτάτη*] μακροτάτην φησὶν ὡς πολλῶν καὶ ἄλλων οὐσῶν ἐκεῖ. καλῶς δὲ τότε· νῦν γὰρ οὐ φύεται ἐκεῖ.

289. *ἔνθ' ἧστ' ὄζοισι*] πιθανῶς, ἵνα καὶ διὰ τὸ ὕψος καὶ διὰ τοὺς κλάδους καὶ διὰ τὴν μεταμόρφωσιν μὴ ὁρῷτο.

290. *ὄρνιθι λιγυρῇ ἐναλίγκιος*] κατὰ τὴν καθέδραν· ἡ γὰρ ὄρνις οὐ καθέζεται. κρύπτει δὲ ἡ χαλκὶς ἀεὶ τὴν κεφαλὴν ὑπὸ τοὺς κλάδους. εἰς δὲ τὸ ἐν ὄρεσι λείπει τὸ διατρίβουσαν.

291. *χαλκίδα—κύμινδιν*] ὁ κύμινδις οἰκεῖ μὲν ὄρη, ἔστι δὲ μέλας,

8. * οὐδὲ] οὐ   15. * βείω] βιῶ

χαλκίζων τῇ χροιᾷ, ἔχων μέγεθος ἱέρακος, φασσοφόνος, ὥς φησιν Ἀριστοτέλης (H. A. 9, 12). εὐεπίφορον δὲ εἰς ὕπνον τὸ ὄρνεον.

292. Γάργαρον] τὸ ἄκρον Γάργαρον, ἡ δὲ πόλις θηλυκῶς, καὶ οἱ πολῖται Γαργαρεῖς.

294. ὡς δ' ἴδεν] ἐπαναλαμβάνει τὸ ἴδεν, ὑποφαίνων ὡς οὐκ ἐν παρέργῳ αὐτὴν εἶδεν. ὅμοιον δέ ἐστι τῷ "ἠράσατ' ὀφθαλμοῖσιν ἰδών" (Il. 16, 182). τὸ δὲ πυκινάς πρὸς ἐπίτασιν τοῦ πάθους. ἀμφεκάλυψε δὲ ἀντὶ τοῦ ἤγρευσεν, ἀπὸ τῶν δικτύων.

295. *Ἥραν τρεφομένην παρὰ τοῖς γονεῦσιν εἷς τῶν Γιγάντων βιασάμενος Εὐρυμέδων ἔγκυον ἐποίησεν· ἡ δὲ Προμηθέα ἐγέννησεν. Ζεὺς δὲ ὕστερον γήμας τὴν ἀδελφὴν, καὶ γνοὺς τὰ γενόμενα, τὸν μὲν Εὐρυμέδοντα κατεταρτάρωσε, τὸν δὲ Προμηθέα προφάσει τοῦ πυρὸς δεσμοῖς ἀνήρτησεν. ἡ ἱστορία παρὰ Εὐφορίωνι.

296. φίλους λήθοντε τοκῆας] καὶ πῶς φησὶ (202) παρ' Ὠκεανῷ αὐτὴν τρέφεσθαι; ἢ τὸ ἀτιτάλλειν οὐκ ἐκ νηπίας, ἀλλὰ τὸ ἐπιμελῶς τρέφειν φησί· "τοὺς μὲν τέσσαρας αὐτὸς ἔχων ἀτίταλλ' ἐπὶ φάτνῃ" (Il. 5, 271). λάθρα οὖν ἐμίγη. ὅτε δὲ ἐταρταρώθη ὁ Κρόνος, ὡς παρθένος ὑπονοουμένη ἐξεδόθη Διὶ παρὰ Τηθύος καὶ Ὠκεανοῦ. τεκοῦσαν δὲ τὸν Ἥφαιστον ἐκ τῆς νοθείας τῆς πρώτης φασὶ προσποιεῖσθαι ὅτι ἄνευ μίξεως κύει. φασὶ δὲ τὸν Δία ἐν Σάμῳ λάθρα τῶν γονέων ἀποπαρθενεῦσαι τὴν Ἥραν· ὅθεν Σάμιοι μνηστεύοντες τὰς κόρας λάθρα συγκοιμίζουσιν, εἶτα παρρησίᾳ ποιοῦσι τοὺς γάμους. τοκῆας οὖν τοὺς περὶ Κρόνον καὶ Ῥέαν· ἔνιοι δὲ τοὺς προγόνους τοὺς περὶ Ὠκεανὸν καὶ Τηθύν.

297. στῆ δ' αὐτῆς προπάροιθεν] κινηθεὶς ὑπὸ τῆς ἐπιθυμίας εἰκότως αὐτὸς τῇ γυναικὶ πρόσεισιν.

298. τόδ' ἱκάνεις] λείπει τὸ ὄρος· οὐ γινώσκει δὲ τὴν συσκευὴν διὰ τὰ πάθη "ἅ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων."

299. ἵπποι δ' οὐ παρέασι] ἁρμοδίως πάνυ καταπαύει τὴν ὁδὸν ὡς μὴ τῶν ἐπιτηδείων παρόντων, ἵνα πείσας μένειν εὖ τῇ σχολῇ χρήσηται· οὐ γὰρ πιθανὸν ἦν ἀποτρέψαντα τῆς ὁδοῦ θέλειν ἐμπελάζειν. προφάσει οὖν χρῆται. ἡ δὲ δολίως ἐπιτείνει τὴν ἐπιθυμίαν τοῦ ἀνδρὸς, φάσκουσα πάντα αὐτῇ εὐτρεπῆ εἶναι τὰ πρὸς τὴν ὁδόν. δολίαν δὲ εἰσάγει τὴν Ἥραν καὶ ἐν τῷ περὶ Ἡρακλέους· "δολοφροσύνησ'

1. * φασσοφόνος] φασσόφωνος

9. Lemma rubrum ἱστορία 12. * τοῦ] om.

ἀπάτησε" (Il. 19, 97). σχεδὸν οὖν κηρύττει ὁ ποιητὴς φυλάττεσθαι τῶν γυναικῶν τοὺς λόγους.

301. ἀθετοῦνται οἱ στίχοι ὡς ἀμβλύνοντες τὴν ἐπιθυμίαν Διὸς, κακῶς· οὐ γὰρ ἠμβλύνθη. περὶ ἀφροδισίων γὰρ λέγουσα ἐπιτείνει τὸ πάθος, καὶ τὸν πόθον πλέον ἐξάπτει. ἄλλως τε λέγονται, ἵνα μὴ ὕστερον αἰτία ᾖ ὡς εἰς τοῦτο ἐπίτηδες ἐλθοῦσα.

304. καί σφ' ἄκριτα νείκεα λύσω] καὶ πῶς ἐν τῇ Α μετὰ τῶν θεῶν ἐλθοῦσα ἐς Ὠκεανὸν οὐ διήλλαξε τὴν ἔριν; ἀλλ' ὅτι οὐ σὺν αὐτοῖς ἦν, δῆλον ἐξ ὧν ἀπ' οὐρανοῦ πέμπει τὴν Ἀθηνᾶν παύσουσαν τῶν στρατηγῶν τὴν ἔριν.

*Πορφυρίου. διὰ τί ἡ Ἥρα ὅτε μὲν μετὰ τοῦ Διὸς ᾤχετο ἐπὶ τὸν Ὠκεανὸν, οὐ διέλυσε τὴν Τηθὺν καὶ τὸν Ὠκεανὸν, ὕστερον δὲ ἡμέραις πέντε ἢ δέκα πέντε ἐπεχείρει ἐπὶ τοῦτο πορεύεσθαι; οὐ γὰρ δὴ μετ' ἐκείνας γε διηνέχθησαν· πάλαι γάρ φησιν αὐτοὺς ἀπέχεσθαι εὐνῆς καὶ φιλότητος. ἢ οὐ λέγει ὁ ποιητὴς ὅτι ἐπορεύετο ἐπὶ τοῦτο, ἀλλ' ὅτι σκηπτομένη τοῦτο ἔπλαττε· "τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη" (300). καὶ "ἵπποι δ' ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν" (307)· οὐδαμοῦ δὲ ἦσαν οἱ ἵπποι, ὥστε οὐδ' ἡ πορεία ὄντως ἐπὶ τοῦτο παρεσκεύασται. ἔπειτα οἱ Αἰθίοπες παρὰ τὸν Ὠκεανὸν οἰκοῦσιν· Ὠκεανὸς δὲ καὶ τὸ ὕδωρ καὶ ὁ θεός. καὶ οὐχ ὁ τῷ ὕδατι ἐντυγχάνων κύκλῳ πᾶσαν περιθέοντι τὴν γῆν πάντως καὶ τῷ θεῷ ἐντυγχάνει κατὰ πᾶν μέρος τοῦ ὕδατος. οὐδ' ἐλθοῦσα μετὰ τοῦ Διὸς ἐπ' ἄλλα ἂν ἀπῆλθε, πάρεργα ἑκάτερα ποιουμένη, καὶ ἐγκαταλιποῦσα τὸν ἡγεμόνα ᾧ πάντες οἱ ἄλλοι θεοὶ ἠκολούθουν· "Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας" (Il. 1, 423) καὶ τὰ ἑξῆς. καὶ ταῦτα μὲν, δόντες αὐτῇ ἀπεληλυθέναι μετὰ τοῦ Διὸς, οὕτω λύομεν· ὅτι δὲ οὐκ ἀπεληλύθει δηλοῖ τὸ ὀργιζομένῳ Ἀχιλλεῖ παραγινομένην τὴν Ἀθηνᾶν λέγειν ὑφ' Ἥρας πεπέμφθαι. πῶς οὖν, εἰ μὴ ἀπῆλθον καὶ αὐταὶ, εἴρηται "θεοὶ δ' ἅμα πάντες ἕποντο" (ib. 424); καὶ διὰ τί φήσας πάντας τοὺς θεοὺς εἰς Αἰθιοπίαν ἐληλυθέναι "θεοὶ δ' ἅμα πάντες ἕποντο," τὴν Ἀθηνᾶν ἐκ τοῦ οὐρανοῦ φησὶν ἐλθεῖν παρὰ τῆς Ἥρας πρὸς τὸν Ἀχιλλέα; μήποτε δὲ συλληπτικῶς εἴρηται ἀπὸ τοῦ πλείστου τὸ πᾶν. ὥσπερ γὰρ ἐπὶ τῶν

11. *Πορφυρίου] om. 13, 16, 20. τοῦτο] τοῦ^τ
23. οὐδ' ἐλθοῦσα Bekk.] ὁ διελθοῦσα

ἡγεμόνων τῶν Ἀχαιῶν εἰπὼν ὅτι πάντες ἐκάθευδον („ἄλλοι μὲν παρὰ νηυσὶν ἀριστῆες Παναχαιῶν εὗδον παννύχιοι" Il. 10, 1), ὅμως ποιεῖ τὸν Ἀγαμέμνονα ἐγρηγορότα καὶ τὸν Μενέλαον („οὐδὲ γὰρ αὐτῷ ὕπνος ἐπὶ βλεφάροισιν ἔπιπτεν" ib. 25), οὕτως ἐκ τοῦ πλείστου τὸ πάντας ἠκολουθηκέναι τοὺς θεοὺς τῷ Διὶ εἴρηκεν· οὐ γὰρ δὴ θεῶν ἔμελλεν ὁ οὐρανὸς καταλείπεσθαι ἔρημος.

307. πρυμνωρείῃ] ὡς ἀκρωρείᾳ· σημαίνει δὲ τὸ πρὸς τῇ ῥίζῃ τοῦ ὄρους πρὸς τὸ ἔδαφος ἐρριζωμένον.

310. μή πώς μοι] ἐντέχνως αὐτὸν γοητεύει ὡς τῇ ἐξουσίᾳ ἐκείνου τὰς ἰδίας ἐπιτελοῦσα χρείας. καὶ γυναιξὶ δὲ νομοθετεῖ τὰς ἐξόδους ποιεῖσθαι συγκεχωρημένας ὑπὸ τῶν ἀνδρῶν.

313. Ἥρη κεῖσε μέν] ὅρα οἷόν ἐστιν ἡ φιληδονία, ὑπέρθεσιν οὐ δεχόμενον καὶ τῶν καθηκόντων ἐμποιοῦν ἀμέλειαν.

314. τραπείομεν] ἀντὶ τοῦ τερφθῶμεν· ἐκτρέπει γὰρ τοῦ δέοντος ἡ ἡδονή.

315. οὐ γάρ πώ ποτε] τίνος ἕνεκεν τοσοῦτον ἀκρατῆ παρίστησι τὸν Δία ὡς μὴ δύνασθαι κρατεῖν ἑαυτοῦ; φαμὲν οὖν ὡς ἀπελογήσατο περὶ τούτου ἐν οἷς φησὶν „ἅ τ' ἔκλεψε νόον." ἄλλως τε διδάξαι βούλεται τοὺς νέους ὁ ποιητὴς ὅσον ἐστὶ χαλεπὸν μὴ κρατεῖν τῶν παθῶν, ὅπου γε καὶ Ζεὺς ὁ παγκρατὴς πάθει νικηθεὶς ἐζημιώθη τὴν ὄνησιν ἣ ἐξ ἀγρυπνίας περιεποιήσατο.

οὐδὲ γυναικός] ἀντὶ τοῦ θνητῆς, ὡς καὶ ἀλλαχοῦ „ἢ θεὸς ἠὲ γυνή" (Od. 10, 228). ὡς μείζονα δὲ τὸν γυναικεῖον ἐπήγαγεν ἔρωτα· ἢ ὅτι ὁ τῶν ὁμοφύλων ἔρως οὐ λίαν ἐστὶν ἐπιτεταμένος, ὡς ὁ τῶν παρὰ φύσιν.

317. Ἰξιονίης ἀλόχοιο] τῆς εἰς ὕστερον γενομένης Ἰξίονος· παρθένῳ γὰρ ὁ Ζεὺς συγγίνεται.

319. *Δανάης] Δανάη Ἀκρισίου θυγάτηρ, ἣ Διὶ συγκοιμηθεῖσα Περσέα ἐγέννησε. χρωμένῳ γάρ, φασί, τῷ Ἀκρισίῳ περὶ γενέσεως ἀρρένων παίδων ὁ θεὸς ἔφη γενέσθαι παῖδα ἐκ τῆς θυγατρὸς αὐτοῦ καὶ αὐτὸν κτεῖναι· δείσας δὲ ὁ Ἀκρίσιος τοῦτο, κατὰ γῆς θάλαμον χαλκοῦν κατασκευάσας τὴν Δανάην ἐφρούρει. αὐτὴ δέ, ὥς φησι Πίνδαρος

4. βλεφάροισιν] βλεφάροις
12. *ὑπέρθεσιν] ὑπόθεσιν
20. *γε] om.
28. Lemma rubrum ἱστορία
*ἣ] om.
29. χρωμένῳ γάρ, φασί] χρειομένῳ γάρ φησι

καὶ ἕτεροί τινες, ἐφθάρη ὑπὸ τοῦ πατραδέλφου αὐτῆς Προίτου, ὅθεν αὐτοῖς καὶ στάσις ἐκινήθη. ἔνιοι δέ φασιν ὅτι Ζεὺς μεταμορφωθεὶς εἰς χρυσὸν καὶ διὰ τῆς ὀροφῆς εἰσπεσὼν ἔφθειρε ταύτην· διὸ καὶ τὴν θυγατέρα μετὰ τοῦ παιδὸς εἰς λάρνακα ἐμβαλὼν ἐν τῇ θαλάσσῃ ἔρριψε. διασωθέντων δὲ τούτων εἰς Σέριφον τὴν νῆσον, συνέβη ἀνατραφῆναι τὸν παῖδα παρὰ Πολυδέκτῃ ἤ, ὥς ἔνιοί φασιν, ὑπὸ Δίκτυος τοῦ ἀδελφοῦ Πολυδέκτου. φυγόντος δὲ ὕστερον Ἀκρισίου τὴν Ἀργείων βασιλείαν παρέλαβε Περσεύς.

323. *Ἀλκμήνης] Ἀλκμήνης τῆς Ἠλεκτρύονος καὶ Ἀναξοῦς τῆς Ἀγκαίου ἠράσθη Ἀμφιτρύων, ὃς ἀνελὼν Ἠλεκτρύονα βοῶν ἀμφισβητήσεως χάριν ἐξ Ἄργους ἔφυγεν εἰς Θήβας· σὺν αὐτῷ δὲ καὶ Ἀλκμήνη. ὑποδεχθέντες δὲ ἀσμένως παρὰ τῶν βασιλευόντων τῆς πόλεως Κρέοντος καὶ Ἡνιόχης τιμῆς ἐτύγχανον μεγίστης. οὐ βουλομένης δὲ Ἀλκμήνης γαμηθῆναι, εἰ μὴ οἱ φονεῖς τῶν ἀδελφῶν αὐτῆς ἀναιρεθῶσι Τηλεβόαι, κατηγωνίσατο αὐτοὺς Ἀμφιτρύων, προσλαβόμενος συμμάχους Βοιωτοὺς καὶ Λοκροὺς, ἔτι δὲ καὶ Φωκεῖς, ἐνιαυτὸν προσεδρεύσας. ὡς δὲ ὑποστρέψας ἀπὸ τῆς στρατείας ἦγε τοὺς γάμους ἑαυτοῦ τε καὶ Ἀλκμήνης, τῇ αὐτῇ νυκτὶ ἐρασθεὶς αὐτῆς ὁ Ζεὺς καὶ εἰκασθεὶς Ἀμφιτρύωνι ἐμίγη καὶ υἱὸν ἐποίησεν· ὁμοίως δὲ καὶ Ἀμφιτρύων τῇ αὐτῇ νυκτί. ἤδη δ' ἐκείνης τὸν ἑπταμηνιαῖον χρόνον τῆς μίξεως ἐχούσης, γεννᾶται Ἡρακλῆς μὲν ἐκ Διὸς, Ἰφικλῆς δὲ ἐξ Ἀμφιτρύωνος. φασὶ δὲ Δία συγκοιμώμενον Ἀλκμήνῃ πεῖσαι τὸν Ἥλιον μὴ ἀνατεῖλαι ἐπὶ τρεῖς ἡμέρας· ὅθεν ἐπὶ τρεῖς νύκτας συγκοιμηθεὶς αὐτῇ ὁ Ζεὺς τὸν τριέσπερον Ἡρακλέα ἐποίησεν. ἡ ἱστορία παρὰ Φερεκύδει.

325. *Σεμέλης] Σεμέλης τῆς Κάδμου θυγατρὸς Ζεὺς ἐρασθεὶς Ἥρας κρύφα συνευνάζεται. ἐξαπατηθεῖσα οὖν αὕτη ὑπὸ Ἥρας, ἐπινεύσαντος αὐτῇ Διὸς πᾶν τὸ αἰτηθὲν ποιῆσαι, αἰτεῖται τοιοῦτον αὐτὸν ἐλθεῖν οἷος ἦλθε μνηστευόμενος Ἥραν. Ζεὺς δὲ μὴ δυνάμενος

5. * εἰς Σέριφον] εἰς ἔριφον
6. * Πολυδέκτῃ—Πολυδέκτου] πολυδεύκου—πολυδεύκου
9. Lemma rubrum ἱστορία
12. * ὑποδεχθέντες] ὑποδεχθέντων
14. * δὲ] om.
15. * Τηλεβόαι] om.
* κατηγωνίσατο] διὸ κατηγωνίσατο
17. * ὑποστρέψας] ἐπιστρέψας
21. * τὸν] om.
* ἑπταμηνιαῖον] δεκαμηνιαῖον
25. * ἡ ἱστορία παρὰ Φερεκύδει] om.
26. Lemma rubrum ἱστορία
27. * Ἥρας] om.

ἀνανεῦσαι παραγίνεται εἰς τὸν θάλαμον αὐτῆς μεθ' ἅρματος, ἀστραπαῖς καὶ βρονταῖς ὁμοῦ καὶ κεραυνὸν ἵησι. Σεμέλης δὲ διὰ τὸν φόβον ἐκλιπούσης, ἑξαμηνιαῖον τὸ βρέφος ἐξαμβλωθὲν ἐκ τοῦ πυρὸς ἁρπάσας ἐνέρραψε τῷ μηρῷ. ἡ ἱστορία παρ' Εὐριπίδῃ ἐν Βάκχαις.

Διώνυσον] Διόνυσος ἀπὸ τοῦ Διὸς καὶ τῆς Νύσης τοῦ ὄρους. οἱ δὲ Διόνυξος· κερασφόρος γὰρ τεχθεὶς ἔνυξε τὸν μηρὸν τοῦ Διός.

326. *καλλιπλοκάμοιο] πλοκάμους τοὺς στάχυας δεῖ νοεῖν, ὡς καὶ ἱστοροῦσιν αὐτὴν ἐστεμμένην τοῖς στάχυσιν.

330. αἰνότατε Κρονίδη] γυναικικῷ τῷ ἤθει ἐπιπλήττει ὡς ἀπηρυθριακότα· αἰδῶ δὲ προφασίζεται, ἀπάξαι αὐτὸν τῆς Ἴδης θέλουσα πρὸς τὴν εὐκαιρίαν τῆς ἐπικουρίας.

338. ἔστιν τοι θάλαμος] δοκεῖ μὲν αἰδημόνως διαλέγεσθαι, ἔστι δὲ οὐδὲ τοῦτο ἄτεχνον αὐτῇ, ἀλλὰ θέλει κατακλεῖσαι τὸν Δία εἰς τὸ δωμάτιον, ἵνα μὴ διαναστὰς ἐκ προχείρου ἀθρήσῃ τὴν μάχην.

342. θεόν] ἄμεινον θεῶν, ὡς ἀνδρῶν. πᾶς δὲ τόπος τῇ νομίμῳ μίξει θάλαμός ἐστι, τῇ δὲ ἀθέσμῳ οὔ. ἀμέλει Ἄρεα οὐκ ἔκρυψεν οὐδὲ ἡφαιστότευκτος ὢν ὁ θάλαμος.

343. ἀμφικαλύψω] περιβαλῶ, ὡς τὸ "πέπλοιο φαεινοῦ πτύγμ' ἐκάλυψεν" (Il. 5, 315).

344. χρύσεον] μὴ μεμφέσθω Πλάτων χρυσοῦν νέφος καὶ ἥλιον νικῶν, οἷον ἂν οὐδὲ Ἥφαιστος ποιήσειε, καὶ εὐνὴν ἐξ ἀνθέων· τρεῖς δέ εἰσι τρόποι καθ' οὓς πᾶσα ποίησις θεωρεῖται, ὁ μιμητικὸς τοῦ ἀληθοῦς, φιλοπάτωρ, μισογύνης, ἄπιστος, παρρησιαστής· ὁ κατὰ φαντασίαν τῆς ἀληθείας, ὃν δεῖ μὴ κατὰ μέρος ἐξετάζειν, οἷον οὐχ ὅτι ψυχαὶ γεύονται καὶ λαλοῦσι, πάντως ἐρεῖ τις καὶ γλῶσσαν ἔχουσι καὶ βρόγχον· τρίτος δὲ ὁ καθ' ὑπέρθεσιν τῆς ἀληθείας καὶ φαντασίας, Κύκλωπες, Λαιστρυγόνες, καὶ ταῦτα τὰ περὶ θεῶν.

345. οὗ τε καὶ ὀξύτατον] πῶς οὖν ὁ Ὕπνος διικνεῖται διὰ τοῦ νέφους; ἢ οὐχ ὁ σωματοειδὴς ὕπνος, ἀλλὰ τὸ πάθος.

346. *ἦ ῥα, καὶ ἀγκὰς] πολλήν τινα χλεύην καὶ μακρὸν ἡγοῦντο κατάγελων τοὺς ἀκαίρους Διὸς ὕπνους ἐν Ἴδῃ καὶ τὴν ὄρειον ὥσπερ ἀλόγοις ζῴοις ὑπεστρωμένην εὐνήν, ἐν ᾗ δυσὶ τοῖς ἀφρονεστάτοις πάθεσι

23. *ἀληθοῦς] ἀληθῶς
24. * οὐχ] om.
27. *περὶ] παρὰ
30. Πορφυρίου praescripsit Vill., non animadvertens totum hoc caput ex Heraclito esse transscriptum c. 39 p. 80 ed. Mehler. nonnulla cum scripturae diversitate.

δεδούλωται Ζεύς, ἤγουν ἔρωτι καὶ ὕπνῳ. νομίζω τοίνυν ἔγωγε αὐτὰ ταῦτα δι' ἀλληγορίας ἐαρινὴν ὥραν ἔτους εἶναι, καθ' ἣν ἅπαντα φυτὰ καὶ πᾶσα χλόη ἐκ γῆς ἀνίεται, τοῦ παγετώδους ἡσυχῇ λυομένου κρύους. ὑφίσταται δὲ τὴν Ἥραν, τουτέστι τὸν ἀέρα, στυγνὸν ἀπὸ χειμῶνος ἔτι καὶ κατηφῆ· διὰ τοῦτο, οἶμαι, πιθανῶς φησὶ "στυγερὸς δ' αὐτῇ ἔπλετο θυμός" (158). μετὰ μικρὸν δὲ ἀποκρουσαμένη τὸ συννεφὲς τῆς ἀηδίας "λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ ἀμβροσίῳ ἑανῷ" (171) ἡ λιπαρὰ καὶ γόνιμος ὥρα· διὰ τοῦτο μετὰ τῆς τῶν ἀνθέων εὐωδίας ὑποσημαίνεται τοιούτῳ χρίσματι τὴν Ἥραν ἀλειψαμένην. τούς τε πλοκάμους αὐτήν φησιν ἀναπλέξασθαι "καλούς, ἀμβροσίους, ἐκ κράατος ἀθανάτοιο" (175), τὴν τῶν φυτῶν αἰνιττόμενος αὔξην, ἐπειδὴ δένδρον ἅπαν κομᾷ καὶ θριξὶν ὁμοίως ἀπὸ τῶν κλάδων ἀναρτᾶται τὰ φύλλα. δίδωσι δὲ ἐγκόλπιον τῷ ἀέρι καὶ τὸν κεστὸν ἱμάντα "ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς" (216), ἐπειδήπερ αὕτη μάλιστα τοῦ ἔτους ἡ ὥρα τὸ τερπνότατον ἐπεκληρώσατο τῶν ἡδονῶν μέρος· οὔτε γὰρ ὑπὸ τοῦ κρύους λίαν πεπήγαμεν οὔτ' ἄγαν θαλπόμεθα, μεταίχμιον δέ τι τῆς ἑκατέρωθεν εὐκρασίας ἐν τοῖς σώμασιν ἀνεῖται. τοῦτον τοίνυν τὸν ἀέρα συνέμιξεν Ὅμηρος μετὰ μικρὸν τῷ αἰθέρι· διὰ τοῦτο ἐπὶ τῆς ὑψηλοτάτης ἀκρωρείας καταλαμβάνεται ὁ Ζεύς, ἐν ᾗ "δι' ἠέρος αἰθέρ' ἵκανεν." ἔνθα δὲ κίρναται καθὲν ἀναμιχθεὶς ὁ ἀὴρ τῷ αἰθέρι, ἐμφαντικῶς τοῖς ὀνόμασιν εἶπεν "ἦ ῥα, καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν·" ἀγκαλίζεται γὰρ ἐν κύκλῳ περιέχων ὁ αἰθὴρ ὑφηπλωμένον αὐτῷ τὸν ἀέρα. τῆς δὲ συνόδου καὶ κράσεως αὐτοῦ τὸ πέρας ἐδήλωσε τὴν ἐαρινήν, εἰπὼν "τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην, λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον πυκνὸν καὶ μαλακόν, ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργεν." ἴδια στέφη ταῦτα τῆς ἀρτιθαλοῦς ὥρας, ἐπειδὰν ἐκ τῶν χειμερινῶν παγετῶν ἡ γῆ στερίφη καὶ μεμυκυῖα πηγὰς κυοφορουμένας ἔνδον ὠδῖνος ἐκφήνῃ. προσεπισφραγιζόμενος δὲ τοῦτο τὸν λωτὸν εἶπεν ἑρσήεντα, τὸν δροσερὸν τῆς ἐαρινῆς καταστάσεως ἐμφανέστερον ποιῶν καιρόν. "ἐπὶ δὲ νεφέλην ἕσσαντο καλήν, χρυσείην, στιλπναὶ δ' ἀπέπιπτον

7. κάθηρεν] καθῆρεν

13. ἀναρτᾶται] ἀπαρτᾶται Heraclitus.

28. ἀρτιθαλοῦς Heraclitus] ἀρτιθαλλοῦς χειμερινῶν Heraclitus] προχειρῖ

29. γῆ addidit Mehlerus. πηγὰς] ὡς πηγάς libri nonnulli Heracliti.

ἔερσαι." τίς ἀγνοεῖ τοῦτο, ὅτι χειμῶνος μὲν ἐπάλληλα πυκνώματα τῶν νεφῶν ἐκμελαίνεται, καὶ μετὰ θολερᾶς ἀχλύος κατηφὴς ἅπας ὁ οὐρανὸς ἀμαυροῦται, τοῦ δὲ ἔαρος ὑποσχίζοντος ἀργὰ τὰ νέφη μαλακῶς ὑποσπείρεται ταῖς ἡλιακαῖς ἀκτῖσιν ἐναγκαλιζόμενα, καὶ παραπλήσιόν τι χρυσαῖς μαρμαρυγαῖς ἀποστίλβει; τοῦτο δὴ τὸ περὶ τὴν Ἴδην κορυφαῖον ἡμῖν νέφος τῆς ἐαρινῆς ὥρας δημιουργὸν Ὅμηρος ἐδήλωσεν.

347. τοῖσι δ' ὑπὸ χθών] ἐμπεσὼν εἰς φορτικοῦ πράγματος διήγησιν ἐφ' ἕτερα τὸν λόγον μετήγαγε, τὰ ἀπὸ τῆς γῆς φυόμενα ἄνθη καὶ τὸ νέφος, δι' ὧν ἀπέκλεισε τὸ περαιτέρω πολυπραγμονεῖν ἡμᾶς. ἀνθηρῶς δὲ γράφει τὴν εὐνήν, καὶ προθεὶς τὸ γένος ποίην ἐπιφέρει τὸ εἶδος. οὐκ εἶπε δὲ ῥόδον διὰ τὸ ἀκανθῶδες. νεοθηλέα δέ, ἐπεὶ τὴν ἄλλην ἐνεμήθη καὶ ἐπάτησε τὰ ζῷα. κατὰ συλλογισμὸν δὲ ἡ ὑπεροχή, εἴγε καὶ τὰ ἄψυχα αἰσθάνεται τῆς δυνάμεως τοῦ θείου.

351. στιλπναί] ὥσπερ παρὰ τὸ θάλπω θαλπνός, τέρπω τερπνός, οὕτως παρὰ τὸ στίλβω στιλπνός.

355. ἀγγελίην ἐρέων] διὰ τὴν ἐπαγγελίαν τῆς ἐρωμένης καὶ ἃ μὴ κελεύεται ὁ Ὕπνος ποιεῖ· οὐ γάρ ἐστι τῶν συμμαχούντων, ὡς οὐδὲ Ἥλιος οὐδὲ ἡ Δημήτηρ.

πόθεν μαθὼν ταῦτα ἀπαγγέλλει; ἢ συνῆκεν ἐκ τοῦ εἰρημένου ὑπὸ τῆς Ἥρας "ἦ φῂς ὣς Τρώεσσιν ἀρηγέμεν εὐρύοπα Ζῆν'." (265).

360. Ἥρη δ' ἐν φιλότητι] οὐκ ἀναγκαίως, φασί, τὸ ἀπόρρητον ἐξήνεγκεν. ἢ πρὸς τὸ θαρραλεώτερον ποιῆσαι Ποσειδῶνα τὴν τέχνην τῆς Ἥρας ἐδήλωσεν.

362. ἀνῆκεν] ἀπὸ τῶν ἵππων ἡ μεταφορά, οἷς τὰς ἡνίας ἀνιᾶσιν.

364. ἐν ἤθει καὶ κατ' ἐρώτησιν ὁ λόγος. διεγείρει δὲ αὐτοὺς διὰ τοῦ λέγειν ὅτι τὰς νῆας ὁ Ἕκτωρ ἑλεῖ.

366. εὔχεται] οὐκ ἔλπεται, ἀλλ' εὔχεται· καυχηματίας γάρ ἐστιν ὁ Ἕκτωρ. ἐμείωσε δὲ αὐτὸν οὐκ ἀλκῇ θαρροῦντα, ἀλλὰ τῇ σπάνει τῶν πολεμίων.

368. οὔτι λίην] πεφεισμένως· ἄμεινον γὰρ τοῦ οὐδ' ὅλως. οὐ τοσαύτη, φησί, χρεία γένηται Ἀχιλλέως, ἐὰν ἀλλήλους παροξύνωμεν εἰς βοήθειαν. διδάσκει δὲ ὅτι δυνατὸν περιγίνεσθαι τῶν πολεμίων τοὺς ὁμοψύχους καὶ φιλαλλήλους.

11. * προθεὶς] προσθεὶς
27. * ἑλεῖ] ἕλη
31. γὰρ] * δὲ
τοῦ Bekk.] τὸ

372. βαρυντέον τὸ παναίθῃσι. τὰ γὰρ εἰς η̄ λήγοντα θηλυκὰ δισύλλαβα ὀξυνόμενα, ἐν τῇ συνθέσει μὴ γινόμενα κύρια, τοτὲ μὲν φυλάσσει τὸν τόνον, ὅταν μετὰ προθέσεως συντίθηται, ὡς τὸ ἀνατολή· εἰ δὲ μετὰ ἄλλου τινός, ἀναβιβάζει τὸν τόνον, ἱστοδόκη καπνοδόκη. ὥστε καὶ τὸ ὑδρορροή παρὰ Ἀττικοῖς ἀναλόγως βαρύνεται, τὸ δὲ ἀναρροή ὀξύνεται. παναίθῃσι δὲ ἀντὶ τοῦ ὁλολάμποις.

379. τοὺς δ' αὐτοὶ βασιλῆες] καλῶς αὐτοὺς οἱ τραυματίαι κοσμοῦσιν, ἐκ τῆς ἰδίας διεγείροντες εὐψυχίας πρὸς προτροπὴν γενναίων ἔργων.

382. ἐσθλὰ μὲν ἐσθλός] τοῦτο ποιοῦσιν, ὅπως τὰ ἀσφαλέστερα ἔχοντες οἱ ἄριστοι κινδυνεύοιεν προθύμως. καὶ πῶς μετενδιδύσκονται; ἐπισφαλὲς γὰρ εἶναι δοκεῖ τὸ ἐναλλάσσειν τὰς πανοπλίας ἐν πολέμῳ, ὁπότε καὶ τοὺς ὡπλισμένους ἐπιτηροῦντες ἐτίτρωσκον· "ᾗ ῥ' ἴδε γυμνωθέντα βραχίονα" (Il. 12, 389). ἔχουσιν οὖν σκέπην τὰς ναῦς. ἀλλ' οὐκ ἂν ὡμολόγησέ τις χείρων εἶναι, ὡς μὴ ἀτιμασθείη, ἀλλ' ἑωρῶντο. εἰκός τε ἦν αὐτοὺς πεισθήσεσθαι διὰ τὸ μέγεθος τοῦ ἐπὶ ταῖς ναυσὶ κινδύνου, ἐπεὶ καὶ οἱ πλέοντες ἐν κινδύνῳ αὐτόχειρες γίνονται τῶν σκευῶν, τοὺς ναύτας παρωσάμενοι, εἰ ἄτεχνοί εἰσι. πῶς τε οὐκ ἔμελλον ἀπὸ τοῦ νῦν γενναίως ἕκαστος πολεμεῖν, εἰδὼς ὡς ζῶν ὑπὸ πολίτου σκυλευθήσεται μὴ πολεμῶν;

383. νώροπα] τὸν λαμπρὸν καὶ εὐόρατον, παρὰ τὸ νοῆσαι. οἷον νοηρός νωρός νῶροψ.

392. ἐκλύσθη] ἐκλυδωνίσθη συναγανακτοῦσα Ποσειδῶνι καὶ αὔξουσα τὴν βοὴν τῶν Ἀχαιῶν. παρατηρητέον δὲ ὅτι πρὶν εἰπεῖν τι τῶν κατὰ τὴν μάχην, θορυβεῖ τὸν ἀκροατήν.

394. οὔτε θαλάσσης κῦμα] περισπούδαστόν τι δηλοῖ τὰς τοιαύτας πληθύνων παραβολάς. τρία δὲ ταῦτα ἴσμεν ἐν ἀνθρώποις ἰσχυρότατα, θαλάσσης κίνησιν, πυρὸς βρόμον, ἀνέμου ὁρμήν. παρέλαβε δὲ αὐτὰ πρὸς αὔξησιν, καί φησιν, οὔτε κῦμα πελάγιον περιρρησσόμενον ἄκρῳ τόπῳ κατὰ χαλεπὴν λύσσαν Βορέου, εἶτα τὸν βρόμον τοῦ πυρὸς οὐ κατοικιδίου, ἀλλ' οὔρεος ἐν βήσσῃς, ὅ ἐστι κοιλώμασι· ψιλαὶ γὰρ αἱ ἀκρώρειαι, ὡς εἶναι ὅλου ὄρους ἐμπρησμόν. εἶτα ὁ ἄνεμος οὐ διὰ μαλακοῦ ἀέρος ἀνεμποδίστως θέων, ἀλλὰ δι' ἀντιτύπων·

5. ὑδρορροή] ὑδροροή
6. ἀναρροή] ἀναροή
* ὁλολάμποις] ὁλολάμπροις
13. * ἴδε] εἶδε
20. πολίτου Bekk.] πολεμίου
32. * ψιλαὶ] ὑψηλαὶ

περὶ δρυσὶ γὰρ ὑψηλαῖς ἀντιτετειχισμέναις τῷ πνεύματι. οὐ παραβολαῖς δὲ χρῆται, ἀλλ᾽ ὑπερθέσεσιν, ὡς οὐκ ἔχων εἰκάσαι τὴν φωνὴν διὰ τὸ μέγεθος. ἑκάστῃ δὲ τῶν εἰκόνων ἐν ἄλλοις κατ᾽ ἰδίαν χρησάμενος, νῦν πάσας ἅμα παραλαμβάνει.

διὰ τοῦ βοάᾳ δηλοῖ ὡς οὐκ εἰς ὁμαλὴν ἠϊόνα ἐκπίπτει, εἰς ἀνώμαλον δὲ χέρσον, καὶ πνοιῇ βορέαο, ὃς εἴωθε κύματα μακρὰ κυλίνδειν. ἀλεγεινῇ δὲ, ἀλγεῖν παρεχούσῃ τοῖς ἐντυγχάνουσιν.

402. ἀκόντισε φαίδιμος Ἕκτωρ] ἄρχει τῆς συμβολῆς ἅμα μὲν ὡς προπετὴς καὶ ἐπαιρόμενος, ἅμα δὲ καὶ τὸ ἀξιόπιστον τῷ λόγῳ πρόσκειται, ἵνα πιθανὸν γένηται τοῦτον ἀρξάμενον τῆς συμβολῆς καὶ κακόν τι παθεῖν. οὐ συστάδην δὲ ἀγωνίζεται, πειραθεὶς αὐτοῦ ἐκ τοῦ μονομαχίου.

406. τώ οἱ ῥυσάσθην] τινὲς ὑπονοοῦσι θώρακα καὶ αὐτὸν μὴ ἔχειν, ἐκ τοῦ λέγειν, οἱ δύο τελαμῶνες αὐτὸν ἔσωσαν, κακῶς· διὰ γὰρ τὸ ἀτελὲς τῆς βολῆς τοῦτο μόνον λέγει.

χώσατο] ὡς ἂν εἰδὼς ὅτι παρώξυνται ὁ ἄριστος ἐπ᾽ αὐτῷ εἰς ὑποχώρησιν ἐτράπη.

408. ἐχάζετο] οὐ φεύγοντα ἐξ ὑποστροφῆς, ἀλλ᾽ οἷον ὑποχωροῦντα.

410. ἔχματα] ἐρείσματα πρὸς τὸ μὴ ἔνθα καὶ ἔνθα κλίνεσθαι.

413. τινὲς τὸν ἄτρακτον, ἀπὸ τοῦ περιστρέφεσθαι· οἱ δὲ τὸν βέμβικα· οἱ δὲ στρογγύλον λίθον. ὑπεροχὴ δὲ ῥώμης ἄνδρα τηλικοῦτον ἔνοπλον οὕτω δεδινῆσθαι. τινὲς δὲ ἐπὶ τοῦ λίθου ἀκούουσι· πῶς γὰρ ἂν ὑπὸ χερμαδίου οὕτω περιεστράφη; πῶς τε δρυῒ εἰκάζεται, ἣ πεσοῦσα αὐτοῦ μένει;

414. ὁ Αἴας Διὶ εἴκασται, ὁ λίθος κεραυνῷ, ὁ Ἕκτωρ δρυῒ μεγίστῃ πεσούσῃ ἐκ ῥιζῶν.

415. πρόρριζος] ἱστορικῶς· ἅπαντα γὰρ τὰ διόβλητα τῶν δένδρων ἐκ ῥιζῶν ἀνασπᾶται.

419. ἐπ᾽ αὐτῷ δ᾽ ἀσπὶς ἑάφθη] ἐπ᾽ αὐτῷ (δηλονότι τῷ δόρατι) πεσόντι ἐπισυνήφθη καὶ ἐπηκολούθησεν ἡ ἀσπὶς καὶ ἡ κόρυς· ἅμα γὰρ ὅλῳ συγκατηνέχθη τῷ σώματι.

424. οὐτάσαι ἐγγὺς, βαλεῖν πόρρωθεν.

10. * τοῦτον] τούτων 21. * περιστρέφεσθαι] περιεστρέφθαι
31. * πεσόντι] om.

εἰκότως πολὺ τὸ τῆς σπουδῆς· "αὐτὸς γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ" Il. 6, 403). ὅρα δὲ πῶς ἐπὶ τὸ ἀκρότατον ἐξάγει τὰς ἀγωνίας.

427. τῶν δ' ἄλλων οὔτις] οὐ μόνον πάντας τοὺς ὑπερμαχοῦντας κατέλεξεν, ἀλλὰ συλλήβδην τοὺς λοιποὺς ἐπιφέρει, ὥστε πάντη πιθανὴν γενέσθαι τὴν σωτηρίαν αὐτοῦ. λέγει δὲ ὅτι τῶν ἄλλων οὐκ ἦν τις ὃς ἠμέλησεν.

429. ἵκεθ' ἵππους] καταχρηστικῶς· κυρίως γὰρ ἱκέσθαι τὸ ποσὶ παραγενέσθαι.

433. πόρον λέγει τὸ διαβατὸν μέρος τοῦ ποταμοῦ, διὰ τὸ πορεύσιμον εἶναι.

434. * Πορφυρίου. ἐναντίον δοκεῖ τὸ ἅμα μὲν φάναι "Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς," ἅμα δὲ ἐπὶ τοῦ Ὠκεανοῦ φάναι "ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα" (Il. 21, 196). λύοιτο δ' ἂν ἐκ τῆς λέξεως καθ' ἑκάτερα· καὶ γὰρ τὸ πάντες δύναται λέγειν ἀντὶ τοῦ πλείους, καὶ ποταμὸς ὁμωνύμως λέγεται ὅ τε θεὸς καὶ ῥεῦμα, ὥστε τὸν μὲν θεὸν ἐκ Διὸς εἶναι, τὸ δὲ ῥεῦμα ἐξ Ὠκεανοῦ· λέγεται γὰρ ὁ Ζεὺς πατὴρ ἀνδρῶν τε θεῶν τε.

* ἄλλως. πῶς ποτὲ μὲν λέγει "τῷ οὐδὲ κρείων Ἀχελώϊος ἰσοφαρίζει, ἐξ οὗ περ πάντες ποταμοί," ἑτέρωθεν δὲ "Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς;" ἡ δὲ λύσις ἐκ τοῦ προσώπου· τὸ μὲν γὰρ ἐκ Διὸς εἶναι ὁ ποιητὴς λέγει, ἐξ Ὠκεανοῦ δὲ ὁ Ἀχιλλεύς. οὐδὲν οὖν ἄτοπον ἐν διαφόροις προσώποις διαφωνίαν συνίστασθαι.

436. ἀμπνύνθη] ἀνεκτήσατο τὸ πνεῦμα, ἔμφρων ἐγένετο.

437. ἑζόμενος δ' ἐπὶ γοῦνα] κακῶς· οὐδεὶς γὰρ ἐπὶ γονάτων καθέζεται· δύο γὰρ στάσεις, ἡ μὲν κατὰ φύσιν, ἡ δὲ ἐπὶ τῶν γονάτων· φησὶ γοῦν "στῆ δὲ γνὺξ ἐριπών". (Il. 8, 329). ἔστιν οὖν, ἑζόμενος δὲ τὸ αἷμα ἐπὶ τῶν γονάτων ἀπέμεσσεν· ἀνοίκειος δὲ τῷ καιρῷ ἡ ἐνέργεια. πάντα δὲ δυνατῶς πέφρασται, ὡς καὶ ἐπὶ Σαρπηδόνος.

438. αὖτις δ' ἐξοπίσω] ἐναργῶς πάνυ· προσενεχθέντος γὰρ αὐτῷ τοῦ ὕδατος πρὸς ὀλίγον ἑαυτὸν συνέλεξεν, ἐμέσας δὲ τὸ αἷμα πάλιν παρείθη.

439. βέλος] τὸ τραῦμα· "ὥς τις τούτων γε βέλος καὶ οἴκοθι πέσσοι" (Il. 8, 513).

11. * Πορφυρίου] om. 27. ἀπέμεσσεν] ἀπέμασσεν * ἀνοίκειος] οἰκεία

445. Σατνιόεντος] ἐπήγαγε τὴν αἰτίαν τοῦ ὀνόματος, ἐμφῆναι θέλων διὰ τί Σάτνιος ἐκαλεῖτο.

452. ἀγοστῷ] ἔδει ἀγοστοῖς· φησὶ γὰρ ὅτι τὰς χεῖρας ἐξέτεινεν ὡς πολὺ τῆς γῆς περιλαβεῖν. ἀγοστῷ δὲ τῷ ἕως τοῦ ἀγκῶνος περὶ τὴν συναγωγὴν καὶ ἐπίκαμψιν τοῦ ἀγκῶνος.

454. μεγαθύμου Πανθοίδαο] ἀντὶ τοῦ τὸν ἐμόν. ἕκαστον δὲ τῶν ῥημάτων ἐναργὲς καὶ φαντασίαν ἔχον βαρβαρικήν.

456. κόμισε χροΐ] ἐν τῷ ἰδίῳ ἔλαβε σώματι καὶ ἀπηνέγκατο.

457. σκηπτόμενον] σκηριπτόμενον καὶ ἐρειδόμενον. σαρκασμὸς δὲ ὁ τρόπος.

459. Αἴαντι δὲ μάλιστα] ἐπεὶ γὰρ οὗτος μέλλει ἀριστεύειν, πιθανὸν τῇ ἀρετῇ τοῦ ἀνδρὸς συμπρᾶξαι καὶ τὸ βάρβαρον χλεύασμα.

463. λικριφίς] παρὰ τὸ λέχριον, ὃ δηλοῖ τὸ πλάγιον. ἅπαξ δὲ νῦν καὶ ἐν Ὀδυσσείᾳ (19, 451). ὁ δὲ τόνος ὁμοίως τῷ ἀπρίξ. οἱ δέ, λίαν ἐγχρίμπτων καὶ προσπελάζων τῇ γῇ.

464. τῷ γάρ ῥα θεοί] τούτῳ γὰρ ἐπεκλώσθη τὸ εἱμαρμένον.

465. ἐν συνεοχμῷ] τῷ συνέχοντι τὸν τράχηλον πρὸς τῇ κεφαλῇ τόπῳ, τουτέστι τῷ τελευταίῳ σπονδύλῳ. γίνεται δὲ παρὰ τὸ ἔχω, ἐχμός, ἐοχμός, συνεοχμός. νείατον δὲ ἀστράγαλον τὸν συνάπτοντα τὸν τράχηλον τῷ ἰνίῳ, ὃ καλεῖται παρὰ τῶν ἰατρῶν θέσις ἐγκεφάλου. τοὺς δὲ ἐν τοῖς ποσὶν ἀστραγάλους Ἀριστοτέλης φησὶν οὔτε ἄνθρωπον ἔχειν οὔτε ἄλλο τι τῶν μονωνύχων καὶ ἀκεράτων.

467. τοῦ δὲ πολὺ πρότερον] ἐπεὶ τὸ ἡγεμονικὸν περὶ καρδίαν, φησὶν ὅτι τῆς κεφαλῆς πεσούσης ἀκέραιον σὺν τῇ καρδίᾳ ἔμενε τὸ σῶμα. μήποτε δὲ ὑπερβολικῶς τὸ τῆς ἀναιρέσεως τάχος ἐνέφηνεν.

470. οὐκ ἀκαίρως καυχᾶται, ἐκείνου κομπάζειν προαρξαμένου.

473. κασίγνητος Ἀντήνορος] εἰκὸς ἀνοχὰς πρὸ τῆς μήνιδος γεγενῆσθαι δι' ὧν συνῄεσαν ἀλλήλοις, ὡς καὶ ἐν τῇ συλλογῇ τῶν νεκρῶν καὶ ταῖς ταφαῖς Ἕκτορος.

475. ἦ ῥ' εὖ γινώσκων] διὰ τῆς ἐπιφωνήσεως τὸ τῶν λόγων ἦθος παρέστησεν ὁ ποιητής, ὅτι τὸ ὅλον ἐν εἰρωνείᾳ ἐξέφερεν ὡς ἀμφιβάλλοντος ἐκείνου, ὅτι τῶν δευτέραν ἐχόντων τάξιν οὗτός ἐστιν.

19. * τόπῳ] τόπον   21. * ἰνίῳ] ἠνίῳ.

476. ποικίλως πάνυ ἀνέστρεψε τὰ πράγματα, προτάξας μὲν τὴν ἀναίρεσιν, ἐπαγαγὼν δὲ τί πράττων ἀνῃρέθη.

479. ἰόμωροι] ἰοῖς μοῖραν διδόντες, ἢ περὶ αὐτοὺς κακοπαθοῦντες, ἢ ἰοὺς ὀξεῖς ἔχοντες· μόρον γὰρ τὸ ὀξὺ Κύπριοι, ὅθεν καὶ ὑλακόμωροι. ὅρα δὲ οἷόν ἐστι τὸ βάρβαρον ἦθος, ἀκρίτως τοῖς ὀνείδεσι χρώμενον.

ἀπειλάων ἀκόρητοι] μὴ πληροῦντες τὰς ἀπειλὰς, ἀτελείωτα καυχώμενοι.

485. Ἄρεως] τοῦ ἐν πολέμῳ θανάτου. οἱ δὲ περὶ Ζηνόδοτον ἀρῆς, ἵν' ἐπὶ πάσης βλάβης λαμβάνοιτο.

488. Ἀκάμαντος] λείπει ἡ κατά. διὰ δὲ τοῦ ὡρμήθη τὴν ἐρωὴν ἐπέφρασεν.

491. Ἑρμείας] τὰς εὐποτμίας καὶ τὸ εὖ βιοῦν καὶ πλουσίως εἰς τοῦτον ἀνάγουσι. μυθολογοῦσι γὰρ ἄγγελον εἶναι καὶ πομπὸν ψυχῶν. οἱ οὖν πολλὰ κεκτημένοι καὶ ζῶντες πλεῖστα τούτῳ τὴν χάριν ἀναφέρουσι. διὸ καὶ τὸ κοινὸν τῶν θεῶν εἰδικὸν αὐτοῦ ἔχει· διάκτορος γὰρ καὶ δώτωρ ἑάων. καὶ κλέπτης δέ ἐστιν, ἐπεὶ εὐχερές ἐστιν αὐτῷ, ὡς τὸ δοῦναι, καὶ τὸ ἀφελέσθαι. ἐπιμελῶς δὲ ἐκτηνοτρόφουν οἱ παλαιοί.

492. μοῦνον τέκεν Ἰλιονῆα] πιθανῶς εἰς τὸ παθητικὸν αὐτὸν μόνον φησὶ γενέσθαι τῷ πατρὶ, καὶ ὅτι τἄλλα αὐτῷ εὖ ἔχει πράγματα, καὶ τετίμηται ὑφ' Ἑρμοῦ. συνιστὰς δὲ τοὺς ἀναιρουμένους θεραπεύει τοὺς ἀναιροῦντας.

493. θέμεθλα] θέσιν, ῥίζαν, θεμέλια. γλήνην δὲ τὴν κόρην, παρὰ τὸ αἰγλήεσσαν εἶναι.

497. φῆ] τὸ ἔφη ῥῆμά ἐστιν, οὐχ ὡς Ζηνόδοτος ἀντὶ τοῦ ὡς, ἀλλὰ τὸ ἔφη· πέφραδεν ηὔδα ἐκ παραλλήλου ταὐτά. κώδεια δέ ἐστιν ἡ τῆς μήκωνος κεφαλή. εἰκάζει δὲ τὴν ἐπ' ἄκρου τοῦ δόρατος ἐμπεπαρμένην κεφαλὴν τῇ τῷ ἰδίῳ καυλῷ συνημμένῃ κωδείᾳ. λείπει δὲ μετὰ τὸ ἔφη τὸ ὡς.

504. γανύσσεται] μεταφορικῶς· γάνος γὰρ ἡ χαρὰ καὶ τὸ λάμπρυσμα.

508. ἔσπετε νῦν μοι] οὐκ ἀτόπως τῷ προοιμίῳ χρῆται· καινότης γὰρ γέγονε μάχης ἀμειψάντων τῶν ἀριστέων τὰ ὅπλα.

13. * καὶ] om.
16. * εἰδικὸν] ἰδικὸν
17. δώτωρ] δότωρ
33. ἀτόπως] * ἀσκόπως

509. ἀνδράγρια] ἀθετοῦσι διὰ τὸ ξένον τῆς λέξεως καὶ μὴ κείμενον ἀλλαχοῦ. ἤτοι δὲ τὰ σκῦλα τὰ ἀπὸ ἀνδρῶν ἀγρευόμενα, ἢ ἀντ' ἀνδρῶν· ὅταν γὰρ μὴ δυνηθῶσιν ἀνελεῖν, ἀλλ' οὖν τὸν ἀναιρεθέντα σκυλεύουσιν. ἐκ δὲ τοῦ παρακολουθοῦντος τὸ προηγούμενον, ἀντὶ τοῦ τίς πρῶτος τῶν Ἑλλήνων ἀνεῖλέ τινα τῶν πολεμίων; τοῦτο γὰρ ἀποκρίνονται αἱ Μοῦσαι. σημαίνει δὲ σκῦλα ἠγρευμένα παρὰ ἀνδρῶν· ἀγρεῖν γὰρ τὸ λαμβάνειν. δεῖ δὲ νοεῖν ὅτι κατὰ τὸ σιωπώμενον τοὺς προπεσόντας ἐσκύλευσαν.

518. κατ' οὐταμένην] ἐτυμολογικὸς ὁ τρόπος· οὕτως δέ φησιν ἐξιέναι τὴν ψυχὴν διὰ τὸ ἅμα τῷ αἵματι χωρίζεσθαι αὐτήν.

521. ἐπισπέσθαι] ἐπιδιῶξαι, ἐπακολουθῆσαι τῇ τῶν ποδῶν ὁρμῇ. παροξύνεται δὲ τὸ ἐπισπέσθαι. καὶ τὸ ὅμοιος προπαροξύνεται· τὸ γὰρ ὁμοῖος μεταγενεστέρων Ἀττικῶν ἐστὶν ἐφεύρημα.

ΕΙΣ ΤΗΝ Ο.

1. αὐτὰρ ἐπεί] ἡ ἀναφορὰ πρὸς τὸ "πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον" (Il. 14, 507)· ἐνθάδε γὰρ τὸ πέρας τῆς διώξεως προσέθηκεν.

διά τε σκόλοπας] ἀντὶ τοῦ διὰ σκολόπων καὶ τάφρου, ὡς τὸ "διά τ' ἔντεα καὶ μέλαν αἷμα" (Il. 10, 298). ἢ τὸ ἑξῆς, διέβησαν. ἡ δὲ διακοπὴ τῆς λέξεως τὸ ταλαίπωρον καὶ δυσδιόδευτον ἐμφαίνει· οὐ γὰρ ἔφυγον "τῇ περ Ἀχαιοὶ ἐκ πεδίου νίσσοντο" (Il. 12, 118), ἀλλὰ διὰ τῆς τάφρου.

2. πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσίν] τοῦτο διὰ μέσου· ἄλλοι γὰρ ἔδαμεν, ἄλλοι δὲ ἔφυγον.

3. οἱ μὲν δή] οἱ ἔξω καταλειφθέντες· οὐδεὶς γὰρ σὺν ἵπποις εἰσῆλθεν ἢ Ἄσιος Ὑρτακίδης. ἢ τοὺς ἡνιόχους φησίν· εἶπε γὰρ "ἵππους μὲν θεράποντες ἐρυκόντων" (Il. 12, 76). ἢ αὐτοὺς τοὺς ἐκφυγόντας, θέλοντας ἑαυτούς τε τῆς φυγῆς ἀναλαβεῖν καὶ περισῶσαι τὰ ἅρματα· διὸ καὶ ἐρητύοντο εἶπεν. ἡ γὰρ χρεία αὐτὴ καὶ οὐδεὶς ἄλλος κατεῖχεν αὐτούς. οὐ γὰρ ἀλλήλους ἐκδεχόμενοι· οὐ γὰρ τοῦτο τοῦ τῶν βαρβάρων ἔθους· φαίνονται γὰρ ἀεὶ τῆς ἰδίας σωτηρίας φροντίζοντες.

3. * ἀλλ' οὖν] ἄλλον 16. * αἰπὺν ὄλεθρον] om.
31. ἔθους scripsi pro ἤθους.

4. δείους] εἴωθεν Ἰωνικῶς αὐτὰ συναιρεῖν· "τοίου μιν θάρσευς πλῆσεν" (Il. 17, 573) "ἐξ Ἐρέβευς ἄξοντα κύνα" (Il. 8, 368). ἀλλὰ νῦν ἡ κακοφωνία κράσει ἐποίησεν αὐτὸν χρῆσθαι.

6. ἀναΐξας] ἀνορμήσας τῆς κατακλίσεως, συναισθόμενος τῆς ἀπάτης καὶ ἑαυτοῦ κατεγνωκὼς ὅτι ὕπνωσεν.

ἴδε δὲ Τρῶας καὶ Ἀχαιούς] θαυμασίως ἐν τάχει πάντα παρέλαβε, τῶν μὲν τὴν φυγὴν, τῶν δὲ τὴν ἀριστείαν, τοῦ Ποσειδῶνος τὴν βοήθειαν, τοῦ Ἕκτορος τὴν πάθην, ἵνα ἐκ πολλῶν φαίνηται κεκινημένος ἐπὶ τὴν ὀργὴν ὁ Ζεύς. περὶ δὲ τοῦ Ἕκτορος καὶ ἀναγκαίως ἐπεξεργάζεται, ἵνα μὴ μόνον διὰ τὴν ἀπάτην χαλεπήνῃ, ἀλλὰ καὶ διὰ τὸν Ἕκτορα, ὃς δι' αὐτὸν τοιάδε ἔπαθε· φησὶ γὰρ πρὸς Πολυδάμαντα "ὃς κέλεαι Ζηνὸς μὲν ἐριγδούποιο λαθέσθαι" (Il. 12, 235) ὡς αὐτῷ πεπιστευκὼς καὶ μαχόμενος.

7. ὀρινομένους] μετὰ λύπης ταρασσομένους· ἔφυγον γὰρ μετὰ ἀπελπισμοῦ. κλονέοντας δὲ ἀπὸ τοῦ κλονῶ· τοῦτο δὲ παρὰ τὸ κατακλᾶν ἢ τὴν κλίσιν.

8. μετὰ δέ σφι] ὡς "ἔκδηλος μετὰ πᾶσιν" (Il. 5, 2) ἀντὶ τοῦ ἐν πᾶσιν. δηλοῖ δὲ καὶ τὴν ἐπί, ὡς τὸ "μεταΐξας θάνατον τεῦχε" (Od. 21, 11), καὶ τὴν πρός, ὡς τὸ "ἐξ ἁλὸς ἦλθε μετ' αὐτούς" (Il. 20, 14).

9. κείμενον] ἀντὶ τοῦ πεπτωκότα, ὡς τὸ "ὁ δ' ἐπ' ἐννέα κεῖτο πέλεθρα" (Od. 11, 577). δηλοῖ δὲ καὶ τὸ τεθάφθαι ("ἔνθα μὲν Αἴας κεῖται" Od. 3, 109), καὶ τὸ κυρίως ("κεῖται Πάτροκλος" Il. 18, 20), καὶ τὸ νεκρὸν ἐρρίφθαι ("κεῖται πὰρ νήεσσι νέκυς" Il. 22, 386), καὶ τὸ διάγειν, ὡς τὸ "κεῖτο παρὰ μνηστῇ ἀλόχῳ" (Il. 9, 556), καὶ τὸ ἔστιν, ὡς τὸ "θεῶν ἐν γούνασι κεῖται" (Il. 17, 514).

10. εἴαθ'] ὁ μὲν Ἀρίσταρχος ψιλοῖ, ἀπὸ τοῦ εἰμὶ ἐκδεχόμενος ἀντὶ τοῦ ὑπῆρχον ("ἔνθ' ἄρα οἱ μύλαι εἴατο" Od. 20, 106)· ὁ δὲ Ἡρωδιανὸς δασύνει ἀπὸ τοῦ ἕω τοῦ καθέζομαι, ἵνα δηλοῖ τὸ περιεκύκλουν καὶ παρεκάθηντο.

ἀργαλέῳ ἔχετ' ἄσθματι] συνείχετο, φησὶν, οὐκ εὐπόρῳ, ἀλλὰ ἀσταθμήτῳ καὶ ἀσθενεῖ καὶ οὐκ εὐθεῖ πνεύματι.

κῆρ ἀπινύσσων] ἀπίνυτος ὢν τὴν ψυχὴν, ἀντὶ τοῦ παραφρονῶν καὶ

1. θάρσευς] θράσους
3. * κράσει] φράσει
9. * ἐπεξεργάζεται] ἐπεργάζεται
22. * τεθάφθαι] τέθαπται

ἀναισθητῶν· πινυτὸν γὰρ τὸ αἰσθητόν. τινὲς δὲ κῆρα· οὐδαμοῦ δὲ τὸ πινύσσειν ἐπὶ τοῦ προσδοκᾶν ἔταξεν Ὅμηρος. πῶς δὲ δύναται προσδοκᾶν ὁ ἐσκοτωμένος καὶ ψυχορραγῶν ὑπὸ τῆς πληγῆς;

13. δεινὰ δ' ὑπόδρα ἰδών] πῶς ὁ κεστὸς αὐτὸν οὐκ ἐπράϋνεν; ἐρώτων μόνον ἐστὶ κινητικός, οὐκ ἄλλων. ἄλλως τε ἡ περὶ αὐτὸν ἀπάτη ὑπεροχῆς ἦν ἐλάττωσις, καὶ μετὰ τοσαύτας ἀπειλάς. εἰκότως δὲ χαλεπαίνει, ψευδὴς πρὸς Θέτιν ἀποδειχθεὶς καὶ Ἕκτορα.

14. κακότεχνος] ὁ ἐπὶ κακῷ τεχνηθείς· ἔστι γὰρ καὶ χρηστὸς δόλος. τὸ δὲ ἑξῆς μάλα ἀμήχανε, ἦ δὴ κακότεχνος σὸς δόλος. ἀμήχανε δέ, πρὸς ἣν οὐκ ἔστι μηχανήσασθαι· "ἀμήχανός ἐσσι γεραιέ" (Il. 10, 167). δηλοῖ δὲ καὶ τὸ ἄπορον· "ἀμήχανα ἔργα γένοντο" (Il. 8, 130). πολλάκις δὲ ἁμαρτάνοντες ἐπὶ τοὺς πλησίον ἄγομεν τὰς αἰτίας.

16. κακορραφίης] κακομηχανίας· ἑξῆς γοῦν φησὶν "κακὰ μητιόωσα" (27). ἢ κακοσυνθεσίας καὶ κακοβουλίας.

17. πρώτη] ἀντὶ τοῦ προτέρα, τοῦ Ποσειδῶνος δηλονότι (ἄμφω γὰρ συμμαχοῦσι τοῖς Ἕλλησιν) ἢ τῶν Ἑλλήνων. πρὶν τούτους φησὶν ἀπολαῦσαι καὶ ἐπαύρασθαι τῆς σῆς δολιότητος. προπαροξυντέον δὲ τὸ ἐπαύρηαι· ἔστι γὰρ μέσος δεύτερος ἀόριστος.

πληγῇσιν ἱμάσσω] κυρίως ἱμάντι πλήξω, τροπικῶς δὲ νῦν κεραυνώσω· μάστιγα γὰρ Διὸς τὸν κεραυνόν φησι· "Διὸς μάστιγι δαμέντες" (Il. 12, 37), δηλονότι τῷ φόβῳ τῆς χθιζῆς κεραυνοβολίας.

21. ταῦτα ὁ Ὕπνος παρέλιπε, πόνον καὶ λύπην τῇ Ἥρᾳ φέροντα· ἃ δὲ εἶπεν ἐκεῖνος, νῦν ὁ Ζεὺς παρέλιπεν· οὐ γὰρ κατὰ ἀπόντος ἔδει θρασύνεσθαι. τὸ δὲ ἐκρέμω ἀπὸ τοῦ ἐκρέμασο ἐκρέμαο ἐκρέμω.

* καὶ ἔμπροσθεν περὶ τούτων εἴρηται ἱκανῶς, ἀκριβῶς δὲ νῦν. διὰ γὰρ τούτων ὁ ποιητὴς τὴν κοσμικὴν αἰνίττεται φύσιν, Δία μὲν καὶ Ζῆνα τὸν ἀνωτάτω ὑποτιθέμενος ἀέρα διάπυρον, Ἥραν δὲ τὸν δεύτερον· καὶ ταύτην φησὶν ὑπὸ Ὠκεανοῦ τεθράφθαι, ἐπειδὴ ἐκ τῆς τῶν ὑγρῶν ἀναθυμιάσεως γίνεται ὁ ἀήρ. ἄκμονας δὲ γῆν καὶ θάλασσαν λέγει. χρυσοῦν δὲ δεσμὸν τὸ αἰθέριον πῦρ, ὅτι ἐν τῷ ἀνωτάτω μέρει συνῆπται αὐτῷ ὁ ἀήρ. καὶ ῥιπτόμενον τὸν Ἥφαιστον εἰς θάλασσαν, παρόσον μεταβάλλει εἰς ἄλληλα τὰ στοιχεῖα, πῦρ μὲν εἰς

1. αἰσθητόν] * αἰσθητικόν
2. * πινύσσειν] πινύσειν
27. * Δία μὲν καὶ—ὑποτιθέμενος] διὰ τούτων καὶ—ὑποτίθεται
29. * τεθράφθαι] τετράφθαι

ἀέρα, ἀέρα δὲ εἰς ὕδωρ. χαλκεύοντα δὲ ἐν Ὠκεανῷ, ὅτι τὰ στερρὰ τῆς δι' ὕδατος καὶ πυρὸς ἐργασίας τυγχάνει. καὶ Ἡσίοδος Οὐρανὸν μὲν λέγει τὴν ἐκπύρωσιν, Κρόνον δὲ τὸν ἄνωθεν κρουνηδὸν ἐπιφερόμενον ὄμβρον, Ῥέαν δὲ τὴν ἐπιφερομένην ὕδασι γῆν, ἐκτομὴν δὲ Οὐρανοῦ τὴν τοῦ πυρώδους ἐξ ὑγρῶν σβέσιν, λίθον δὲ καταπινόμενον ὑπὸ Κρόνου, ἐπειδήπερ ἡ μεταβολὴ τῶν ὑγρῶν εἰς στερρότητα πήγνυται· κρύπτεσθαι δὲ τὸν Δία διὰ τὸ τὸ ζῆν ἐπικρατεῖν τῷ τῷ χειμῶνι τοὺς καρποὺς ἀφανίζεσθαι πλεοναζόντων τῶν ὑγρῶν.

*Ἡρακλείτου. ἡ τῶν ἐπιφυομένων τῷ Ὁμήρῳ τόλμα τοὺς τῆς Ἥρας δεσμοὺς αἰτιᾶται, καὶ νομίζουσιν ὕλην τινὰ δαψιλῆ τῆς ἀθέου πρὸς Ὅμηρον ἔχειν μανίας "ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖϊν ἄκμονας—ἐκρέμω." λέληθε δ' αὐτοὺς ὅτι τούτοις τοῖς ἔπεσιν ἡ τοῦ παντὸς ἐκτεθεολόγηται γένεσις, καὶ τὰ συνεχῶς ᾀδόμενα τέσσαρα στοιχεῖα τούτων τῶν στίχων ἐστὶ τάξις, καθάπερ ἤδη μοι λέλεκται, πρῶτος αἰθὴρ, καὶ μετὰ τοῦτον ἀὴρ, εἶθ' ὕδωρ τε καὶ γῆ τελευταία, τὰ πάντων δημιουργὰ στοιχεῖα. ταῦτα δ' ἀλλήλοις ἐπικιρνώμενα ζωογόνα τε καὶ τῶν ἀψύχων ἀρχίγονα καθίσταται. Ζεὺς τοίνυν ὁ πρῶτος τὸν ἑαυτοῦ ἀέρα κατέστησε, στερεοὶ δ' ἄκμονες ὑπὸ ταῖς ἐσχάταις αὐτοῦ τοῦ ἀέρος βάσεσιν ὕδωρ τε καὶ γῆ. καὶ τοῦτο ὅτι τοιοῦτόν ἐστιν, ἐφ' ἑκάστης λέξεως, εἴ τις ἀληθῶς ἐθέλοι σκοπεῖν τἀληθὲς, εὑρήσει. "ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν·" ἀπὸ γὰρ τῶν ἀνωτάτω καὶ μετεώρων τόπων φασὶν αὐτὴν ἀπηρτῆσθαι. "περὶ χερσὶ δὲ δεσμὸν ἴηλα χρύσεον, ἄρρηκτον." τί τοῦτο τὸ καινὸν αἴνιγμα τῆς κολακευούσης τιμωρίας; πῶς ὀργιζόμενος ὁ Ζεὺς πολυτελεῖ δεσμῷ τὴν κολαζομένην ἠμύνατο, χρυσοῦν ἀντὶ κραταιοτέρου σιδήρου τὸν δεσμὸν ἐπινοήσας; ἀλλ' ἔοικε τὸ μεταίχμιον αἰθέρος τε καὶ ἀέρος χρυσῷ μάλιστα τὴν χρόαν ἐμφερὲς εἶναι. πάνυ δὲ πιθανῶς, καθ' ὃ μέρος ἀλλήλοις ἐπισυνάπτουσι. λήγων μὲν γὰρ ὁ αἰθὴρ, ἀρχόμενος δὲ μετ' ἐκεῖνον ὁ ἀὴρ, χρυσοῖν ὑπεστήσαντο δεσμόν. ἐπιφέρει γοῦν "σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν ἐκρέμω," τὸν ἄχρι νεφῶν

2. * τῆς] τὰ
4. ἐπιφερομένην] * ἐπιρρεομένην
* γῆν] om.
9. Ἡρακλείτου] Cap. 40, 41 p. 83.
14. στίχων] στοιχείων Heynius.
17. ζωογόνα τε—ἀρχίγονα] ζωογονεῖται—ἀρχέγονα Heraclitus
18. κατέστησε] κατήρτηκε Heraclitus.
20. ἀληθῶς] ἀκριβῶς Heraclitus
22. φασὶν] φησὶν Heraclitus
23. χερσὶ δὲ Heraclitus] δὲ χερσὶ
29. ὑπεστήσαντο] ὑπεστήσαν (ν a m. rec. addito).

τόπον ὁρίσας μέτρον ἀέρος. ἐκ δὲ τῶν τελευταίων μερῶν τοῦ ἀέρος, ἃ καλεῖ πόδας, ἀπήρτησε στιβαρὰ βρίθη, γῆν τε καὶ ὕδωρ. "ἐκ δὲ ποδοῖϊν ἄκμονας ἧκα δύω." πῶς ἂν εἶπε δεσμὸν ἄρρηκτον, αὐτίκα τῆς Ἥρας λυθείσης, εἴγε τῷ μύθῳ προσεκτέον; ἀλλ' ἐπειδήπερ ἡ τῶν ὅλων ἁρμονία δεσμοῖς ἀρραγέσι συνωχύρωται καὶ δυσχερὴς ἡ τοῦ παντὸς εἰς τἀναντία μεταβολή, τὸ μὴ δυνηθὲν ἂν διαζευχθῆναί ποτε κυρίως ὠνόμασεν ἄρρηκτον. ταύτην δὲ τὴν τετράδα τῶν στοιχείων καὶ μετὰ μικρὸν ἐν τοῖς ὅρκοις διεσάφησεν Ἥρα· "ἴστω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ" (36)· τρισὶ γὰρ ὅρκοις τὴν ὁμόφυλον αὐτῇ καὶ συγγενῆ φύσιν ὠνόμασεν, ὕδωρ τε καὶ γῆν καὶ τὸν ὕπερθεν οὐρανόν, τουτέστι τὸν αἰθέρα· τέταρτον γὰρ στοιχεῖον ἦν ἡ ὀμνύουσα. διαπορῶν γέ τοι καὶ ἐπὶ πολλοῖς ἀλληγορικῶς παριστάναι βουλόμενος ταυτὶ τὰ στοιχεῖα, καὶ μετ' ὀλίγον ἐν τοῖς Ποσειδῶνος πρὸς Ἶριν λόγοις αὐτὰ τάδ' ὑφίσταται, λέγων "ἤτοι ἐγὼν ἔλαχον ναιέμεν αἰεὶ πολιὴν ἅλα, παλλομένην, Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα, Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν· γαῖα δέ τοι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος" (190). οὐ μὰ Δί', οὐ κλῆρος ὁ μυθευόμενος ἐν Σικυῶνι ταῦτα, καὶ διαίρεσις ἀδελφῶν οὕτως ἀνώμαλος ὡς οὐρανὸν ἀντιτιθέναι θαλάσσῃ καὶ Ταρτάρῳ. πᾶς γὰρ ὁ μῦθος ἠλληγόρηται περὶ τῶν τεσσάρων στοιχείων, πατὴρ δὲ τῶν ὅλων ὁ χρόνος, καὶ τελείως ἀμήχανον γενέσθαι τι τῶν ὄντων δίχα χρόνου· διὸ ῥίζα τῶν στοιχείων οὗτός ἐστιν. μητέρα δ' αὐτοῖς ἔνειμεν εἶναι Ῥέαν, ἐπειδὴ ῥύσει τινὶ καὶ ἀενάῳ κινήσει τὸ πᾶν οἰκονομεῖται. χρόνου δὲ καὶ ῥύσεως τέκνα γῆν τε καὶ ὕδωρ αἰθέρα τε καὶ ἀέρα σὺν αὐτῷ ὑπεστήσατο. καὶ τῇ μὲν πυρώδει φύσει τόπον ἔνειμεν οὐρανόν, τὴν δ' ὑγρὰν οὐσίαν Ποσειδῶνι προσέθηκε· τρίτον δὲ Ἅιδην, τὸν ἀφώτιστον ἀέρα δηλοῖ· κοινὸν δ' ἁπάντων καὶ ἑδραιότατον στοιχεῖον ἀπεφήνατο εἶναι τὴν γῆν, ὥσπερ ἑστίαν τινὰ τῆς τῶν ὅλων δημιουργίας· "γαῖα δέ τι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος." διὰ τοῦτο δέ μοι δοκεῖ συνεχῶς ἀλληγορεῖν ὑπὲρ αὐτῶν, ἵνα ἡ δοκοῦσα τοῖς ἔπεσιν ἐφεδρεύειν ἀσάφεια σαφὴς τῷ διηνεκεῖ τῆς παραδόσεως ᾖ.

2. ἀπήρτησε Heraclitus] ἀπήρτισε

11. ὠνόμασεν] ὤμοσεν Mehlerus

12. διαπορῶν] διευπορῶν Heraclitus

19. ὡς—ἀντιτιθέναι] ὥστ'—ἀντιθεῖναι

27. δηλοῖ] δῆλ

31. ἐφεδρεύειν] ὑφεδρεύειν Heracliti codex Vat. 305.

ἠλάστεον] ἄλαστα ταῦτα εἶναι ἔφασκον, ἢ ἐταράσσοντο, παρὰ τὴν ἄλην.

μακρὸν, καθὸ καὶ ὄρος καλεῖται. τὸν δὲ οὐρανὸν εὐρὺν καλεῖ.

22. ἢ ἀπὸ τοῦ παρίστασθαι καὶ ἀλαστεῖν οὐκ ἐδύναντο λῦσαι· ἢ ὃν λάβοιμι παριστάμενον, ἔρριπτον ἐξ οὐρανοῦ. βηλοῦ δὲ τοῦ βαθμοῦ, παρὰ τὸν βήσω μέλλοντα. οὐδὲν δὲ παράδοξον καὶ ἐν οὐρανῷ βηλὸν ὀνομάζειν, ὅπου γε καὶ πύλας εἶναι λέγουσιν.

24. ὀλιγηπελέων] ὀλίγον ἔχων τὸ πέλειν.

τινὲς θυμός, ἀντὶ τοῦ ὀργή· ἄμεινον δὲ θυμόν γράφειν, ἵνα δηλοῖ τὸ ἔνδον θερμὸν ἤτοι τὴν ψυχήν.

25. ἀζηχής] σκληρὰ, ἀπὸ τῆς ἄζης, ἥ ἐστι ξηρασία ἐναντία τοῖς θάλλουσι φυτοῖς. λέγει δὲ ἴσως τὴν διὰ τὴν ἀπάτην ὀργήν.

26. ξὺν Βορέῃ] ἄδηλον πότερον Ἥρα καὶ Βορέας ἀνέπεισαν τὰς θυέλλας, ἢ Ἥρα ἅμα Βορρᾷ καὶ τὰς θυέλλας ἔπεισεν. ἄμεινον δὲ τὸ δεύτερον.

27. ἀτρύγετον τρύγα μὴ ἔχοντα, ἤτοι ἄβυσσον, ἢ ἄκαρπον, παρὰ τὴν τρύγην, ὡς Εὐριπίδης (Phoen. 210), ἀκάρπιστα πεδία λέγων τὴν θάλασσαν.

31. οὐκ εἶπεν ἀπατώμενος αὐτὸς παύσεσθαι, ἀλλὰ παύσειν ἐκείνην, τὴν ἑαυτοῦ ἁμαρτίαν αὐτῇ προσάπτων.

36. τόδε] τοῦτο περὶ οὗ καὶ ὁ ὅρκος ἐτέτακτο. κατὰ τῶν προγόνων δὲ ἢ τῶν ὁμοιογενῶν ὄμνυσι στοιχείων· τὸ γὰρ οὐράνιον πῦρ αἰθέρα καλεῖ ὁ ποιητής. διὰ τριῶν δὲ ἦν ἔθος ὀμνύναι, ὡς Δράκων ἔταξε, Δία Ποσειδῶνα Ἀθηνᾶν· οἱ δὲ Δία Ποσειδῶνα Δήμητρα, ὡς Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτους (p. 747). καὶ ὁ ποιητὴς "Ζεῦ πάτερ Ἀθηναίη καὶ Ἄπολλον" (Il. 2, 371) καὶ "Ζεὺς ξενίη τε τράπεζα ἱστίη τ' Ὀδυσῆος" (Od. 14, 158).

38. δεινότατος] σεβάσμιος, ὡς "δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον" (Il. 18, 394).

40. κουρίδιον] συμπαθῶς δελεάζουσα τῆς ἐκ παίδων μίξεως ὑπέμνησεν. εἰς ὁμόνοιαν δὲ ἄνδρας καὶ γυναῖκας καλῶν ὁ ποιητὴς σεμνύνει τὴν κοινωνίαν, ὅρκον αὐτὸν μέγιστον ποιῶν. ὁ μὲν οὖν Ζεὺς φιλότητα καὶ εὐνὴν εἶπεν (32), ἡ δὲ σεμνοτέραις προσηγορίαις χρῆται, μὴ θέλουσα ἐκφαυλίζειν τὴν κοινωνίαν.

19. * παύσεσθαι] παύσασθαι
25. * κατὰ] ἐπὶ
24. Δήμητρα] δήμητραν
27. ἱστίη] ἑστίη a m. sec.

44. τειρομένους] ἔλεον ὑπὲρ Ἑλλήνων κινεῖ καὶ ὑπεραπολογεῖται Ποσειδῶνος.

45. παραμυθησαίμην] παραινέσαιμι· συνωνυμεῖ γὰρ μῦθος καὶ αἶνος. τοσοῦτον, φησὶν, ἀπέχω τοῦ ἐναντιοῦσθαί σοι ὥστε κἀκείνῳ παραινεῖν.

46. τῇ ἴμεν] ταύτῃ πορεύεσθαι ᾗ ἂν κελεύῃς σὺ, καὶ ἐν παντί σοι ἡγεμόνι χρῆσθαι.

47. μείδησεν] ἢ διὰ τὸ καὶ ὑπὲρ Ποσειδῶνος ἀπολογήσασθαι, ἢ μᾶλλον διὰ τὸ λέχος· ἐνήργει δὲ ἄρα ὁ κεστός.

49. δὴ σύ γ' ἔπειτα] ἐκ παραλλήλου τὸ ἔπειτα ἀντὶ τοῦ δή, ὡς τὸ "δὴ τότ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο" (Od. 5, 391).

50. ἶσον ἐμοὶ φρονέουσα] ἀντὶ τοῦ ὁμονοοῦσα καὶ ταὐτὸ βουλομένη.

51. τὸ τῷ νῦν ἀντὶ τοῦ ὁμοίως.

52. μετὰ σὸν καὶ ἐμὸν κῆρ] ὑπαλλακτικῶς εἶπεν, ἀντὶ τοῦ ἐπὶ τὰ ὑπὸ σοῦ καὶ ἐμοῦ πραττόμενα καὶ νοούμενα.

56. ἀθετοῦνται ὡς περιττοὶ εἴκοσι καὶ δύο στίχοι, ὅτι οὐκ ἀρεστοὶ Ἥρᾳ, καὶ ὅτι οὐκ ἐμπίπτουσι ταῖς ναυσὶν Ἀχιλλέως. καὶ εἰ ἔκρινεν ἀπολέσθαι Σαρπηδόνα, τί ἐκεῖ (Il. 16, 433) οἰκτίζεται; καὶ ἡ παλίωξις οὐκ ὀρθῶς· ἀφ' οὗ γὰρ Ἀχιλλεὺς ἐξῆλθεν, οὐκ ἐτράπησαν Ἀχαιοί. καὶ τὸ "Ἀθηναίης διὰ βουλάς." διὰ τί γὰρ μὴ Ἥρας, καίτοι παρούσης; ῥητέον οὖν ὅτι τὸ σχῆμά ἐστι προανακεφαλαίωσις, ὡς Ὀδυσσεὺς (Od. 16, 258) προαναφωνεῖ Τηλεμάχῳ τὴν μνηστηροκτονίαν, ἀλλ' οὐδὲν ἧσσον καὶ διὰ τῶν πρακτικῶν αὐτίκα διηγεῖται. εἰσὶ δὲ τῇ Ἥρᾳ εἰ καὶ μὴ νῦν τερπνὰ, ἀλλ' οὖν γε χαρᾶς περιποιητικὰ τὰ λεγόμενα. πεσεῖν δὲ εἰς τὰς ναῦς ἀντὶ τοῦ δεηθῆναι Ἀχιλλέως, ὥς φαμεν "ἐνέπεσεν εἰς τὰς χεῖράς σου." οἰκτίζεται δὲ Σαρπηδόνα, κρίνων μὴ ἐν Ἰλίῳ ἀπολεῖσθαι. πόθεν δὲ δῆλον, εἰ μετὰ θάνατον Ἀχιλλέως γεγόνασι τροπαί; τό τε Ἀθηναίης, ἐπεὶ σὺν Ἐπειῷ τὸν ἵππον ἐποίησε. πρὸς δὲ τούτοις παραμυθεῖται τὸν ἀκροατὴν, τὴν ἅλωσιν Τροίας σκιαγραφῶν αὐτῷ· τίς γὰρ ἂν ἠνέσχετο ἐμπιπραμένων τῶν Ἑλληνικῶν νεῶν καὶ Αἴαντος φεύγοντος, εἰ μὴ ἀπέκειτο ταῖς ψυχαῖς τῶν ἐντυγχανόντων ὅτι οἱ ταῦτα πράξαντες κρατηθήσονταί ποτε;

69. οὐ πρὸ τοῦ Ἀχιλλέα ἐξελθεῖν, ἢ καὶ μετὰ τὸ ἐξελθεῖν, ἀλλὰ

24. *ἧσσον] ἶσοι

μετὰ τὸ τελευτῆσαι Ἕκτορα· ἐξελθόντος γὰρ Ἀχιλλέως οὐκ ἦν παλίωξις.

* παλίωξις δέ ἐστιν ἡ ἐξ ὑποστροφῆς τῶν φευγόντων δίωξις, ὅταν οἱ πρότερον φεύγοντες ὕστερον πάλιν αὐτοὶ διώκωσι θαρρήσαντες.

70. αἰὲν ἐγὼ τεύχοιμι διαμπερές] τουτέστιν εἰς τὸ αὐτὸ αὐτὴν ἐάσω, καὶ ἄλλην οὐ ποιήσω παλίωξιν.

Ἴλιον] ἀεὶ θηλυκῶς λέγει ὁ ποιητής· νῦν οὖν οὐκ ἀπὸ μόνης τῆς πόλεως, ἀλλ' ὅλου τοῦ τόπου καλεῖ. τινὲς δὲ Ἴλιον ἐκπέρσωσι γράφουσιν.

72. παύσω] ἄνευ τοῦ σ οἱ περὶ Ἡρωδιανόν. διὰ τί δὲ χολᾷ τοῖς Ἕλλησιν οὕτως; προσποιεῖται τελειῶσαι τὴν ἱκετείαν Θέτιδος, καὶ ἵνα μὴ πάλιν αὐτὸν ἡ Ἥρα ἱκετεύσῃ, ἀπεφήνατο οὕτως.

73. ἐνθάδ'] ἔδει εἰπεῖν ἐν τῇ μάχῃ· ἄκυρον γὰρ τὸ ἐνθάδε. πρὸς σύγκρισιν οὖν Ὀλύμπου τὸ ἐνθάδε· πλησιαιτέρα γὰρ Ὀλύμπου ἡ Ἴδη ὡς πρὸς Ἴλιον.

80. * ὥσπερ νοῦς ἀνδρὸς πολλὴν ἐπεληλυθὼς γῆν καὶ πολλὰ ἱστορηκὼς ἐν ὑπομνήσει ποιεῖται τὰ ἱστορήματα καὶ ταχέως ἄλλοτε ἐπ' ἄλλο μεταβαίνει, οὕτω καὶ ἡ Ἥρα τότε ἐκ τῆς Ἴδης ὀξέως παρεγένετο εἰς τὸν Ὄλυμπον.

ἐν ἄλλοις ἁπλούστερον καὶ συντομώτερον εἶπε τὸ νόημα· ἐνταῦθα δὲ καὶ ἐπεξειργάσατο τὸ τάχος, καὶ οὐ παντὶ νῷ προσάπτει τὸν λόγον, ἀλλ' ἀπλανήτου καὶ συνετοῦ ἀνδρός.

82. *τὸ δὲ ἔνθ' εἴη ἢ ἔνθα σὺν τῷ ν οἱ Ἀριστάρχειοι γράφουσι, καὶ σημαίνει τὸ ὑπῆρχον, ὡς αὐτοῦ τοῦ ἀνδρὸς ἐπιλογιζομένου ποῖ πορευοίμην. ὁ δὲ λόγος οὕτως, εἰς ἐκείνην τὴν χώραν ἢ ἐκείνην πορευθείην ἢ πορευοίμην.

μενοινήσειε (δηλονότι ὁ ἀνήρ) πολλὰ μέρη τῆς γῆς, καὶ νοήσει ἐν οἷς ἔσται καὶ πορεύσεται.

86. δέπασσιν] οἱ περὶ Ζηνόδοτον ἀγνοήσαντες ἐπέεσσι γράφουσιν· ἐλέγχονται δὲ φανερῶς ὑπὸ τοῦ "Θέμιστι δὲ δέκτο δέπας."

87. ἡ δ' ἄλλους μὲν] οὐχὶ τοὺς ἄλλους ἠτίμασε καὶ ταύτην προὔκρινεν, ἀλλ' ἔφθασε, φησὶ, τοὺς λοιπούς· διὸ παρ' αὐτῆς λαμβάνει αὐτό.

88. γράφουσι μέν τινες θέουσα, ἄμεινον δὲ τὸ φέρουσα·

8. Ante τινές Leid. addit ἀθετεῖται ὁ στίχος οὗτος.

19. Ὄλυμπον] Sequitur in B τὸ δὲ ἔνθ'—πορευοίμην

23. * οἱ] om.

32. φησὶ] φᾱ

ἀκατάστατον γὰρ τὸ θέουσα, καὶ μάλιστα ἐπὶ Θέμιδος. ὑποφαίνει δὲ τὴν τάξιν ἀεὶ τηρεῖν.

91. ἐφόβησε] οὐ κατὰ προαίρεσιν ἐληλυθέναι ἐποίησεν, ἀλλ' ὅμοιόν τι φυγῇ παθεῖν.

94. ὑπερφίαλος] ὅτι τῶν μέσων ἐστὶν ἡ λέξις, καὶ νῦν μὲν ἐπὶ ψόγου κεῖται, ἀντὶ τοῦ οὐκ ἔνσπονδος, ἐν ἄλλοις δὲ ἐπὶ ἐγκωμίου· "ὑπερφιάλοισι μεθ' ἡμῖν δαίνυσαι" (Od. 21, 289). ἀπηνής δὲ ὁ ἄποθεν τοῦ αἰνεῖσθαι, ἢ τοῦ νεύειν ἐς ἅ τις βούλεται, ἢ τῶν ἡνίων τῆς χρηστότητος.

95. ἄρχε θεοῖσι] παρὰ γὰρ ἀνθρώποις πολλὰ διὰ μέθην ἄτοπα γίνεται. διδάσκει δὲ ὅτι δεῖ τὸ δίκαιον ἐν τοῖς πότοις γίνεσθαι καὶ σώζεσθαι.

96. μετὰ πᾶσιν ἀθανάτοισιν] ἀντὶ τοῦ ἃ ἐπὶ πάντων ἀθανάτων πιφαύσκεται, οἷον ἐνδείκνυται καὶ οὐ κρυφίως ποιεῖ. ὑπερβολικῶς δέ φησιν, ὡς ἤδη πεπραχότος ταῦτα τοῦ Διός.

98. κεχαρησέμεν] χαροποιήσειν.

99. οὔτε θεοῖς] πρὸς τὸν Ἄρην ταῦτα δι' Ἀσκάλαφον.

εἴπερ τις] ἠθικῶς· εἴγε, φησίν, ὅλως ὀφείλετε ὑμεῖς εὐωχεῖσθαι τὴν ψυχὴν εὐφραινόμενοι. δολερὸν δὲ καὶ γυναικεῖον ἐνέφηνεν ἦθος· ἀδικήσασα γὰρ Δία ἐπ' αὐτοῦ μὲν ἀπολογεῖται, νῦν δὲ ἠδικῆσθαί φησι καὶ τὸν Δία ὑπερφίαλον καλεῖ καὶ ἐπανίστησιν αὐτῷ τοὺς θεούς.

101. ὄχθησαν] ἐμετεωρίσθησαν, ἢ ἐβαρύνθησαν, ἢ ἠχθέσθησαν, παρὰ τὸ ἄχθος.

οὗτός ἐστιν ὁ Σαρδόνιος γέλως, ὁ μετὰ δηγμοῦ τῆς καρδίας γινόμενος.

103. ἰάνθη] διεχύθη, ἐκινήθη· ἰαίνεται δὲ δηλονότι χαῖρον. ἰαίνειν δὲ κυρίως τὸ θερμαίνειν.

μεμψαμένη ἐπὶ τῷ μὴ δέξασθαι τοὺς λόγους αὐτῆς· ἢ τῷ Διὶ μεμφομένη ἐν πᾶσιν ηὔδα.

105, 106. τὸ πρῶτον η̄ περισπαστέον· ἔστι γὰρ διαπορητικόν· τοὺς δὲ ἑξῆς βαρυντέον· εἰσὶ γὰρ διαζευκτικοὶ ἢ παραδιαζευκτικοί.

106. * ἀφήμενος] ἀποκαθήμενος.

107. φησὶν] λογίζεται, ὡς τὸ "οὐ μὲν γάρ ποτέ φησι κακὸν πείσεσθαι" (Od. 18, 131). ὅτι δὲ οὐ πρὸς πεῖραν, ἀλλὰ πρὸς πειθαρχίαν οἱ λόγοι, δῆλον ἐξ ὧν φησὶν "οὐκ ἀΐεις ἅ τέ φησι θεὰ λευκώλενος Ἥρη" (130).

108. διακριδὸν εἶναι ἄριστος] τοῦτο πρὸς τὸ "τόσσον ἐγὼ περί τ' εἰμὶ θεῶν" (Il. 8, 27). ὡς ταπεινόφρονας δὲ αὐτοὺς ἐλέγχει, πειράζουσα εἰ φράσαιντο κατὰ Διός· ὅθεν ἐκείνων σιωπησάντων κερτομοῦσα τὸν ἐπίπλαστον ἐγέλασε γέλωτα, τόν τε Ἄρην ἐπανίστησι τῷ Διὶ καὶ τῆς συμμαχίας τῶν Τρώων ἀπανίστησιν.

109. ἔχεθ'] ἀνέχεσθε. διδάσκει δὲ στέργειν τὴν θείαν διοίκησιν. τὸ δὲ ὔμμι ἀντὶ τοῦ ὑμῶν. δεῖ δὲ νοεῖν ὡς οὐ μόνον περὶ τὸν Ἄρην δεινοῦ τινὸς συμβεβηκότος, ἀλλὰ καὶ περὶ τοὺς ἄλλους τῆς ὁμοίας οὔσης προσδοκίας.

112. ὃν] ἑαυτοῦ· ἔστι δὲ ὅμοιον τῷ "μήτηρ μέν τέ μέ φησι" (Od. 1, 215). φασὶ δὲ τὸν Ἀσκάλαφον εἰς Ἑβραΐδα τεθάφθαι γῆν· διὸ καὶ Σαμάρειαν καλεῖσθαι, διὰ τὸ σῆμα ὃ Ἄρης ἐποίησεν.

116. ἐπὶ νῆας Ἀχαιῶν] νῦν ἀποδείκνυται ἀλλοπρόσαλλος, μὴ γινώσκων οὐδ' ὅπῃ βαδιεῖται. εἰ μὲν γὰρ Ἕλλησι συμμαχήσει, ἀλλοπρόσαλλος εὑρίσκεται, εἰ δὲ Τρωσὶν, οὐκ ἐκδικῶν τὸν υἱὸν, ἀλλὰ καὶ τῷ φόνῳ αὐτοῦ συμβαλλόμενος.

121. μείζων] τοῦ πρὸς Ἥραν καὶ Ἀθηνᾶν καὶ Ποσειδῶνα χόλου.

123. πᾶσι] ἀντὶ τοῦ πάντων. εἰκότως δὲ ὡς δεδοικυῖα τὸν πατέρα καὶ ἤδη πεπαιδευμένη μὴ ἐναντιοῦσθαι περὶ τῶν μελλόντων ἡ γλαυκῶπις φροντίζει.

127. ἡ] ὅτι ἐξ ἀναλήψεως τὰ ἄρθρα λαμβάνει. ὁμοίως τῷ "αὐτὰρ Ἀθηναίη κούρη Διός," "ἡ δὲ χιτῶν' ἐνδῦσα Διός" (Il. 5, 733, 736). καθάπτεσθαι δέ ἐστι καὶ τὸ πραΰνειν καὶ τὸ ἐξονειδίζειν· νῦν δὲ τὸ λόγῳ προσφωνεῖν. εἰκότως δὲ ὁ μὲν κεκίνηται εὐθὺς ὡς ὢν προπετὴς, καταπαύει δὲ αὐτὸν ἡ Ἀθηνᾶ ὡς συνέσεως προεστηκυῖα.

128. δεῖ στίζειν εἰς τὸ μαινόμενε, τὸ δὲ ἑξῆς ὅλον συνάπτειν, φρένας ἠλὲ διέφθορας, ἤτοι τὰς φρένας, ὦ ἠλὲ, ἀπώλεσας. τοῦ δὲ ἠλεέ εἴτε ἀποκοπὴ εἴτε συγκοπή ἐστι· γίνεται δὲ παρὰ τὴν ἄλην, ἵν' ᾖ πεπλανημένε.

*αὐτὸς δὲ ἐπάγει πρὸς μὲν τὸ μαινόμενε "ἦ νύ τοι αὔτως οὔατ' ἀκουέμεν ἐστί," πρὸς δὲ τὸ τὰς φρένας διέφθορας ἠλέ "νόος δ' ἀπόλωλε καὶ αἰδώς." ἐπὶ μὲν οὖν τοῦ μαινόμενε τὸ τὰς φρένας διεφθάρθαι κατηγόρησεν, ἐπὶ δὲ τοῦ κούφου καὶ μὴ βεβαίου τὸ ἀεσίφρων.

ἦ νύ τοι αὔτως] εἰς τὸ μάτην ἀκούειν ἔχων τὰ ὦτα, οὐ μέντοι τὰ ἀκουόμενα διακρίνειν.

137. μάρψει] κυρίως χερσὶ συλλήψεται· μάρη γὰρ ἡ χεὶρ κατὰ Πίνδαρον, ὅθεν καὶ εὐμαρές. δηλοῖ δὲ ἁπλῶς καὶ τὸ καταλαμβάνειν· καὶ μάρνασθαι δὲ τὸ διὰ χειρῶν μάχεσθαι. τάχα οὖν οὐ τοιοῦτος ὁ Ζεὺς, ἀλλ' εἰς δέος Ἄρεως ἐπιτείνει τὸν λόγον· ἢ τὸ περὶ τοὺς ἄρχοντας πάθος ἐνδείκνυται.

138. χόλον υἷος] τὸν ὑπὲρ τοῦ παιδὸς χόλον. διδάσκει δὲ τὰ τοῦ τέλους πράως φέρειν, ὡς κατὰ πάντων τὸ ἀπαράβατον ἔχοντος.

141. ἀδύνατον, φησὶ, πᾶσαν γένεσιν ἀνθρωπίνην θανάτου ῥύεσθαι, ὅπου μηδὲ ἕνα τις ῥύεται· εἰ γὰρ καὶ πρὸς καιρὸν ῥυσθῇ, πάλιν φθαρήσεται.

142. ἵδρυσε θρόνῳ ἔνι] τὸ βίαιον τῆς ἕδρας ἡ διακοπὴ δηλοῖ· ἔστι γὰρ ἐνίδρυσεν.

143. διὰ τί ἐκτὸς αὐτοὺς καλεῖ, ὁρῶσα παροξυνόμενον Ἄρην; ἵνα μὴ ἐπ' αὐτοῦ πέμπουσα αὐτοὺς πλέον αὐτὸν ἐρεθίσῃ ὡς ἐπὶ πόλεμον πέμπουσα, εἰκότως ἔξω καλεῖ· λογισαμένη γὰρ πότερον κρύφα ἢ ἐπὶ πάντων αὐτοῖς διαλεχθῇ, τὸ ἀσφαλέστερον αἱρεῖται.

147, 148. οἱ δύο ἀθετοῦνται· ἔστι γὰρ ἐμβρόντητον τὸ λέγειν "ἄπιτε καὶ ὃ ἂν εἴπῃ ποιήσατε·" καὶ γὰρ εἰ μὴ ἐκέλευσεν, οὐκ ἔμελλον παρακούειν Διός. ἄλλως τε πῶς φησὶ πείθεσθαι Διὶ τοῖς καθ' Ἑλλήνων πεμφθησομένοις; ἢ τάχα μεμψίμοιροί εἰσιν οἱ λόγοι, ἀπέλθετε ποιήσοντες ἃ κελεύει Ζεύς· ὅθεν τὸ δυσάρεστον ἐμφαίνει, ὥς φαμεν πρός τινα ὀργιζόμενοι, ποίει ὃ θέλεις. ὅτι δὲ μεμψίμοιροι οἱ λόγοι δῆλον ἀπὸ τοῦ σιωπῆσαι τὴν αἰτίαν τῆς κλήσεως· φυσικὸν γάρ ἐστι μηδὲ μεμνῆσθαι τῶν λυπηρῶν ἐπὶ πλέον· διὸ συνέτεμε τὸν λόγον.

153. θυόεν νέφος] τὸ τεθυμιαμένον ἀπό τε τῶν τῆς γῆς ἀνθῶν καὶ τοῦ τῆς Ἥρας μύρου.

155. οὐδέ σφωϊν] ἐγκλιτικῶς· οὐ γὰρ ἐχολώθη αὐτοῖς ἰδὼν αὐτούς. ἀόργητος δὲ ἔμεινε διὰ τὴν ταχεῖαν αὐτῶν παρουσίαν.

157. Ἶριν δὲ προτέρην] πρεπόντως πάνυ, ἵνα ἀποστήσας τὸν Ποσειδῶνα τῆς μάχης τότε παρορμήσῃ τὸν Ἕκτορα διὰ τοῦ Ἀπόλλωνος.

159. πάντα, τὰ μέλλοντα λεχθῆναι· τὸ δὲ ἀγγεῖλαι ἀντὶ τοῦ ἄγγειλον. τοῦτο δὲ προσέθηκεν· ἐπεὶ πρὸς ἴσον ἡ ἀποστολή. καλῶς δὲ καίτοι πάντων δεσπόζων λόγοις ἡμέροις χρῆται, παιδεύων πραότητα.

161. δῖαν] μεγάλην· οἱ δὲ ὑγρὰν, παρὰ τὸ διαίνειν. οἱ δὲ φοβερὰν, ὡς "δῖα Χάρυβδις" (Od. 12, 104).

162. εἰκότως σκληροτέρως ἐπανατείνεται εἰ μὴ τῶν πρώτων

φροντίσοι. τὸ δὲ ἀλογήσει οἱ μέν, λόγον μου οὐ ποιήσει, ἀλλὰ καταφρονήσει, οἱ δέ, ἄλογος γένηται καὶ μωρανεῖ.

165, 166. βίῃ—καὶ γενεῇ] ἡ μὲν δύναμις δέος, ἡ δὲ γενεὰ αἰδῶ ποιεῖ· ἀρχικὸν δὲ τὸ ἀπὸ τοῦ δεινοτέρου ἄρξασθαι.

166. οὐκ ὄθεται] οὐκ ἐπιστρέφεται τοῦ μὴ ἰσηγορεῖν, ἀλλὰ δηλονότι ἰσηγορεῖ.

167. στυγέουσι] καταπλήσσονται, ὡς τὸ "κατὰ δ' ἔστυγον αὐτήν" (Od. 10, 113).

170. πτῆται] ταχέως φέρηται. τούτοις δὲ εἴκασται ἃ καὶ σημαίνει ἡ Ἶρις· νιφὰς δὲ χιών, χάλαζα πεπηγὸς ὕδωρ μετὰ βροχῆς· θέλει οὖν σημᾶναι τὴν ὀρθρίαν αὐτῆς πορείαν καὶ τὸ τάχος. ψυχρὴ δὲ νιφὰς ἡ φύσει ψυχρά. ῥιπῆς δὲ ῥίψεως· ῥίψει γὰρ παραπλήσιόν τι πάσχουσιν οἱ ἄνεμοι. πῶς δὲ νίφων ὁ Βορρᾶς αἰθρηγενής ἐστιν; ἤτοι οὖν παρέλκει τὸ ἐπίθετον, ὡς τὸ "πῆ ἔβη Ἀνδρομάχη λευκώλενος" (Il. 6, 377), ἢ ἀπὸ τοῦ πλεονάζοντος· σκιόεντα γὰρ ὄντα τὰ νέφη πνοιῇσι λιγυρῇσι διασκίδνησιν (Il. 5, 26). οἱ δέ, ὅτι τὸ ψῦχος παρ' αὐτῷ αἶθρος καλεῖται. τάχος οὖν δίδωσι τῇ χιόνι ὁ ἄνεμος· Βορρᾶ δὲ πνέοντος νιφετὸς ἐπιγίνεται. καὶ ἀλλαχοῦ "νὺξ δ' ἄρ' ἐπῆλθε κακὴ Βορέαο πεσόντος" (ib. 475).

174. γαιήοχε κυανοχαῖτα] ἐδόξασεν αὐτὸν τοῖς δύο ἐπιθέτοις, καὶ οὐκ ἐντολὴν αὐτῷ, ἀλλ' ἀγγελίην λέγει φέρειν παρὰ Διός. οἷον οὐχ ἑκοῦσα, φησίν, εἰς τοῦτο ἥκω, ἀλλ' ἀποσταλεῖσα.

179. ὁ καί πρόσκειται, ἵνα δείξῃ ὡς οὐκ ἄρξει ὁ Ζεὺς τῆς μάχης, ἀλλ' ἀμυνόμενος παρέσται. τὸ δὲ ἠπείλει ἀντὶ τοῦ ἔλεγεν.

180. ὑπεξαλέασθαι] ἐκκλῖναι καὶ φυλάξασθαι. παρέλκουσι δὲ αἱ προθέσεις.

185. ὑπὲρ τὴν ἑαυτοῦ ἰσχύν. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μὴ ἀναλογούντων ὅπλων.

188. Ζεύς] οἱ μὲν αἰθήρ, οἱ δὲ ὁ διοικῶν τὰ πάντα λόγος, οἱ δὲ τὸ ἡγεμονικὸν τοῦ κόσμου. εἴρηται δὲ παρὰ τὸ ζῶ· τοῦ γὰρ ζῆν αἴτιος. Ποσειδῶν δὲ τὸ συνέχον αἴτιον τὴν θάλασσαν καὶ ἡ αὐτῆς θεία δύναμις, ἐπεὶ πόσεως αἴτιος· διηθουμένης γὰρ θαλάσσης ἐκρέουσι ποταμοί. καὶ ὑετοὶ νᾶμα ἀπὸ θαλάσσης ἔχουσι· καὶ Ἀττικοὶ τὸν περὶ χειμερίους τροπὰς μῆνα Ποσειδεῶνα καλοῦσιν. ὁ δὲ Ἀΐδης παρὰ τὸ ἄω, ὅ ἐστι πνέω· οὐ γὰρ μόνον τὰς ψυχὰς συνέχει, αἳ εἰσι πνεύματα, ἀλλὰ καὶ τοῖς καρποῖς αἴτιός ἐστιν ἀναπνοῆς καὶ

ἀναδόσεως καὶ αὐξήσεως, ἀφ' ὧν ἡμεῖς πνέομεν· διὸ καὶ Ζεὺς καταχθόνιος, ὅτι ζῆν ποιεῖ, καὶ Πλούτων, ὅτι πλουτεῖν. οἱ δὲ παρὰ τὸ μὴ ὁρᾶσθαι, ἢ ἀφανεῖς ἡμᾶς ποιεῖν.

189. Πορφυρίου. δοκεῖ ἐναντιοῦσθαι πρὸς τὸ πάντα τὸ "γαῖα δ' ἔτι ξυνὴ πάντων" (193)· οὐ γὰρ ἔτι πάντα δέδασται τούτων μὴ δεδασμένων. λύοιτο δ' ἂν τῇ λέξει· τὸ γὰρ πάντα ἢ πάντως παρέλκει, ὡς ἐπὶ τοῦ "δέκα πάντα τάλαντα" (Il. 24, 232). ἐὰν δὲ λάβωμεν αὐτὸ περισσόν, τί λοιπὸν δέδασται; ἢ ἀντὶ τοῦ πλεῖστα· συνεχῶς γὰρ τὸ πάντες ἐπὶ τοῦ πλεονάζοντος τίθεται, ὡς εἰ ἔλεγεν, τὰ πλείονα μεμέρισται πλὴν γῆς τε καὶ οὐρανοῦ· ταῦτα γὰρ ἔτι κοινά. φυσικὴ δὲ γίνεται διάταξις. ὁ μὲν γὰρ τὸ ζῆν παρασχόμενος Ζεὺς ὠνόμασται, ὁ δὲ τὴν ὑγρὰν οὐσίαν ἀπὸ τῆς πόσεως Ποσειδῶν, Ἅιδης δὲ ὁ θάνατος παρὰ τὸ σκοτεινὸν καὶ ἀειδὲς τῆς τῶν ἀνθρώπων ἀπωλείας. ὅλων δὲ τῶν στοιχείων ἡ γῆ εὑρίσκεται καὶ τὰ λοιπὰ τρία στοιχεῖα· τὸ γὰρ ὕδωρ αὐτῇ συνεσφαίρωται, καὶ πυρὸς ἀναδόσεις περὶ αὐτὴν γίνονται, ὥσπερ κατὰ τὴν Αἴτνην ἐν Σικελίᾳ καὶ περὶ τοὺς Ἡφαίστου κρατῆρας καὶ περὶ τὸ τῆς Λυκίας Κέρατον καὶ ὅσα τοιαῦτα. καὶ ὁ ἀὴρ δὲ περὶ αὐτήν ἐστι. καλῶς δὲ καὶ τὸν Ὄλυμπόν φησι κοινόν, ἐπεὶ καὶ ὁ οὐρανὸς τὴν γένεσιν ἐκ τῶν τεσσάρων κέκτηται στοιχείων.

190. ἤτοι ἐγὼν ἔλαχον] οὐ πάντως πρῶτος, ἐπεὶ προτέτακται. διδάσκει δὲ κληροποιεῖσθαι τὰς διανομὰς καὶ μὴ φθονεῖν τοῖς περὶ κλῆρον εὐτυχήσασιν. ὁ δὲ κλῆρος τὸ εὐνοϊκὸν δείκνυσι τοῦ Διός. οὐ γὰρ ἀθετεῖ τοὺς ἀδελφούς, καὶ ταῦτα δυνάμενος αὐτῇ τε τῇ γῇ καὶ τῇ θαλάσσῃ πάντας ἀνέλκειν.

πολιὴν ἅλα] ὅτι τὴν κεφαλὴν ἤτοι τὴν ἐπιφάνειαν ἔχει ἀφρίζουσαν. οὕτω δὲ καὶ τὸ θέρος διὰ τὴν λευκότητα. οἱ δὲ τὴν πολλήν· πλείων γὰρ τῆς γῆς ἡ θάλασσα.

191. ζόφον ἠερόεντα] τὰ ἀφώτιστα μέρη τῆς γῆς καὶ τὸν περὶ γῆν ὑγρὸν ἀέρα.

4–10. Scholion manus primae, cui praefixi Πορφυρίου ex Scor. et Harl. in quibus integrius legitur.
13. * ἀειδὲς] ἀηδὲς
14. ὅλων δὲ —] * κοινὴ ὅλων τῶν στοιχείων ἡ γῆ, καθότι ἐν αὐτῇ εὑρίσκεται καὶ τὰ λοιπὰ —.
17. καὶ περὶ τὸ τῆς Λυκίας Κέρατον] In Ven. A est περὶ Κέραγον Λυκίας, ubi Usenerus Κράγον post Meinekium Anal. Alexandr. p. 367.
19. καὶ ὁ οὐρανὸς] καὶ ὁ Ὄλυμπος Wachsmuth. de Cratete, p. 45.
22. κληροποιεῖσθαι] κλήρῳ ποιεῖσθαι Bekk.

192. Ζεὺς δ' ἔλαχ' οὐρανόν] πάντα τὸν ὑπὲρ γῆς ἀέρα τῷ Διί φησι δοθῆναι, διὰ μὲν τῶν νεφελῶν τὸν φωτιζόμενον ἀέρα, ὅπερ ἐστὶν ἀπὸ γῆς ἕως νεφελῶν, διὰ δὲ τοῦ αἰθέρος τὸν ὑπὲρ τὰ νέφη τόπον, ὃν καὶ οὐρανὸν ὀνομάζει· ἔστι δὲ οὗτος ἄχρι τῆς ζώνης τῆς σελήνης καὶ τῶν πλανητῶν. ἀμέλει καὶ πύλας οὐρανοῦ τὰ νέφη ὀνομάζει. πιθανῶς δὲ εἶπε κοινὴν ἁπάντων εἶναι τὴν γῆν· αἵ τε γὰρ ἄνωθεν ἀπὸ Διὸς βολαὶ ἐπὶ ταυτὸν ἀφίενται ὑετοῦ καὶ χιόνος καὶ χαλάζης καὶ κεραυνῶν, ἥ τε τοῦ Ἅιδου μοῖρα ὑπὸ γῆν ἐστὶ, καὶ τὸ περιέχον τὸ ὕδωρ οὐδὲν ἄλλο ἐστὶν ἢ γῆ. εἰκότως δὲ συνάπτει τὴν γῆν τῷ Ὀλύμπῳ ὡς ὄρει· κατ' ἐξοχὴν γὰρ Ὄλυμπος καὶ γῆ κοινὰ τοῖς πᾶσίν εἰσιν.

194. ἐπιστρέφομαι, διὰ φροντίδος ἔχω, παρὰ τὴν βίαν. τινὲς δὲ, οὐκ ἀποσοβηθήσομαι τῆς βοηθείας διὰ τὸν Δία, ὡς τὸ "ὄφρ' ἂν ἐγὼ προτὶ Ἴλιον βείω" (Il. 6, 113). φησὶν οὖν ὅτι τοῦ κοινοῦ πάντως ἀπελαύνομαι χωρίου.

196. *χερσὶ δὲ μή τί με] ὁ νοῦς, μηδὲ ὡς χερσὶ κακὸν ὄντα εἰς δέος ἀγέτω· ἢ ὡς κακὸν ὄντα εἰς τὸν διὰ χειρῶν ἀγέτω πόλεμον· ἢ ὡς χερσὶν ὑπερέχων.

μηδαμῶς με, φησὶν, ὡς πάγχυ κακὸν ἐκφοβείτω. καταλιμπάνει δὲ νοεῖν ὅτι ὁ Ζεὺς ἰσοπάλῳ ἀπειλεῖ.

197. θυγατέρεσσιν] τὰς θηλείας πρὸς καταβιβασμὸν προσέταξεν.

198. ἐκπάγλοις] ὑπερηφάνοις, ἢ ὑπερέχουσιν. ἐνισσέμεν δὲ τὸ ἐπιπλήσσειν, παρὰ τὴν ἐνιπήν.

199. ὀτρύνοντος] κελεύοντος, ἐπιτάσσοντος.

201. οὕτω γὰρ δή] ἐπειδὴ ἐπὶ τὸ τραχύτερον προῆκται τὰ τῆς ἀποκρίσεως, βούλεται ὁ ποιητὴς τὸ μὲν ἦθος διαφυλάξαι τῶν ὀργιζομένων, καταπαῦσαι δὲ τὴν ἀψιμαχίαν διὰ τῆς Ἴριδος. ἔχει δέ τι ἦθος ὁ λόγος. οὐδὲ γὰρ ἀποτρέπουσα αὐτὸν συμβουλεύει ὅτι οὐ χρὴ τόδε πράττειν, ἀλλ' ἠθικῶς πυνθάνεται εἰ βούλεται ἀπηνῆ λόγον καὶ κρατερὸν ἀπαγγεῖλαι αὐτὴν τῷ Διί. καὶ ἑξῆς πάλιν τὸ ὅμοιον σχῆμα τοῦ λόγου· οὐ γὰρ εἶπε μετάστρεψον, ἀλλ' εἴ τι μεταστρέψεις, πάλιν πυνθανομένη. χρηστὸν δὲ πρὸς μίμησιν ἦθος ἀγγέλου παρέλαβεν.

203. στρεπταί] πρὸς τὰ ἐσθλὰ, φαύλων δὲ πρὸς τὰ φαῦλα. ἐν βραχεῖ δὲ τὸ Ἡσιόδου (O. 295) περιείληφεν "ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς εὖ εἰπόντι πίθηται."

22. *ἐπιπλήσσειν] παραπλήσσειν
27. *οὐ] om.
30. *εἴ τι] ἤ τι
34. *πίθηται] πείθεται

204. οἶσθ'] τοῦτο δυνατόν ἐστι καὶ ἐν ἐρωτήσει καὶ ἐν ἀποφάσει προάγειν. ἕπονται δὲ ἐπακολουθοῦσι καὶ συμμαχοῦσιν. πιθανῶς δὲ πρὸς τὸν λέγοντα "μή τί με πάγχυ κακὸν ὣς δειδισσέσθω" οὐκέτι φησὶν ὅτι ἰσχυρότερός σού ἐστιν, ἀλλὰ πρεσβύτερος· τὸ γὰρ τοῦ γήρως πλεονέκτημα ἀνεπίφθονον.

206. τοῦτο ἔπος] ἢ τὸ "στρεπταὶ δέ τε φρένες," ἢ τὸ "ὡς πρεσβυτέροισιν Ἐρινύες," ἤ, ὃ καὶ ἄμεινον, πάντα τὸν λόγον τῆς Ἴριδος.

207. ἐσθλὸν καὶ τό] καὶ Εὐριπίδης "ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος." ἄγγελον δὲ ἐσθλὸν ἔφα τιμὰν μεγίσταν πράγματι παντὶ φέρειν Πίνδαρος (Pyth. 4, 494).

209. ὁμῇ] ὁμοίᾳ μεμερισμένον μοίρᾳ. τὸ δὲ ὁπόταν ἀντὶ τοῦ ἡνίκα, ἢ μᾶλλον ἀντὶ τοῦ ὅτι.

210. χολωτοῖσιν ἐπέεσσιν] πικροῖς, παρὰ τὴν χολήν· ἢ εἰς χόλον ἐρεθίζουσιν.

211. νεμεσσηθείς] μεμψάμενος αὐτῷ καὶ καταγνούς, ἢ μεμπτὸν ἡγησάμενος τὸ ἀντειπεῖν ἐκείνῳ.

212. ἀθετοῦνται οἱ ἕξ· πρὸς τί γὰρ ἡ ἀπειλή; ἀλλά φαμεν ὡς εὐπρεπῶς ἐκστῆναι θέλει. εἰ δὲ ἤκουσεν ὡς ἁλώσεται Ἴλιος, πῶς νῦν ἀπιστεῖ; ἀλλὰ καὶ Ἀγαμέμνων "ἀλλά μοι αἰνὸν ἄχος σέθεν ἔσσεται" (Il. 4, 169), καίτοι εἰδὼς παρὰ Κάλχαντος. ἄλλως τε δεῖ ἀντεπαχθῆναι τῷ "ἀλλ' ἤτοι νῦν μέν κε." εὐσχήμονα δὲ τὴν ἀπαλλαγὴν ὁρίζεται, ἐπανατείνων τὴν ὀργὴν εἰς ὕστερον, ὡς καὶ Ἀχιλλεὺς "τῶν δ' ἄλλων ἅ μοί ἐστι" (Il. 1, 300).

215. πεφιδήσεται] ἀπὸ τοῦ φείδω φιδῶ, ὡς πείθω πιθῶ, τεύχω τυχῶ· "τύχησε γὰρ ἐρχομένη νηῦς" (Od. 19, 291).

219. δῦνε δὲ πόντον ἰών] ἡνίκα μὲν σύμμαχον αὐτὸν ἦγε τοῖς Ἀχαιοῖς, ἐκαλλιγράφησε τὴν πορείαν· νῦν δὲ συνέτεμεν, ἐπεὶ μετὰ λύπης γίνεται. τὸ δὲ πόθεσαν δηλοῖ ὅτι ἐπὶ θάτερα γέγονεν αὐτοῖς ἡ μεταβολή.

221. μεθ' Ἕκτορα] πρός ἢ ἐπί. πρεπόντως δὲ ὅτε Ποσειδῶνα μετεπέμψατο, Ἀπόλλωνα τότε ἔπεμψεν· οὐ γὰρ ὤφειλεν αὐτὸν τῷ

9. Εὐριπίδης] Memoriae errore, quem repetivit Eustathius p. 1013, 12, Euripidem nominavit pro Aeschylo Choeph. 773.

* κρυπτὸς] κυπτὸς

27. * μὲν] om.

32. τότε ἔπεμψεν] * ἐξέπεμψεν

πρεσβυτέρῳ ἀντιτάττειν, αὐτὸν ἀξιώσας ὑπ' ἐκείνου τιμηθῆναι διὰ τὸ πρεσβύτερον.

224. **πάνυ γὰρ ἀπόπειραν τῆς ἡμετέρας δυνάμεως ἔλαβον καὶ οἱ περὶ Κρόνον Τιτᾶνες οἱ ἐν τῷ Ταρτάρῳ ὄντες.*

225. *οἵπερ ἐνέρτεροι] πρὸς σύγκρισιν τῶν μετὰ Ἀϊδωνέως διαγόντων· ἄναξ γοῦν ἐνέρων Ἀϊδωνεύς. ἔστιν οὖν ἐνερώτερος ἐνέρτερος κατὰ συγκοπὴν, καὶ ἀποβολῇ νέρτερος.*

226. *ἠμὲν ἐμοί] ἐμοὶ μὲν διὰ τὸ μὴ τιμωρήσασθαι τὸν ἀδελφὸν, ἐκείνῳ δὲ διὰ τὸ μὴ βληθῆναι· τὸ γὰρ ἀνιδρωτί ἐπὶ Ποσειδῶνος κεῖται.*

227. *χρονικόν ἐστιν ἐπίρρημα τὸ πάροιθε. νεμεσσηθείς δὲ ἤτοι μεμπτὸν ἡγησάμενος τὸ ἀντειπεῖν μοι, ἢ αἰδεσθεὶς, παρὰ τὴν νέμεσιν.*

229. **Κρόνος χρησμὸν λαβὼν ὅτι ὁ ἴδιος υἱὸς μεταστήσει τῆς βασιλείας αὐτὸν τὰ γεννώμενα κατέπινεν. Ῥέα δὲ τεκοῦσα Δία Κρόνῳ μὲν ἀντ' αὐτοῦ λίθον σπαργανώσασα ἔδωκε καταπιεῖν, τὸ δὲ παιδίον εἰς Κρήτην διακομίσασα ἔδωκε τρέφειν Θέμιδι καὶ Ἀμαλθείᾳ, ἣ ἦν ἡ αἴξ. ταύτην οἱ Τιτᾶνες ὁπότε θεάσαιντο, ἐφοβοῦντο. αὕτη δὲ τοὺς ἑαυτῆς μαζοὺς ὑπέχουσα ἔτρεφε τὸ παιδίον. αὐξηθεὶς δὲ ὁ Ζεὺς μετέστησε τῆς βασιλείας τὸν πατέρα. τῶν δὲ Τιτάνων πολεμούντων αὐτὸν Θέμις συνεβούλευσε τῷ τῆς Ἀμαλθείας δέρματι σκεπαστηρίῳ χρήσασθαι· ὥστε εἶναι ἀεὶ αὐτὸ φόβητρον. πεισθεὶς δὲ ὁ Ζεὺς ἐποίησε καὶ τοὺς Τιτᾶνας ἐνίκησεν. ἐντεῦθεν αὐτόν φασιν αἰγίοχον προσαγορευθῆναι.*

230. *τῇ μάλ' ἐπισσείων φοβέειν] μάλα φοβεῖν, ἢ μάλα ἐπισείων. Ἄρην δὲ οὐ πέμπει ὡς νεότρωτον, ἢ δι' Ἀσκάλαφον, ἵνα μὴ μετατραπῇ εἰς Ἕλληνας. ἥρωες δὲ πάντες οἱ ἐπὶ τὸ Ἴλιον στρατευσάμενοι. πολλαὶ δὲ αἰτίαι τῆς ἥττης Ἑλλήνων, Ποσειδῶνος ὑποχώρησις, Ἀπόλλωνος κάθοδος, αἰγίδος ἐπεισόδιον.*

234. *οὐκ εἶπε βοηθήσω τοῖς Ἀχαιοῖς, ἀλλὰ φράσομαι, ἵνα μὴ δύσθυμον ἐργάσηται τὸν Ἀπόλλωνα. ἔργον μὲν οὖν τὴν ἔξοδον Πατρόκλου, ἔπος δὲ τὸ "ἀμφοτέροισι δ' ἀρήγεθ' ὅπη νόος ἐστὶν ἑκάστῳ"* (Il. 20, 25).

237. *ἴρηκι ἐοικώς] δυοῖν θεῶν κάθοδον ἐκφράζων, ἐπὶ μὲν τῆς*

17. *ὁπότε* scripsi pro *ὁπόταν* * *θεάσαιντο*] *ἐθεάσαντο*
18. *ὑπέχουσα*] * *ἐπέχουσα*
20. * *συνεβούλευσε*] *συνεβούλευε*
30. * *μὴ*] om.

Ἴριδος παρέλαβε καταφορὰν χαλάζης ἢ χιόνος, τούτοις εἰκάσας ἃ καὶ σημαίνει ἡ Ἶρις, τὸν δὲ ἱέρακα Ἀπόλλωνι· ἱερὸς γὰρ αὐτοῦ ἐστί. καὶ τὸ φασσοφόνῳ δὲ οἰκείως, ἐπεὶ καὶ ὁ θεὸς κάτεισιν ἐπὶ φόνῳ τῶν Ἀχαιῶν.

241. ἀντὶ τοῦ ἀναγνωρίζων καὶ ὑπομιμνησκόμενος ἀρτίως τῆς ἑκάστου ὄψεως· οὐκ ἐκ προχείρου γὰρ ἐγίνωσκε τοὺς παρεστῶτας.

244. νόσφιν καὶ ἀπό ταυτόν ἐστιν. ἠθικὸς δὲ ὁ λόγος, ὡς πρὸς νοσοῦντά φαμεν τί κατάκεισαι; ὀλιγηπελέων δὲ ὀλίγην ἔχων τοῦ πέλειν μοῖραν, ἐγγὺς ὢν τοῦ ἐκλεῖψαι.

246. ὀλιγοδρανέων] ἀπὸ τοῦ ὀλιγηπελέων μετείληπται, ἵν' ᾖ ὀλίγον ἔχων τὸ δρᾶν. καὶ πῶς οἶδεν ὅτι θεός ἐστιν; ἀπὸ τοῦ ἐρέσθαι· πάντες γὰρ ᾔδεισαν οἱ Τρῶες τὸ γεγονὸς, καὶ οὐκ ἂν αὐτὸν ἀνηρώτων.

252. ἄϊον ἦτορ] ἤλγησα· ἥψατο γὰρ τῆς ψυχῆς ἡ ἄλγησις, ὥστε καὶ αἴσθησιν αὐτῇ γενέσθαι.

254. Κρονίων] ὑπὸ μεγίστου καὶ ὑπερέχοντος θεοῦ φήσας αὐτὸν πεπέμφθαι οὐ τὴν τυχοῦσαν δίδωσιν ἐλπίδα.

256. χρυσάορον] τὸν χρυσοῦν ἀορτῆρα περὶ τὴν κιθάραν ἔχοντα· καὶ Πίνδαρος χρυσάορα Ὀρφέα φησί. τινὲς δὲ χρυσοῦν ξίφος ἔχοντα.

*Ἑρμῆς ὁ Διὸς καὶ Μαίας τῆς Ἄτλαντος εὗρε λύραν, κλέψας δὲ καὶ τοὺς Ἀπόλλωνος βόας εὑρέθη ὑπὸ τοῦ Ἀπόλλωνος διὰ τῆς μαντικῆς. ἀπειλοῦντος δὲ τοῦ Ἀπόλλωνος ἔκλεψεν αὐτοῦ καὶ τὰ ἐπὶ τῶν ὤμων τόξα. μειδιάσας δὲ ὁ θεὸς ἔδωκεν αὐτῷ τὴν μαντικὴν ῥάβδον, ἀφ' ἧς καὶ χρυσόρραπις ὁ Ἑρμῆς προσηγορεύθη, ἔλαβε δὲ παρ' αὐτοῦ τὴν λύραν· ὅθεν καὶ χρυσάωρ ὠνομάσθη, ἀπὸ τοῦ τῆς κιθάρας ἀορτῆρος.

1. *παρέλαβε] ἔλαβε
*ἢ] om.

19. Lemma rubrum ἱστορία.

24. χρυσάωρ] χρυσάορ B. Idem vitium in scholio codicis A, de quo dixi in annot. ad vol. 2 p. 74, 8. Orpheum χρυσάορα a Pindaro dictum esse annotavit scholiasta Ven. A, qui exposita significatione vocabuli addit καὶ Πίνδαρος χρυσάορα τὸν Ὀρφέα φησί, quod ad longum Pindari fragmentum, servatum ab scholiasta Euripidis Rhes. 895. vol. 1 p. 39, ed. Oxon. recte rettulit anonymus (T. W. M.) in Ephemeridibus Halensibus a. 1840. nr. 10 p. 80. Finitur hoc fragmentum verbis υἱὸν Οἰάγρου, quae in initio versus posita fuerunt, sic redintegrandi, υἱὸν Οἰάγρου τε χρυσάορ' Ὀρφέα, in quo χρυσάορ' duabus syllabis ut χρύσωρ' pronuntiandum est, quemadmodum Pyth. 5, 140 versui πρέπει χρυσάορα Φοῖβον ἀπύειν in antistropha 154 respondet πέφανταί θ' ἁρματηλάτας σοφός. Eodem spectat scholiasta Pindari Pyth. 4, 313 Ἀπόλλωνος τὸν Ὀρφέα φησὶν εἶναι (Πίνδαρος), ὃν καὶ αὐτὸς ὁ Πίνδαρος καὶ ἄλλοι Οἰάγρου λέγουσιν.

258. ἱππεῦσιν ἐπότρυνον πολέεσσι] πολλοῖς ἱππεῦσιν ἐπίταξον. προοικονομεῖ δὲ ἐντεῦθεν ὥστε ἀπὸ ἴσου ὕψους γενέσθαι τὴν μάχην· "οἱ μὲν" γὰρ "ἀφ' ἵππων, οἱ δὲ ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες" (384). ἄλλως τε ἔδει ἐπὶ τῇ δευτέρᾳ εἰσελάσει καὶ περιττόν τι φαίνεσθαι· πρότερον μὲν γὰρ πεζοὶ διέβαινον τὴν τάφρον, νῦν δὲ διὰ τὸν Ἀπόλλωνα μεῖζόν τι πράττεται.

261. τρέψω δ' ἥρωας Ἀχαιούς] ὡς τὴν τάφρον καταβαλών, ἢ τοὺς Ἀχαιοὺς τρεψάμενος, ἵν' ᾖ ὁ δέ ἀντὶ τοῦ γάρ.

262. ὣς εἰπὼν ἔμπνευσε] ἀναγκαία ἡ προσθήκη πρὸς σύγκρισιν τοῦ πρὶν δεινῶς κεκακωμένου.

270. ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν] ὅτε ᾔσθετο ὅτι ἣν ἔκλυεν αὐδὴν, θεοῦ ἐστί.

272. ἀγροιῶται] ἀγρόται. οὕτω δὲ τοὺς θηρευτὰς ἀεί φασιν οἱ Ἀττικοί.

273. τὸν μέν] τὸν αἴγαγρον· οὗτος γὰρ τῶν ἠλιβατούντων ἐστίν. δάσκιος δὲ ἡ λίαν σκιώδης ἢ δασύσκιος. ἠλίβατος δὲ ἧς ἁμαρτάνομεν τῆς βάσεως. ἢ ἡ μόνῳ ἡλίῳ βαινομένη.

274. περισσὸν τὸ τέ. αἴσιμον δὲ τὸ εἱμαρμένον· οἶδε γὰρ αὐτὴν καὶ μέχρι ζῴων φθάνουσαν. οἱ δὲ ἀντὶ τοῦ καθῆκον.

275. λίς] παρὰ τὸ λιαρὸν, ἢ τὸ λεῖον· λεῖος γάρ ἐστι πλὴν τῆς χαίτης. ἢ παρὰ τὸ λίαν φθείρειν.

276. εἰς ὁδόν] ἀντὶ τοῦ ἐν ὁδῷ· ἢ καὶ μεμαῶτας εἰς ὁδὸν πάντας ἔτρεψε καὶ στῆναι αὐτοῦ παρεσκεύασεν.

277. φασὶ τὸ ἕως μετὰ συνδέσμου ὂν καὶ τὸ τινός ἐν παραλείψει ἐκδέχεσθαι. ὁ μ ι λ α δ ό ν δέ ἐστιν ἐπίρρημα μεσότητος, καὶ ἔστιν ἀντὶ τοῦ πολεμικῶς ἢ ἀθροιστικῶς. τὸ δὲ α ἰ έ ν ἐνεστῶνα δηλοῖ, οἷον ἐν ἐκείνῳ τῷ καιρῷ τῆς μάχης.

280. πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμός] ἡ ψυχὴ ἐνενεύκει εἰς τοὺς πόδας, ὅπως δι' αὐτῶν σωθῶσιν· ἢ ταῖς ψυχαῖς ἐταπεινώθησαν καὶ κατέπεσον· ἢ τὸ πὰρ ποσίν ἀντὶ τοῦ παραυτά. οὐ δειλιῶντες δὲ τὸν Ἕκτορα, ἀλλὰ διὰ τὸ παράδοξον τῆς ἀναστάσεως σκοποῦντες μὴ καὶ θεὸς ᾖ ὁ μαχόμενος.

287. ὢ πόποι] τοῦτο ἀναφωνεῖται ἐπί τινι πάθει ὑποφαῖνόν τι παράδοξον. ἔστι δὲ καὶ προσφωνηματικόν· διssῶς γὰρ λέγεται.

21. * ἢ παρὰ] παρὰ om.
34. προσφωνηματικόν] προσφωνητικόν Bekkerus.

293. ὧδε μενοινῶν] οὕτως διαμάχεσθαι ἡμῖν προθυμούμενος.

295. πληθὺν μὲν προτὶ νῆας] ἵνα μὴ ἄρδην διωκόμενοι ὑπὸ τῆς ἵππου τῆς περὶ Ἕκτορα ἐμπέσωσι τῇ τάφρῳ. ἄλλως τε καὶ ἀσθενὴς ὄχλος καὶ ἀχρεῖος πρὸς ἄμυναν καὶ μᾶλλον τροπῆς περιποιητικός.

297. στείομεν] καὶ ἀλλαχοῦ "ἀλλ' ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες" (Il. 22, 231). πλεονάζει δὲ ὁ κέν.

305. ἡ πληθὺς—ἀπονέοντο] πρὸς τὸ σημαινόμενον, οὐ πρὸς τὸ πληθύς ὑπήντησε τὸ ἀπονέοντο.

309. ἀμφιδάσειαν] οἱ μὲν ἀμφίμαλλον, οἱ δὲ κύκλῳ δασεῖαν, διὰ τοὺς θυσάνους. προπαροξυντέον δὲ κἄν τε σύνθετόν ἐστι κἄν τε παρασύνθετον.

313. ὀξεῖ' ἀμφοτέρωθεν] πανταχόθεν τὴν ἐνέργειαν ηὔξησεν, ἐκ τῆς βοῆς τῶν μαχομένων, ἐκ τῶν βαλλομένων βελῶν, ἐκ τῶν δοράτων, ὧν μὲν ἐπὶ σκοπὸν φερομένων, ὧν δὲ μάτην ῥιπτομένων.

316. μεσσηγύ] μεσσηγὺ ἵστατο, μεσοπαγῆ ἐγίνετο, μέχρι τοῦ μέσου ἐμπεπηγμένα τῇ γῇ. ἄλλως. ἐπιθυμοῦντα τῶν ἐφ' οὓς ἐβάλλετο, ἐν τῇ διὰ μέσου γῇ ἐπήγνυτο.

317. λιλαιόμενα] λῶ λαίω λιλαίω, ὡς κερῶ κεραίω ("ζωρότερον δὲ κέραιε" Il. 9, 203).

320. κατένωπα] ὁ μὲν Ἀρίσταρχος προπερισπᾷ, ἵν' ᾖ ἀπὸ τοῦ ἐνωπήν ἐνῶπα ὡς ἰωκήν ἰῶκα, ἵνα δηλοῖ τὸ κατὰ πρόσωπον· ὁ δὲ Ἡρωδιανὸς προπαροξύνει, λέγων αὐτὸ εἶναι ἀπὸ τοῦ ἐνώπιον καὶ ἐνώπια, ὃ σημαίνει τὰ ἐναντία, κατὰ συγκοπὴν, ὡς τὰ σιτία σῖτα.

322. ἔθελξε] παρέλυσεν, ἐσκότωσεν. τοῦτο δέ φησιν ἐπὶ τοῦ τὸν λογισμὸν οὐκ ἐκ φανεροῦ φθείρεσθαι.

324. δύω] δύο μὲν λέοντας παρείληφεν, ἐπεὶ καὶ οἱ τοὺς Ἀχαιοὺς ταράττοντες δύο εἰσὶν, Ἕκτωρ καὶ Ἀπόλλων. νυκτὸς δὲ οὗτοι ἐπιτίθενται· ὁ γὰρ ἐν ἡμέρᾳ φόβος ἥττων. εἰς ἐπίτασιν δὲ τὴν ἀσέληνον καὶ τῆς νυκτὸς τὸ μεσαίτατον παρείληφε. τό τε ἐξαπίνης χαλεπὸν πρὸς τὸ μὴ παραφυλάξασθαι. καὶ ὁ ποιμὴν αὐτοῖς οὐ πάρεστι βοηθὸς, ὡς οὐδὲ ὁ Ποσειδῶν τοῖς Ἕλλησι συμμαχεῖ.

4. * καὶ ἀχρεῖος] καὶ om.

10. κύκλῳ δασεῖαν Schaeferus ad Greg. Cor. p. 890.] κυκλοδάσειαν

326. ἀνάλκιδες] ἀνάλκιδες τότε γενόμενοι, ὡς "κυκλοτερὲς μέγα τόξον" (Il. 4, 124). παραφυλακτέον δὲ ὅτι τῇ Ἑλληνικῇ φυγῇ θεὸν ἀεὶ ἀντιπαρατάττει.

328. κεδασθείσης ὑσμίνης] τῆς τάξεως διαλυθείσης· τότε γὰρ ἄλλοι ἄλλῃ φέρονται. μέγα δὲ τὸ παρὸν δυστύχημα· αἱ γὰρ ἀναιρέσεις τῶν ἡγεμόνων ἢ τῶν περὶ τούτους ἀριστέων ἔσονται.

336. γνωτὸς ὁ ἀδελφὸς, ὁ πλέον τῶν ἄλλων Ἐριώπιδι γνωριζόμενος.

339. Μηκιστῇ] περισπαστέον, εἴτε κατὰ ἀποκοπὴν τοῦ ᾱ, ὡς Τυδῆα Τυδῆ, εἴτε Δωρική ἐστιν ἡ κρᾶσις, Μηκιστέα Μηκιστῆ, ὃ καὶ ἄμεινον.

340. πρώτῃ ἐν ὑσμίνῃ] ἐν τοῖς προαγωνισταῖς· οὐ γὰρ νῦν ἐστὶν ἡ πρώτη συμβολή.

341. νείατον] τὸν πρὸς τῷ αὐχένι· Ἐχίος γὰρ πρώτῃ ἐν ὑσμίνῃ, οὗτος δὲ νείατος.

342. ἐν προμάχοισι] τινὲς ἐν πυμάτοισι, καὶ οἰκεῖον τοῦτο Πάριδι. ἢ ἐν πρώτοις τῶν διωκόντων ὢν ὁ Πάρις, οὐκ αὐτὸν ἐν τοῖς προμάχοισι φεύγοντα. μόνος δὲ οὗτος Ἑλλήνων ὄπιθεν τέτρωται, καὶ Ἠϊονεὺς ἐν τῇ Η (11) ὑφ' Ἕκτορος.

344. ἐνιπλήξαντες] τὴν μετὰ δέους γινομένην ἄτακτον ἔμπτωσιν διὰ τῆς λέξεως ἐδήλωσεν.

345. ἀνάγκῃ] δαιμονία ἡ προσθήκη· οὐ γὰρ δι' ἀνανδρίαν ἔπραξαν τοῦτο, ἀλλὰ διὰ τὴν ἀπὸ τῶν θεῶν ἀνάγκην.

347. νηυσὶν ἐπισσεύεσθαι] ὡς ἐπὶ τὰς ναῦς ὁρμᾶν. λείπει δὲ τὸ λέγω· ἢ ἀπαρέμφατά εἰσιν ἀντὶ προστακτικῶν.

349. αὐτοῦ οἱ θάνατον] βαρβαρικὴ ἡ ἀπειλὴ καὶ τὸ πρόσταγμα, οὐ γὰρ ὡς ὁ Νέστωρ φησὶν (Il. 6, 70) "ἀλλ' ἄνδρας κτείνωμεν, ἔπειτα δὲ καὶ τὰ ἕκηλοι νεκροὺς ἀμπεδίον συλήσετε," ἀλλὰ θρασέως καὶ ἀπηνῶς.

350. λελάχωσι] ἀντὶ τοῦ λαχεῖν ποιήσουσιν. ἐντεῦθεν νόμος τὸν προδότην μὴ θάπτεσθαι.

351. τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ἐν τῷ ἐρύουσι. ἐνεστὼς γάρ ἐστιν ἀντὶ μέλλοντος.

352. κατωμαδόν] κατὰ τῶν ἰδίων ὤμων, ἀφ' οὗ τὸν βάρβαρον καὶ μετὰ θυμοῦ παριππεύοντα δηλοῖ.

12. προαγωνισταῖς] πρωταγωνισταῖς Vill. 18. * ὄπιθεν] ὄπισθεν

ἤλασεν ἵππους] ἤλαυνεν ἐπὶ στίχας τοὺς ἵππους, τοῖς Τρωσὶ κεκλόμενος. ὅρα δὲ πῶς καὶ ἤλαυνε καὶ ἐπολέμει.

356. ὄχθας καπέτοιο] τὰς ἀνασκαφὰς τῆς τάφρου δηλονότι. Ἀργεῖοι οὖν τὴν τάφρον κάπετον ὠνόμαζον.

359. σθένεος πειρώμενος] εὖ τὸ μὴ ἁπλῶς ἀκοντίζοντα παραλαβεῖν, ἀλλὰ τῆς ἑαυτοῦ ἥβης ἀποπειρώμενον, ὥστε ἐπὶ πλέον ἐξικέσθαι.

*τὸ ἧσιν ἀντὶ τοῦ πέμψῃ. τὸ σι ἐπέκτασίς ἐστιν.

362. ῥεῖα μάλ'] διαναπαύουσι τῶν πόνων αἱ παραβολαί, καὶ ταπεινὴ μὲν ἡ εἰκὼν, ὅμως πᾶσι γνωστή. ἀπὸ κοινοῦ δὲ τὸ συνέχεεν.

363. ἀθύρματα] πιθανῶς παίγνιά φησι τὰ δώματα τῶν νηπίων.

364. ποσὶν καὶ χερσίν] ὅλῳ γὰρ ἐφάλλεται τῷ σώματι. χρὴ δὲ ἐπὶ τὸ χερσί διαστείλαντα πρὸς βραχὺ ἐπάγειν καθ' αὑτὸ τὸ ἀθύρων, ἵνα ᾖ τοῦ ὅλου ἐπεξήγησις· εἰ γὰρ συνάψομεν, ἔσται ἀθύρειν τὸ πατεῖν ἀκύρως.

365. ἤϊε] Ἀρίσταρχος δασύνει, παρὰ τὴν ἕσιν τῶν βελῶν· ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ· ἀεὶ γὰρ τὸ η πρὸ φωνήεντος ψιλοῦται. οἱ δὲ παρὰ τὸ ἰέναι· ἥλιος γάρ ἐστιν. ἔστι δὲ περιπαθὴς ἡ ἀναφώνησις, καὶ ἐμφαντικὴ τῆς δυνάμεως τοῦ θείου.

366. αὐτοῖσι δὲ φύζαν ἐνῶρσας] ἐν ὅλοις σχεδὸν διαμαρτύρεται ὅτι οὐ τὸν Ἕκτορα ἔφυγον, ἀλλὰ τὸν θεόν.

369. εὐχετόωντο] δυστυχίας ἐπίτασις καὶ σωτηρίας ἀπόγνωσις εὐχὴ θεῶν. πιθανῶς δὲ τὰς τοῦ πλήθους ἐν κεφαλαίοις εἶπε, τὴν δὲ τοῦ εὐσεβεστάτου διεσάφησε.

371. ἀστερόεντα] οὐ τὸν τότε, ἀλλὰ τὸν τῇ φύσει.

372. ἐν Ἄργεΐ περ] ὅλην τὴν Ἑλλάδα· περισσὸς δὲ ὁ πέρ. πιθανὸν δὲ τὸ μὴ ὑπὲρ ὧν αὐτὸς ἔθυσε σωτηρίαν αἰτεῖν· οὐ γὰρ ὑπὲρ ἑαυτοῦ δέδοικεν, ἀλλ' ὑπὲρ πάντων· διὸ τὴν κοινὴν εὐσέβειαν προβάλλεται.

374. κατένευσας φησὶ πρὸς τὸ τὴν ὑπόσχεσιν ποιῆσαι ἀμετάπτωτον.

377. παιδευτικὰ ταῦτα διὰ τὸ ἐπισημαίνεσθαι τὸν θεὸν ἑνὸς ἀνδρὸς εὐχῇ. ἄκρως δὲ κεκράτηκε τῆς οἰκονομίας ὁ ποιητής. τὸ μὲν γὰρ μηδὲν ἐπιγενέσθαι τῷ πρεσβύτῃ σημεῖον ἀπίθανον, τὸ δὲ

35. * μηδὲν] μὴ δ'

κατανεύειν ἤδη ἐναντίον· ὁ γὰρ μηδὲ Ἥρᾳ πειθόμενος, ἀλλὰ φυλάττων τὴν πρὸς Θέτιν ὑπόσχεσιν πῶς ἂν ταχέως ἐπείσθη Νέστορι;

381. ὥστε μέγα κῦμα] ἀεὶ ἑαυτὸν παρευδοκιμεῖ ὁ ποιητὴς ταῖς ὁμοιώσεσι· τί γὰρ ἐναργέστερον ἢ ἐμφαντικώτερον ἢ καθάπαξ συμφωνότερον ταύτης τῆς εἰκόνος; χειμῶνι μὲν τὸν κίνδυνον εἰκάζει, σκάφει δὲ τὸ τεῖχος, τοὺς δὲ μετὰ βοῆς ἐπιόντας κύμασιν· οἱ δὲ Τρῶες ὑπερέβησαν τὸ τεῖχος ὡς παφλάζοντα κύματα. εὐρυπόροιο δὲ μεγαλοπόρου, ἀναπεπταμένης, πλατείας· μείζονα γὰρ τὰ ἐν τῇ τοιαύτῃ θαλάσσῃ κύματα.

382. ὑπὲρ τοίχων] ὥσπερ ὅταν τὸ κῦμα γένηται τῶν τοίχων τῆς νεὼς ὑψηλότερον, οὕτως Τρῶες τοῦ τείχους.

385. ἵππους δ' εἰσελάσαντες] ἰδίωμά φησιν Ἀρίσταρχος γεγενῆσθαι περὶ τὴν μάχην. τῶν γὰρ Τρώων ἕως τοῦ τείχους γεγονότων οἱ Ἕλληνες ἐπὶ τῶν πρυμνῶν μάχονται· διὸ οἱ Τρῶες ὅπως ἀπὸ ἴσου βάλλοιεν ὕψους, ἀπὸ τῶν ἁρματείων δίφρων αὐτοὶ μάχονται, ὥστε ἀποστραφῆναι τοὺς ἵππους ὡς ἐπὶ τὴν Ἴλιον. ἔσονται δὲ καὶ οἱ ἡνίοχοι ὡς ἐπὶ τὴν πόλιν τετραμμένοι, τὰ δὲ νῶτα δόντες τοῖς πολεμίοις, οἱ δὲ παραβάται σκέποντες αὐτοὺς ἅμα καὶ μαχόμενοι· διὸ καὶ ὁ ἡνίοχος Πουλυδάμαντος Κλεῖτος κατὰ τὸν αὐχένα τέτρωται.

386. αὐτοσχεδόν] αὐτόθεν, ἐκ τοῦ σύνεγγυς τόπου· τὴν γὰρ σύνεγγυς ἀντίστασιν σχεδίην καλοῦσιν. ἐκπλήττων δὲ τὸν ἀκροατὴν ναυμαχίᾳ ἅμα ἱππομαχίαν κατέμιξεν.

389. ναύμαχα] παρὰ τὸ ναῦς γίνεται καὶ τὸ μάχη· ναυμάχος μὲν οὖν ὁ ἀνήρ, ὡς παμφάγος, ναύμαχον δὲ τὸ δόρυ. φασὶ δὲ μήπω γνωρίζεσθαι παρ' αὐτοῖς ναυμαχίαν. ὅπως δὲ μὴ βλάπτοιεν τοὺς ἀπὸ γῆς συμπολεμοῦντας, τοῦτο ἐπετήδευσαν, καὶ ἵνα μὴ ἀνταναχθῶσιν οἱ Τρῶες. κολλήεντα δὲ ὑπὸ βλήτρων δηλονότι· φησὶ γοῦν καὶ ἀλλαχοῦ (678) "κολλητὸν βλήτροισι." στόμα δὲ τὸ ἄκρον, παρὰ τὸ τμητικὸν εἶναι. δηλοῖ δὲ ὅτι οὐκ εἶχον κατ' ἄμφω τὰ μέρη σίδηρον· τοῖς γὰρ εἰς γῆν πηγνυμένοις καὶ σαυρωτῆρες ἦσαν. ταῦτα δὲ ἐπὶ τῶν νηῶν ἔκειτο.

390. Πάτροκλος δ'] ὅταν ἐπὶ τὰ ἄκρα ἀγάγῃ τὴν ποίησιν, τότε ταῖς μεταβάσεσι χρῆται συνεχῶς, τὴν προσοχὴν τῶν ἀκροατῶν ἐρευνῶν. μεταβαίνει οὖν ἐπὶ τὸν Πάτροκλον νῦν· ἐπὶ τούτῳ γὰρ καὶ

4. * τί] τὸ 14. * οἱ Τρῶες] οἱ om. 19. * Κλεῖτος] κλῖτος

διατρίβειν αὐτὸν παρὰ τῷ Εὐρυπύλῳ ᾠκονόμησεν, ὅπως ἐκ τῆς ὄψεως κινηθεὶς ἐντονώτερον Ἀχιλλέως δεηθῇ. πῶς δὲ ἐπιλαθόμενος Ἀχιλλέως τοσοῦτον διάγει χρονον; ἢ οὐ πολὺς μὲν ὁ χρόνος, τὰ δὲ γεγονότα ποικίλα ἐν ὀλίγῳ καιρῷ.

393. τὸν ἔτερπε λόγοις] εἰκότως· καὶ Μένανδρος γὰρ ἔφη ὡς "ἰατρός ἐστιν ὁ λόγος ἀνθρώποις νόσων· ψυχῶν γὰρ οὗτος μόνος ἔχει κουφίσματα," πρὸς τὸ μὴ συγκαταπίπτειν τῷ σώματι τὴν ψυχὴν, ἀλλ' ὑπερορᾶν τὸ βάρος τοῦ σώματος.

394. ἀκήματα] ἀκέσματα, θεραπεύματα.

402. σπεύσομ'] ταχυνῶ, ἐνεργῶς πορεύσομαι.

403. τίς δ' οἶδ'] δῆλός ἐστι κεχειρωμένος τοῖς λόγοις Νέστορος (Il. 11, 792), δι' ὧν αὐτοὺς ἐπὶ μνήμης ἄγει.

404. ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου] ἡ ἐξ ἑταίρου γινομένη παραμυθία ἀγαθὴ, οὐχ ἡ δυνάμει ῥητορείας. διὸ οὐδὲ Νέστωρ, ἀλλ' οἱ φίλοι ἐν ταῖς Λιταῖς πρεσβεύουσιν.

405. ὅτι οἱ πόδες αὐτὸν ἔφερον, οὐκ αὐτὸς τοὺς πόδας, σημείωσαι. ἢ ἀμφοτέρων μὲν ἡ ἐνέργεια, τὸ δὲ πλεῖον τῶν ποδῶν.

αὐτὰρ Ἀχαιοί] ἔδει τὸ ἑξῆς παραγαγεῖν ὅτι ὁ Πάτροκλος τῷ Ἀχιλλεῖ παρίστατο· ἀλλὰ τὸ διάστημα τῆς ὁδοῦ μέσην ἔχει τὴν μάχην. εἰκότως δὲ ἰσορροποῦσιν· οἱ μὲν γὰρ ἐλπίδι τοῦ νικᾶν, οἱ δὲ ἀπογνώσει σωτηρίας ἑστᾶσιν. οὐ τοῖς συμμάχοις δὲ αὐτοὺς ἐλάσσους εἶπεν Ἑλλήνων, ἀλλὰ μόνους. οἱ δὲ ἀντὶ τοῦ ἀσθενεστέρους.

410. στάθμη] πρὸς τὸ ἀκριβὲς τῆς ἰσότητος ἐν ἄλλοις μὲν τάλαντα ἕλκουσαν ἔλαβεν, ἀλλαχοῦ δὲ ζυγὸν καὶ μέτρα γῆς· νῦν δὲ ὑπὸ τέκτονος ἐμπείρου ἐξιθυνόμενον ξύλον πρὸς τὴν στάθμην. δυνατῶς δὲ πάντα φράζει. σημείωσαι δὲ ὅτι ἅπαξ ἐνταῦθα σοφίαν ὠνόμασεν, οὐ τὴν λογικὴν, ἀλλὰ τὴν τεκτονικὴν τέχνην· οἱ γὰρ παλαιοὶ πάντας σοφιστὰς ἐκάλουν, πλὴν οἱ νεώτεροι οὐκ ἠθέλησαν ταυτὸν τῇ γνώσει φέρειν καὶ ταῦτα ὄνομα. οἱ δὲ φιλόσοφοι φιλοσοφίαν εἶναι ὁρίζονται ἐπιστήμην θείων καὶ ἀνθρωπίνων πραγμάτων καὶ τῆς περὶ ἑκάτερον αἰτίας.

* στάθμη δέ ἐστι σχοινίον λεπτὸν ἐρυθρῷ ἢ μέλανι χρώματι κεχρισμένον.

412. ὑποθημοσύνησιν] διδασκαλίαις. τοῦ γὰρ νηΐου εἴ τις οὐκ ἀκριβώσει τὴν ἰσότητα, κινδυνεύει πάντως ἑτεροβαροῦς γινομένης τῆς νηός.

26. ὅτι—τέχνην] Scholion Aristonici.

413. ἐπὶ ἶσα] πῶς ἴσοι εἰσὶ τοσοῦτον πρότερον τῶν Τρώων ὑπερεχόντων; ἢ τάχα στάσει, οὐ δυνάμει· οἱ μὲν γὰρ ἀπὸ τῶν νεῶν, οἱ δὲ ἀπὸ τῶν ἁρμάτων. παρακελεύεται δὲ τῷ ἀκροατῇ ὁ ποιητὴς μείζω ἡγεῖσθαι τῶν λόγων τὰ ἔργα· ὡς ἔνια δὲ καὶ ὑπερβαίνων ὑπονοεῖν ἡμῖν αὐτὰ δίδωσιν.

415. ἐείσατο] ὥρμησεν. ἀκέσασθαι δὲ τὴν ἧτταν θέλει, ὑπὸ θεῶν φυσώμενος.

418. δαίμων] ἢ ὁ Ἀπόλλων ἢ ὁ Ζεύς. παρατήρει δὲ πάλιν τὴν προσθήκην, ὅτι τὴν ἐπὶ τὰς ναῦς παρουσίαν Ἕκτορος θεῷ ἀναφέρει.

426. περισσός ἐστιν ὁ πω. οὐ γὰρ προστάσσει νῦν μὲν μένειν, ὕστερον δὲ ὑποχωρῆσαι. στείνει δὲ τῷ μεταξὺ νεῶν καὶ τῆς τάξεως τῶν ἵππων στενῷ τόπῳ.

439. Ἀρίσταρχος τέκεσσι, κακῶς· οὐ γὰρ ἔχουσι παῖδας. ὅτι δὲ καὶ τοὺς γονεῖς οἱ παλαιοὶ ἐτίμων δῆλον ἀπὸ τοῦ λέγειν "μεμνῆσθαι πατέρος καὶ μητέρος." ὁμοπάτριος δὲ ὁ Τεῦκρος Αἴαντος.

441. ὠκύμοροι] οἱ ταχέως τὸν μόρον τοῖς εἰς οὓς ἐμπέσωσι τελειοῦντες.

ἡ τῆς τοξικῆς ἐμπειρία· οὐ γὰρ τόξον αὐτῷ παρέσχεν ὁ Ἀπόλλων, ἀλλὰ τὴν ἐκ τῶν τόξων ἐκηβολίαν.

449–451. ἀθετοῦνται οἱ τρεῖς. οἱ μὲν γὰρ ἐπίκουροι δεόντως ἂν λέγοιντο χαρίζεσθαι Ἕκτορι, ὡς Πάνδαρος "ἡγεόμην Τρώεσσι φέρων χάριν Ἕκτορι δίῳ" (Il. 5, 221)· ἀνοίκειον δέ φησιν ὁ Ἀρίσταρχος ἐπὶ πολίτου τὸ Τρώεσσι χαριζόμενος. καὶ διὰ τὴν πληγὴν ἀθετητέος ὁ στίχος. πῶς γὰρ ἡνίοχος ἂν ὄπιθεν βάλλεται; ἄτοπον γάρ ἐστι τὸ ἀπεστραμμένους εἶναι τοὺς δίφρους· ἐπρηνίσθησαν γὰρ ἂν οἱ παραβάται μόνον κινηθέντων τῶν ἵππων εἰς τὴν πτέρναν τοῦ δίφρου ἑστῶτες. ῥητέον δὲ ὅτι χαρίζεται τῷ Ἕκτορι καὶ αὐτὸς ἴσως ὡς ἐπίκουρος· Δαρδάνιος γὰρ ἦν. καθ' Ὅμηρον γοῦν ἄλλη ἐστὶν ἡ Τροία καὶ ἄλλη ἡ Δαρδανία. εἰκὸς δὲ αὐτὸν ἐπαινεῖν, ὅπου μόνος ἄνευ παραβάτου πολεμεῖ, διὸ καὶ βάλλεται ἴσως στραφείς· ποικίλη γάρ ἐστιν ἡ μάχη. αὐχένα δὲ ὁ ποιητὴς τὴν πᾶσαν περιφέρειαν τοῦ τραχήλου φησίν. ἀντιπρόσωποι οὖν ἐμάχοντο. εἰ δὲ λέγοις

14. Ἀρίσταρχος] *Ζηνόδοτος recte. 26. ὄπιθεν] * ὄπισθεν

"πῶς ὠρέγοντο ἀλλήλων, μεσολαβούντων τῶν ἵππων;" ὡς καὶ Διομήδης τὸν ἑπταπέλεθρον Ἄρεα τέτρωκεν.

454. Πουλυδάμας καὶ πρῶτος] ὁ ἄναξ τῶν ἵππων ἐναντίος ὑπήντησεν αὐτοῖς δίχα τοῦ ἡνιόχου ἀπιοῦσιν.

460. ἐξείλετο θυμόν] λείπει τὸ αὐτοῦ. τὸ δὲ Τεῦκρον ἀπηύρα ἀντὶ τοῦ Τεύκρου.

463. κατὰ μεταφορὰν τοῦ φοροῦντος. ἀφοπλίζει δὲ τοὺς ἀριστεῖς, φλέξαι θέλων τὰς ναῦς, νῦν μὲν Τεῦκρον, ἑξῆς δὲ Αἴαντα.

465. χαλκοβαρής] τὸ γὰρ χαλκωθὲν μέρος καταφέρεται τῷ βάρει.

467. ἐπὶ μήδεα κείρει] τὸ ἑξῆς ἐπικείρει, οἷον οὐκ ἐᾷ αὔξεσθαι.

471. Ζηνόδοτος πρῴην γράφει· ἀλλ' ἔμφασιν ἔχει πλείονος χρόνου τὸ πρῴην. τὸ δὲ πρώϊον σημαίνει πρωΐας. ἐν γὰρ τῇ κόλῳ μάχῃ ἐν τῇ πρὸ ταύτης ἡμέρᾳ ἐρράγη ὑφ' Ἕκτορος· ὥστε εὔλογον τῇ ἑξῆς ἡμέρᾳ πρωΐας ἐμβαλεῖν τὴν νευρὰν τῷ τόξῳ.

472. ταρφέας] οὓς συνεχῶς βάλλεις κατὰ τῶν πολεμίων· οὐ γὰρ τῶν ἰῶν ἐπίθετον. εὐψύχου δὲ τὸ ἀντιπαρατάσσεσθαι τῇ τύχῃ καὶ μὴ ἀπολήγειν πρὸς τοὺς κινδύνους.

477. μνησώμεθα χάρμης] οἷον μὴ προώμεθα τὴν μάχην, ἀλλὰ μᾶλλον ἔτι μνησθῶμεν αὐτῆς.

489. ἀναγκαίως τὸ διόθεν, ἵνα τοὺς μὲν ἐπιρρώσῃ, τοὺς δὲ περιδεεῖς καταστήσῃ. τῇ τῶν θεῶν οὖν ἐλπίδι ἀνεγείρει τὸν στρατόν. βλαφθέντα δὲ βεβλαμμένα τῆς τῶν τόξων χρήσεως.

490. ἡ νίκη ὅταν ἐκ θεοῦ γένηται, φανερά ἐστι, φησίν.

491. ὅτοισι] τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα· ἀπὸ γὰρ τοῦ ὅτοισίν ἐστιν.

492. ὅτινας] ἀπὸ τοῦ ὅτις ἀναφορικοῦ, ὃ καθ' ἓν μέρος λόγου ἐστίν

495. θάνατον καὶ πότμον] ἡ διπλῆ προφορὰ πρὸς τὴν τοῦ βλήμενος ἠὲ τυπείς διαβολήν.

496. τεθνάτω] οὐ κεκράτηκε τῆς συμβουλῆς παραινέσας ὑπὲρ πατρίδος κινδυνεύειν μὴ ἀναβάλλεσθαι, ἀλλὰ καὶ τὰ περὶ τῶν

13. κόλῳ μάχῃ] κολοβομάχῃ

29. In Ven. A. est ἡ διπλῆ ὅτι διαστέλλει τὸ βαλεῖν καὶ τύψαι. Quod pervertit scholiasta addito προφορά et διαβολήν scripto pro διαστολήν, nisi hic librarii error est.

οἰκείων εἰς πλείονα τίθησι ζῆλον. κάλλιον δέ φησι ταῦτα τοὺς νέους ἀναγινώσκειν Κράτης εἰς διέγερσιν· ὅρα δὲ πῶς ἐν βραχεῖ καὶ δυνατῶς καὶ κατὰ τάξιν πάντα ἔγραψε. ῥητορικῶς δὲ τὸ ἓν πρᾶγμα, τὴν πόρθησιν, εἰς πολλὰ κατεμέρισεν, ὡς καὶ τὸ "ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε πῦρ ἀμαθύνει, τέκνα δ' ἄλλοι ἄγουσι" (Il. 9, 593). καὶ Δημοσθένης αὔξων τὴν Μειδίου κακίαν φησὶ (p. 521) "καταδείσαντες γὰρ αὐτὸν καὶ τὸ τούτου θράσος καὶ τοὺς περὶ αὐτὸν ἑταίρους καὶ τὸν πλοῦτον καὶ τἆλλα δὴ ὅσα πρὸς αὐτόν, ἔφυγον ἐκποδών."

497. περὶ πολλοῦ γὰρ τὴν τῶν γυναικῶν ὕβριν ἐποιοῦντο καὶ τὰς ψυχὰς ὑπὲρ τῶν οἰκείων ἐτίθεντο.

καὶ παῖδες ὀπίσσω] ἠδύνατο μὲν εἰπεῖν καὶ νήπια τέκνα, ἀλλὰ τῷ σεμνοτέρῳ ὀνόματι τῶν παίδων χρῆται, παῖδας καλῶν τὴν πᾶσαν γενεὰν καὶ διαδοχήν. καλὴ δὲ καὶ ἡ προσθήκη τοῦ ὀπίσω, αἰωνίαν διαδοχὴν τοῦ γένους παριστᾶσα.

498. κλῆρος χωριτικὴ περίκτησις καὶ οὐσία, ἐπεὶ οἱ πρῶτοι καταλαβόντες χώραν κλήρῳ αὐτὴν διενέμοντο.

ἡ οὐσία, ὡς τὸ "τοὶ δὲ ζωήν τε καὶ ἐπὶ κλήρους ἐδάσαντο" (Od. 14, 208). εἰκότως δὲ πάντα ἐπεξεργάζεται, παραμυθίαν τῷ θανάτῳ ἐπιφέρων, ὡς ἀντιτιθεὶς αὐτῷ τὰ λυσιτελῆ.

500. μένος] τὴν προθυμίαν, παρὰ τὸ μένω. θυμὸν δὲ τὴν ψυχήν, ἢ αὐτὸν τὸν κυρίως θυμόν.

502. αἰδώς] λείπει τὸ γινέσθω. καλὴ δὲ παρ' Ἕλλησιν αἰδοῦς ὑπόμνησις, οὐ φόβος ἀπειλούμενος καὶ νεκρὸς ἄταφος, ὡς παρ' Ἕκτορι.

ἄρκιον] ὠφέλιμον, ἢ ἕτοιμον, ὃ καὶ ἄμεινον. οἱ δύο δὲ η̄ ἀντὶ τοῦ καί, οἷον καὶ σωθῆναι καὶ ἀπολέσθαι, σωθῆναι μὲν νικῶντας, ἀπολέσθαι δὲ μή, ἐπεὶ τοῦ δίχα νίκης σωθῆναι κρείττων ὁ θάνατος. οὐ μόνον δὲ ἔργοις, ἀλλὰ καὶ λόγοις ἀλλήλοις ἀνταγωνίζονται.

504. ἢ ἔλπεσθ'] ἦθος καὶ εἰρωνεία καὶ βάρος μεθ' ὑποκρίσεως αὐτοῦ τὰ ὡμολογημένα πυνθανομένου.

505. ἐμβαδόν] πεζῇ· ὅθεν εἰ μὴ πεζεύοιτο ἡ ὁδός, ἄβατος καλεῖται. ἢ τὸν ἐμβατήριον ῥυθμόν, πρὸς ὃν Λακεδαιμόνιοι νικῶντες εἰσβάλλουσιν.

15. * παριστᾶσα] παριστάς 16. χωριτικὴ] * χωρικὴ
33. * ῥυθμόν, πρὸς] πορθμόν, εἰς

506. ἢ οὐκ ὀτρύνοντος ἀκούετε] πάνυ ἐναργῶς ἀπὸ τοῦ ὑπογύως πραχθέντος τὴν προτροπὴν λαμβάνει.

507. ὃς δὴ νῆας] διόλου παραφυλακτέον ὅτι οὐκ ἀφίσταται τοῦ τῶν νεῶν κινδύνου· ἔσχατον γὰρ τοῦτον πάντων ἡγεῖται κίνδυνον.

508. χορόν] ἐνέργειαν τοῦ χορεύειν· ἐπικαλούμενος γὰρ "Τρῶες καὶ Λύκιοι" οὐκ εἰς χορὸν αὐτοὺς βοᾷ καλῶν.

509. οὔτις τοῦδε νόος] τὸν Αἴαντα νῦν ἄριστον σύμβουλον προήγαγε τοῦ πολέμου ἀναγκάζοντος· ἄπεστι μὲν γὰρ ὁ βασιλεὺς, ἱκανὸς καὶ εἰπεῖν καὶ πρᾶξαι τυγχάνων, ἄπεστι δὲ Ὀδυσσεὺς καὶ Διομήδης, τραυματίαι γενόμενοι· ὁ δὲ Νέστωρ γέρων καὶ τῶν νέων φευγόντων φαίνεται ἀδυνατῶν. τὸ δὲ αὐτοσχεδίῃ μετὰ τοῦ ῡ τινές. οὐδὲν δέ φησιν ἡμῖν ἐστὶ προτιμότερον ἢ χωρῆσαι εἰς χεῖρας.

511. *στρεύγεσθαι στραγγίζεσθαι, ταλαιπωρεῖν, κακοπαθεῖν. αἱρετώτερον καθ' ἕνα χρόνον ζῆν ἢ τεθνάναι συντόμως μᾶλλον ἢ περισσῶς κάμνειν ἐν πολυχρονίῳ μάχῃ οὕτως ὑπὸ χειρόνων πολεμουμένοις. τὸ δὲ καθ' ἕνα χρόνον ἀντὶ τοῦ ἐν ὀλίγῳ καιρῷ.

513. ὑπ' ἀνδράσι χειροτέροισι] ἀντὶ τοῦ ὑπὸ ἀνδρῶν ἡσσόνων. γενναίου δὲ τὸ κἂν ταῖς συμφοραῖς διαφυλάττειν τὸ φρόνημα, καὶ χείρους ἡγεῖσθαι καὶ νικῶντας τοὺς Τρῶας. ἅμα δὲ καὶ πρὸς ἐντροπὴν Ἑλλήνων, ὅτι ὑπὸ χειρόνων ἡττῶνται.

520. ὕπαιθα λιάσθη] εἰς τοὔμπροσθεν ἀνεχώρησεν· ἴσως γὰρ ἐκεῖνος ἐκ πλαγίου ὥρμησεν, ὁ δὲ ἐπὶ τὸ ἔμπροσθεν ὁρμήσας ἄπρακτον ἐποίησε τὴν βολήν.

536. κύμβαχον] τὸ διάκενον τὸ ὑπὲρ κεφαλῆς, ὅθεν καὶ κύμβια, τοιουτώδη ποτήρια. εἰς τοῦτο δὲ καθίεται ὁ λόφος. εἴρηται δὲ οὕτως, ὅτι τὴν κεφαλὴν κύμβην ἔλεγον, ὅθεν καὶ τὸ κυβιστᾶν. παρὰ δὲ Αἰολεῦσι κύμβη καλεῖται ἡ τῆς ῥάχεως ἀπὸ αὐχένος ἀρχή.

538. νέον φοίνικι φαεινός] φοινικῷ χρώματι νεωστὶ λελαμπρυσμένος.

539. ἤλπετο νίκην] ἑκάτερος αὐτῶν δηλονότι, οὐ μόνος ὁ τύψας.

540. τῷ Μέγητι δηλονότι. περισσὸς δέ ἐστιν ὁ δέ.

541. εὐράξ] οὐ τὸ ἐκ πλαγίου δηλοῖ, ἀλλὰ τὸ κατὰ τὸ ἔμπροσθεν, ἢ ὄπισθεν, παρὰ τὸ εὖρος.

ὦμον] τὸν δεξιὸν ὦμον· εὔλογον γὰρ τὸν Μενέλαον μὴ τὰ γυμνὰ

18. * συμφοραῖς] ἐπιφοραῖς

τοῦ σώματος ἔχοντα ἐναντία τοῖς ἐχθροῖς ἀνῃρηκέναι τὸν Δόλοπα, τὰ δὲ ὑπὸ τῆς ἀσπίδος ἐσκεπασμένα.

545. κασιγνήτοισι] συγγενέσιν· ἔτι γὰρ παρ' Ἴωσι τοὺς συγγενεῖς κασιγνήτους φασὶ καλεῖσθαι. ἢ τοῖς ἀδελφοῖς· πρὸ δὲ τῶν ἀδελφῶν τὸν Μελάνιππον ὠνείδισεν.

546. ἐνένισπεν] ἐπέπληξεν, ἀπὸ τῆς ἐνιπῆς, ἥ ἐστιν ἐπίπληξις.

553. οὕτω δὴ] ὃν τρόπον νῦν, φησὶ, μεθίεμεν, οὕτω μεθήσομεν καὶ οὐκ ἀντιληψόμεθα τῶν συγγενῶν.

555. ἡ περί πρὸς τὸ ἕπουσι· τὸ γὰρ ἕπω ἐν τοῖς ἐνεργητικοῖς κινήμασι παρὰ τῷ ποιητῇ προθέσει συντάσσεται.

556. ἀλλ' ἕπευ] ἀλλ' ἕπου· τῆς γὰρ πρὸς Ἀργείους, φησὶν, οὐκ ἀποστατέον μάχης, πρὶν ἢ κατακτείνωμεν ἢ ἐκεῖνοι ἡμᾶς ἑλόντες τὴν Ἴλιον πορθήσωσι. μέγας οὖν καὶ τελευταῖος ἀγὼν πρόκειται, ὥστε ἀναγκαῖον καὶ τὸν ἀκροατὴν τῷ ἀκμαιοτάτῳ τούτῳ μέρει τῆς ποιήσεως προσσχεῖν.

563. τῶν αἰδουμένων ἀλλήλους καὶ ἀγωνιζομένων πλείονες σώζονται ἤπερ φονεύονται· ἐπὰν δὲ φύγωσι, καὶ ἀδοξία καὶ ἀσθένεια αὐτοὺς καταλαμβάνει.

568. Ἀντίλοχον δ' ὤτρυνε — Μενέλαος] φαίνεταί τις αὐτοῖς ὑποῦσα φιλία διὰ τὴν γειτνίασιν· τὸ δὲ ὁμότροπον καὶ φιλικὸν ὀχυρὸν καὶ δυσκαταγώνιστον.

574. ἀμφὶ ἓ παπτήνας] τὰ περὶ ἑαυτοῦ σκοπήσας, μή τις αὐτὸν ἐξαλλόμενον τῶν ἄλλων βάλῃ, ὡς καὶ Ὀδυσσεύς. ὑπὸ δὲ αὐτοῦ, φησὶν, ἀκοντίσαντος διεχωρίσθησαν οἱ Τρῶες.

577. νισσόμενον πόλεμόνδε] οὐ νῦν πρῶτον ἐξιόντα, ἀλλὰ διὰ τὴν τροπὴν Ἕκτορος ἐπὶ τὸ δρᾶσαί τι ὁρμῶντα.

581. ἐτύχησε βαλὼν] ἔτυχε βαλὼν, τυχὼν ἔβαλε. τοσοῦτον δὲ Ἀντίλοχος μείζων Μελανίππου ὅσον νεβροῦ κύων. τὸ ἀδεὲς δὲ καὶ ταχὺ καὶ πρόθυμον τοῦ Ἀντιλόχου διὰ τοῦ κυνὸς δηλοῖ.

586. θηρὶ κακὸν ῥέξαντι ἐοικὼς] δαιμονίως τῇ παραβολῇ κέχρηται· καὶ γὰρ ἡ φυγὴ τούτῳ κατὰ πρόνοιαν, οὐ κατὰ δειλίαν γίνεται. καλῶς δὲ οὐκέτι παραβέβληται κυνί· οὐ γὰρ ἔδει τὸν ἥρωα φεύγοντα κυνὶ εἰκάζειν, ἀλλὰ λέοντι οὐ δεδιότι τοὺς ἐναντίους, ἀλλ' ἔφοδον πλειόνων ὑφορωμένῳ ἀγροίκων.

7. * νῦν] om. 9. * ἡ περὶ] ἡ ἐπὶ

594. θέλγε] ἐπὶ τὸ χεῖρον ἠπάτα. βασανίζει δὲ τὴν διάνοιαν τοῦ ἀκροατοῦ τὸν ἐμπρησμὸν προσδοκῶντος.

598. Θέτιδος δ' ἐξαίσιον ἀρήν] ἄδικον· τοὐναντίον γὰρ ἐναίσιμα τὰ καθήκοντα καὶ δίκαια. ἢ ὑπεραγόντως μεγάλην. ἀρὴν δὲ αἴτησιν· καὶ γὰρ ἡ εὐχὴ αἴτησις παρὰ θεοῦ τυγχάνει. ἢ τὴν καθ' Ἑλλήνων κατάραν· ὡς φιλέλλην δὲ λοιδορεῖ τὴν εὐχὴν Θέτιδος.

601. δὴ τοῦ] ἐπιστάμενος τοὺς ἀκροωμένους συναχθομένους τοῖς Ἕλλησιν, εὐέλπιδας ἀπεργάζεται τῇ τῆς μελλούσης νίκης προεκθέσει.

605. μαίνετο] ἐναργῶς ἐκινεῖτο τῷ σώματι. καὶ χαλεπὸν μὲν εἰς ἔννοιαν ἐλθεῖν καὶ σωφρονοῦντος Ἄρεως· ὁ δὲ καὶ τὸ μαίνετο προσέθηκε. καὶ οὐ μέχρι τούτου τὴν εἰκόνα ἵστησιν, ἀλλ' ἀφρίζειν αὐτῷ τὸ στόμα τρόπον φησὶ θηρίου, καὶ τὰ ὄμματα λάμπειν ὥσπερ ἐνθουσιῶντος.

*καὶ ἐν τῇ συνηθείᾳ δὲ ἐπὶ τῶν ὑπερβαλλόντων ἐν τοῖς ἔργοις κατ' ἀνδρείαν μαίνεταί φαμεν, μανίαν τὴν ἐνθουσιαστικὴν πρᾶξιν λέγοντες. καὶ Πλάτων δὲ διαιρῶν τὰς μανίας δείκνυσι τὰς ἀγαθάς τε καὶ θείας αἵτινές εἰσιν. ὁμοίως καὶ ἐπὶ τοῦ Διονύσου μαινόμενος εἴρηται, οὐ κατὰ βλασφημίαν, ἀλλὰ παραστατικῶς τῆς τοῦ θεοῦ κατὰ βακχείαν ὁρμῆς, φλέγοντος ἰσχυρῶς καὶ ἀκμάζοντος ἐρρωμένως ἐν τῇ τῆς χορείας καταστάσει.

607. ἀφλοισμός] ἀφρισμός κατὰ Αἰτωλούς· λαμβάνεται δὲ καὶ πεποιημένως ἐπὶ ἰδιώματος ὕδατος ἤχου.

610. ἀθετοῦνται ε', διὰ τὸ λέγειν ὅτι ὀλιγοχρόνιον αὐτὸν ἐτίμα, καὶ ὅτι ἀπ' αἰθέρος· ἀπὸ γὰρ Ἴδης ἦν. καὶ διὰ τοῦ μαρναμένοιο νοεῖται τὸ Ἕκτορος. ἔστι δὲ τὸ γάρ ἀντὶ τοῦ δέ. τὸ δὲ ὄνομα ἐπανείληπται πρὸς πλείονα ἔμφασιν· εἴωθε γὰρ θαυμάζων τινὰ τῶν ἔργων πολλάκις ἐπαναλαμβάνειν τὸ ὄνομα. τὸ δὲ ἀπ' αἰθέρος, ὅτι ὁ αἰθέριος Ζεύς· οὐ γὰρ ἀπὸ τῆς μερικῆς αὐτὸν, ἀλλ' ἀπὸ τῆς τελείας διατριβῆς ἐχαρακτήρισε. καὶ ἡ πρόληψις δέ ἐστι σχῆμα ποιητικόν. προσεκτικὸν δὲ ταῦτα τὸν ἀκροατὴν καὶ περιπαθέστερον ἐργάζονται. καὶ τοῦ λέγοντος ἦθος χρηστὸν, καὶ ὡς συναλγοῦντος ἡ πίστις.

618. ἠΰτε πέτρη] ἡ μὲν ἐμβολὴ τῶν βαρβάρων κύμασιν ἀεὶ εἴκασται, ἡ δὲ τῶν Ἑλλήνων καρτερία τῷ τῆς πέτρας ἀκινήτῳ καὶ δυσπαθεῖ.

11. * ἔννοιαν ἐλθεῖν] εὔνοιαν ἀνελθεῖν 16. ἀνδρείαν] ἀνδρίαν

619. ἠλίβατος] ψιλοῖ ἡ παράδοσις· παρὰ γὰρ τὸ ἀλιτεῖν ἐστὶ τοὺς ἐπιβαίνοντας αὐτῆς.

620. λιγέων] ἦχον ἀποτελούντων τῇ βίᾳ. κέλευθα δὲ τὰς ἐφόδους.

621. οἱ μὲν ἀκτῇ, οἱ δὲ αὐτήν, ὃ καὶ ἄμεινον, ἵν' ᾖ τὰ ὑπὸ θαλάσσης πρὸς αὐτὴν ἐξωθούμενα κύματα τὴν πέτραν.

623. λαμπόμενος πυρί] περιλαμπόμενος ὑπὸ τῶν ὅπλων ὡς ὑπὸ πυρός.

624. ἐν δ' ἔπεσ'] εὖ τὸ μὴ φάναι ἐπῆλθεν ἢ ἐπέδραμεν, ἀλλ' ἐνέπεσε, σφοδρὰν ἐμφαίνων τὴν βίαν εἰς ἐπίτασιν. πεπύκνωται δὲ ταῖς παραβολαῖς ὁ τόπος πρὸς ἔμφασιν τῶν πραγμάτων.

625. ηὐξημένον ὑπὸ ἀνέμου, ὡς εἶναι ὑποκάτω τῶν νεφῶν καὶ πλησιάζειν αὐτοῖς. οἱ δὲ ἀνεμοτρεφές φασι τὸ εὔτονον. ὁ δὲ κόμπος τῶν λεγομένων καὶ ὁ ψόφος τῶν ὀνομάτων οὐκ ἐᾷ ἰδεῖν τὴν ναῦν ἀφρῷ κεκαλυμμένην.

626. πᾶσάν φησι δηλονότι τὴν ναῦν τῷ ἀφρῷ τοῦ κύματος περικαλυφθεῖσαν ὑποκρυβῆναι.

δεινὸς ἀήτης] ἀρρενικῶς τὸ ἀήτης, ὡς τὸ "κλυτὸς Ἀμφιτρίτη" (Od. 5, 422). τινὲς κακῶς νοήσαντες θηλυκῶς ἐκφέρουσιν· ἡ γὰρ ἀρσενικὴ ἐκφορὰ ἐμφαντικώτερον τὸν λόγον ἀπεργάζεται καὶ τὸν ἄνεμον σφοδρότερον δείκνυσιν.

627. ἱστίῳ ἐμβρέμεται] προσλακτίζων αὐτῷ τῇ βίᾳ δηλονότι. ναῦται δ' εἶεν ἂν οἱ ἐπιβάται. τούτους γάρ τις καὶ βραχὺς κίνδυνος κλονεῖ· ἐπὶ τοὺς ναύτας δὲ φθάνων ὁ φόβος μέγεθος μεγίστου κινδύνου παρίστησιν.

628. τυτθὸν γάρ] τὸ τυχὸν γὰρ ἀπέχουσι τοῦ θανάτου. πρῶτος δὲ εἶπε τοῦτο Ἀνάχαρσις ὁ Σκύθης, ὃς ἐρόμενός τινα τῶν ναυτῶν πόσον ἀπέχομεν τοῦ ὕδατος, καὶ μαθὼν ὡς τέσσαρας δακτύλους, τοσοῦτον, φησί, καὶ τοῦ θανάτου. καὶ Ἄρατος (299) "ὀλίγον δὲ διὰ ξύλον."

629. ἐδαΐζετο θυμός] διεκόπτετο ἡ ψυχὴ ἀγωνιῶσα. πρὸς τὸ τελευταῖον δὲ τῆς παραβολῆς τὸ "τρομέουσι δέ τε φρένα ναῦται" τὴν ἀνταπόδοσιν ἐπήγαγε τῆς παραβολῆς.

1. * ἀλιτεῖν] ἀλγεῖν 18. * κλυτὸς] κλυτὸς δὲ
29. δὲ διὰ] δείδια

630. ὥστε λέων] πολλὰς ἤδη ἐφόδους λεόντων παρέλαβεν εἰς ὁμοίωσιν, νῦν δὲ ἐξεῦρέ τι καινόν· πρόκειται γὰρ πρωτόπειρος νομεὺς ἀνεπιστήμων τῆς πρὸς λέοντας μάχης. καὶ νεμομένας τὰς βοῦς παρέλαβεν, εἰκότως· οὐδὲ γὰρ Ἕλληνες ἐπὶ παρατάξεώς εἰσιν, ἀλλ' ἐσκεδασμένοι, ὥστε καὶ εὔκολον εἶναι τὴν ἐπιχείρησιν διὰ τὸ ἄτακτον.

631. εἱαμενῇ] καθύδρῳ τόπῳ. καὶ οἱ μὲν παρὰ τὴν ἄνεσιν καὶ ἀνάδοσιν τῶν λιβάδων· οἱ δὲ τοὺς τόπους ἀφ' ὧν τοῦ ὕδατος ὑπεκρυέντος πόαι γίνονται.

632. οὔπω σάφα εἰδώς] οὐ κατ' εὐτονίαν σώματος· οἷος γὰρ δήποτ' ἂν ᾖ, οὐ δύναται εἷς ὢν πολεμεῖν λέοντι· ἀλλὰ κατ' ἐμπειρίαν· ὁ γὰρ ἔμπειρος τῆς πρὸς τὸ θηρίον μάχης ἢ κύνας προσαφῆκεν ἢ λαμπάδας προσάγει.

633. ἕλικος] τὸ ἁπλοῦν ἀντὶ συνθέτου, ὡς καὶ Διονύσιός φησιν, ἀντὶ τοῦ εἰλίποδος. φονῇσι δὲ τῷ φόνῳ, ἢ τῷ τόπῳ ἔνθα πεφόνευται.

635. ὁμοστιχάει] συμπορεύεται. βάρβαρον δέ φησιν εἶναι αὐτὸ Διονύσιος.

639. *Κοπρῆος] οὗτος ἦν κῆρυξ τοῦ τῶν Ἀργείων βασιλέως, ὃς τὰς παρὰ Εὐρυσθέως ἐντολὰς ἔλεγε τῷ Ἡρακλεῖ τῶν ἄθλων ἕνεκα ἔξωθεν τῆς πόλεως μένοντι· δεδοικὼς γὰρ αὐτὸν οὐκ εἴα ἔνδον εἰσελθεῖν.

644. ὅς ῥα τόθ' Ἕκτορι] ὥστε οὐδὲ τοῦτο ἀφ' ἑαυτοῦ κατορθώσας φαίνεται ὁ Ἕκτωρ, τῇ δὲ τοῦ Περιφήτου δυστυχίᾳ συγκέχρηται· τὸ γὰρ πτῶμα συνέπραξε πρὸς τὸ εὐχερῆ γενέσθαι τὴν ἀναίρεσιν.

645. παραποδισθεὶς τῷ μήκει τῆς ἀσπίδος κατὰ τὴν ἄντυγα ὕπτιος κατηνέχθη. πάλτο δὲ ἀντὶ τοῦ ἐπελάσθη. ἐστράφη δὲ ὅπως φυλάξηται, συστείλας ἑαυτὸν ὑπὸ τὴν ἀσπίδα.

651. λείπει ἡ περί. τινὲς δὲ Αἰολικῶς τὸ πέρ ἀντ' αὐτῆς λαμβάνουσιν. ἀήθης δὲ Ὁμήρῳ ἡ τοιαύτη συναλοιφή.

653. εἴσωποὶ δ' ἐγένοντο νεῶν] ὑπέστειλαν ἑαυτοὺς ἐπὶ τὰς ναῦς καὶ ἐντὸς αὐτῶν αἱ ἄκραι νῆες ἔλαβον αὐτούς. εἰς γὰρ τὰ μεταξὺ διαστήματα φεύγουσι, βραχύ τι μέρος ὑπολειπόμενοι τῶν νεῶν, ὡς τὰς πρύμνας αὐτοὺς ὑποβεβηκέναι. οἱ δὲ, ὅτι ὑποχωρησάντων τῶν Ἑλλήνων ἐν ἀπόψει γέγονε τὸ πλῆθος τῶν νεῶν τοῖς Τρωσίν.

11. *ᾖ] ἔοι

656. τῶν πρωτέων] ἀπὸ τοῦ πρώτων. μέμφεται δὲ Διονύσιος· οὐ γὰρ τὸ πρώτων, φησὶ, περισπᾶται. παρὰ κλισίῃσι δὲ ὡς μετὰ τὰς πρύμνας τῶν πρώτων νεῶν παρεσκηνωμένων αὐτῶν πρὸς ταῖς πρῴραις. στρατὸν δὲ νῦν τὸ στρατόπεδον. αἰδὼς δὲ καὶ δέος, τὸ μὲν ἵνα μὴ φανῶσι κακοὶ, τὸ δὲ περὶ τῶν νεῶν. τὸ δὲ ἀζηχές ἢ λίαν σκληρῶς ἢ ἀδιαλείπτως.

*Πορφυρίου. διὰ τί οὐ τὰς πρώτας ναῦς ἐνέπρησαν οἱ Τρῶες "εἴσωποὶ δ' ἐγένοντο νεῶν, πέρι δ' ἔσχεθον ἄκραι;" πότερον ὅπως πλείστους ἀπὸ τῆς περιεχομένης διαφθείρωσιν, ἢ ὅπως μὴ διὰ πυρὸς ἀναχωρήσωσιν; ἢ ὅτι αὐτοῦ ἦσαν, ὧν ἤδη ἐντὸς ἦσαν.

662. ἄλλων ἀνθρώπων] τὴν ἐξ ἄλλων παρακολουθοῦσαν αἰσχύνην. πολὺς δὲ ὁ τῆς αἰδοῦς λόγος· καὶ ἀλλήλους φησὶν αἰδομένους καὶ τοὺς ἄλλους ἀνθρώπους. ταῦτα δὲ πρὸς διέγερσιν.

663. παίδων ἠδ' ἀλόχων] ἵνα μηδὲ ἐκείνοις ὄνειδος ἐπακολουθήσῃ δι' ὑμᾶς. καλῶς δὲ ἔχει ἡ προτροπὴ τέκνων καὶ γάμων ἀσφάλειαν, πλούτου φυλακὴν ἀναφαίρετον, γονέων ζώντων μὲν αἰδῶ, τεθνηκότων δὲ μνήμην. πρεπόντως δὲ τὰ περὶ τέκνων καὶ γυναικῶν οὐ τοῖς Αἴαντος ἐμφέρεται λόγοις, ἀλλὰ τοῖς Νέστορος· πατρὸς γὰρ ἐπέχει τάξιν. διήκει δὲ ἡ παράκλησις οἷς μὲν ὁλοτελῶς, οἷς δὲ μερικῶς.

665. τῶν ὕπερ] ἀντὶ τοῦ δι' αὐτῶν· ἵνα, φησὶν, οὕτω σπεύδητε ὡς ἐκείνους ὁρῶντες δεομένους.

668. ἀθετοῦνται στίχοι τρεῖς· οὐ γὰρ προδιεσάφησεν ὡς εἶχον ἀχλύν τινα. πόθεν δὲ καὶ ἡ Ἀθηνᾶ ἄφνω ἐφάνη νῦν, πρὶν συγκαθημένη τοῖς θεοῖς τοῖς ἄλλοις; εἰ μὴ λέγοις ὅτι σχῆμα ἐλλειπτικὸν ὃν δίδωσι νοεῖν τοῖς ἀκροαταῖς διὰ τούτου ὅτι ἠχλύωντο, ἡ δὲ Ἀθηνᾶ ἐδύνατο καὶ ἀποῦσα ἀφαιρεῖσθαι αὐτὴν, ὡς τὸ "εἰ μὴ ἐπὶ φρεσὶ θῆκ' Ἀγαμέμνονι πότνια Ἥρη" (Il. 8, 218)· οὐ γὰρ ἐκεῖ παρῆν.

670. ἠμέν] ἔδει ἐπαγαγεῖν ἠδέ, εἰ μή τί γε ὁ καί ἀντ' αὐτοῦ ἐστὶν, ἵν' ᾖ καὶ περὶ τῶν νεῶν καὶ περὶ τοῦ πολέμου.

674. οὐδ' ἄρ' ἔτ' Αἴαντι] οὐ μόνον γὰρ τοὺς ἄλλους, ἀλλὰ καὶ Αἴαντα ὁ Νέστωρ ἔρρωσε τῷ λόγῳ. ὅρα δὲ οἷόν ἐστιν ἡ κατὰ καιρὸν προτροπή.

1. * πρώτων] πρώτου πρωτέων   7. * Πορφυρίου] om.

676. ἴκρια] οἱ μὲν τὰ καταστρώματα, οἱ δὲ τὰ κατὰ πρῷραν καὶ πρύμναν σανιδώματα. ἢ τὰ ἐξέχοντα ἄκρα. ἢ τὰς καταγωγάς.

678. βλήτροισι] συμβλήμασι καὶ συνεμπλοκαῖς.

679. ὑφ' ἓν τὸ κελητίζειν· παραγωγὸν γάρ ἐστι παρὰ τὴν κέλητος γενικὴν, ἐπεὶ ἔδει κέληθ' ἵζειν. ἀδιανόητον δὲ τὸ ἵπποις κέλητα ἵζειν. ἔστι δὲ ἀναχρονισμός· οὐ χρῶνται γὰρ κέλησιν οἱ Ἕλληνες. ἡ δὲ παραβολὴ τὸ γενναῖον αὐτοῦ καὶ εὐσταθὲς δείκνυσιν, ἄλλοτε ἐπ' ἄλλην ναῦν μεταπηδῶντος ῥᾳδίως. ὁ μὲν εἷς οὖν ἐζευγμένος ἵππος κέλης ὠνόμασται, οἱ δὲ δύο ἅμιπποι, ὃ καὶ ξυνωρίς· οἱ δὲ τέσσαρες τέτρωρον καὶ τέθριππον.

680. ἐκ πολέων πίσυρας συναγείρεται] ἀντὶ τοῦ ἐκ πολλῶν τοὺς ἐπιτηδείους, οἷον ἀρίστους καὶ ἰσοταχεῖς συναγάγῃ ἐκλεξάμενος· κίνδυνος γὰρ ἐκπεσεῖν μεθαλλομένῳ ἀπὸ ἄλλου εἰς ἄλλον. οἱ δὲ συναείρεται, ἀντὶ τοῦ συζεύξει, ὡς τὸ "σὺν δ' ἤειρεν ἱμᾶσιν" (Il. 10, 499).

687. αἰεί] ἀντὶ τοῦ συνεχῶς. κατ' ἐκείνην δὲ τὴν ἡμέραν, ὡς τὸ "αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον" (Il. 23, 502).

690. ὥστ' ὀρνίθων] ἀπὸ καταφρονουμένου μὲν ζῴου τὴν παραβολὴν φέρει τοῖς Ἕλλησιν, ὡς καὶ ἀλλαχοῦ "τῶν δ' ὥστε ψαρῶν" (Il. 17, 755). ἀλλὰ καὶ παραμυθεῖται ἀντιτάσσων τὸν Δία. αἴθων δὲ θερμὸς, ἢ ξανθὸς, ἢ μέλας.

695. χειρί] λείπει τὸ ὡς. οἱ δὲ τῇ δυνάμει ἢ ἐκπληκτικὸν τὸ τῆς φαντασίας· ἡ χεὶρ τοῦ Διὸς μέχρι τῆς γῆς φθάνει θνητὸν ὠθοῦσα.

696. δριμεῖα] ὀξεῖα ἀπὸ τῶν ὀσφραντῶν· ὡς νῦν ἀρχὴν τοῦ πολέμου λαβόντος.

700. οὐκ ἔφασαν φεύξεσθαι] οὐ λέγει ὅτι ἀπεγνωκότες τῆς σωτηρίας ἐμάχοντο, ἀλλ' ὅτι ταύτην εἶχον τὴν διάνοιαν ὡς μέχρι θανάτου μαχησόμενοι ἢ φευξόμενοι. οἱ δὲ Τρῶες ἤλπιζον τὰς ναῦς ἐμπρήσειν καὶ κτεῖναι τοὺς Ἀχαιούς.

705. ἢ Πρωτεσίλαον ἔνεικεν] εὐπρεπῶς ἐπὶ τὴν τοιαύτην ναῦν ἤγαγε τὸν Ἕκτορα, ἧς οὔτε τὸν ἡγεμόνα μέμψασθαι ἐνῆν μὴ κωλύσαντα τὴν οἰκείαν ναῦν ἐμπιπραμένην (θανὼν γὰρ ἦν) τούς τε πολίτας συγγνώμης ἄν τις ἀξιώσαι εἰ ἀστρατήγητοι ὄντες ἀδυνάτως εἶχον ἐπιβοηθεῖν. ἵνα οὖν μὴ κατὰ ζῶντός τινος ἐπάξῃ τὸ ὄνειδος, τὴν Πρωτεσιλάου φησί. καὶ ὅτι κατὰ τὰς πύλας πρώτη ἦν.

709. ἀϊκάς τὰς ὁρμάς, ἀπὸ τοῦ ἀΐσσω. τόξων δὲ τῶν τοξευμάτων. ἀμφὶς δὲ χωρὶς ἀλλήλων, ἢ ἀντὶ τοῦ περιέμενον, ὡς "Κρόνον ἀμφὶς ἐόντες" (Il. 14, 274).

711. ἀθετεῖ Ἀρίσταρχος· ἐπιφέρει γάρ, φησί, περὶ ξιφῶν. φασὶ δὲ ὅτι πληθύνει τὰς τῶν ὅπλων φωνὰς διὰ τὸ φαντάζειν τὸν ἀκροατήν.

713. μελάνδετα] σιδηρόδετα, ἐπεί φησιν Ἡσίοδος (Ο. 151) "μέλας δ' οὐκ ἔσκε σίδηρος." οἷον ἐκ σιδήρου τὰς λαβὰς ἔχοντα δεδεμένας· τὴν δὲ λαβὴν δεσμὸν καλεῖ ὁ Σιμωνίδης. οἱ δὲ ἐπιμελῶς ἐνδεδεμένα ὡς πρὸς τὴν λαβήν.

714. ἐκ χειρῶν] σὺν ταῖς χερσὶν ἀποκοπτόμενα, ἄλλα δὲ σὺν ὤμοις· γελοῖον γὰρ τὸ οἴεσθαι ἀπὸ τῶν ὤμων ἐκπίπτειν τὰς μαχαίρας.

717. ἄφλαστον] οὐ τὸ ἀκροστόλιον, ἀλλὰ τὸ ἐπὶ τῆς πρύμνης εἰς ὕψος τεταμένον ἐκ κανονίων πλατέων, διήκοντος δι' αὐτοῦ πλατέος κανονίου, θρανίτου μὲν ὠνομασμένου, ὑπηρεισμένου δὲ τῷ στυλίσκῳ τῷ ὄπιθεν τοῦ κυβερνήτου. κρέμανται δὲ ἐκ τῶν κανονίων καὶ τοῦ θρανίτου τὰ ἡνία. ἀκροστόλιον δὲ τὸ ἀπὸ τῆς πτυχῆς ἀνατεῖνον ἐπὶ πρῷραν ξύλον· πτυχὴ δέ ἐστιν ὅπου ζωγραφοῦνται οἱ ὀφθαλμοὶ καὶ τὸ τῆς νηὸς ἐπιγέγραπται ὄνομα. τινὲς δὲ τὸ ἄφλαστον ἐπιρρηματικῶς γράφουσιν, ἵν' ᾖ τὸ ἄμφω ταῖς χερσὶν ἐπεστραμμένως ἐπειλῆφθαι τῆς νηός.

719. νῦν ἡμῖν] ἀντὶ τοῦ πάντων πόνων ἰσόρροπον ἡμέραν ὁ Ζεὺς ἐχαρίσατο.

720. θεῶν ἀέκητι] ἄδηλον πότερον παρὰ γνώμην θεῶν μολοῦσαι, ἢ ἡμῖν πήματα θέσαν θεῶν ἀέκητι.

κακότητι] ἀβουλίᾳ. τὸ δὲ ἴδιον ἀσθενὲς τοῖς γέρουσι περιάπτει· οὐ γὰρ ἤθελεν ἐξιέναι δι' Ἀχιλλέα.

728. ἀνεχάζετο] ὅπως τῷ μεγίστῳ χρήσηται δόρατι, οἰόμενος μᾶλλον ἀποθανεῖν ἢ παραχωρήσειν Ἕκτορι.

729. τὴν τῶν κωπηλατῶν καθέδραν, ἢ τὴν τοῦ κυβερνήτου. Ἀττικοὶ δὲ θρᾶνον τὸ τοῦ κωπηλάτου φασί, καὶ θρανίτας αὐτούς.

735. ὅμοιος τῷ πρώην ὁ λόγος, τὸ μὲν ἐρωτήσεως ἔχων, τὸ δὲ ἀποφάσεως. λέγει δὲ ὅτι ἆρα ἐλπίζομεν ἥξειν ἐπικούρους μετὰ ταῦτα; οὐδαμῶς.

7. Addidi Ἡσίοδος   17. πτυχῆς—πτυχή] πτύχης—πτύχη
31. * θρανίτας] θράνητας

738. ἑτεραλκέα] ἑτεραλκούμενον ἔχοντες τὸν ἴδιον δῆμον. οἱ δὲ, τὸν ἀπὸ τῆς πόλεως δῆμον ἔχοντες ἑτέραν ἡμῖν ἀλκὴν περιποιοῦντα. πάντα δὲ εἰρωνικῶς.

740. κεκλιμένοι] προσερηρεισμένοι καὶ προσανακείμενοι· συνέσταλται δέ. ἐμφαντικῶς δὲ πάντα πέφρασται.

741. σὺν τῷ ῑ τὸ μειλιχίῃ· τὸ γὰρ ἑξῆς τοιοῦτον, διὸ τὸ τοῦ πολέμου φῶς ἡμῖν ἐν ταῖς χερσὶν, οὐκ ἐν τῇ μειλιχίᾳ ἀπαντήσει, ἵν' ᾖ οὕτως· τὸ τοῦ πολέμου φῶς ἐν χερσὶν, οὐκ ἐν προσηνείᾳ πολέμου· εἰ δὲ χωρὶς τοῦ ῑ τὸ μειλιχίη, οὕτως ἐξηγητέον· οὐκ ἔστι προσήνεια οἰκεία πολέμου, ἵν' ᾖ τὸ ἡμιστίχιον γνωριμώτερον.

διὸ ἐν ταῖς χερσὶν ἡμῶν καὶ τῷ μάχεσθαι ἡ σωτηρία, οὐχὶ ἐν τῷ μειλιχίους ἡμᾶς καὶ πράους εἶναι τοῖς πολεμίοις, ὅ ἐστιν, οὔ τις περὶ τὸν πόλεμον φιλανθρωπία.

742. ἔφεπ' ἔγχεϊ] καίτοι πολέμιον ἔχων Δία.

ΕΙΣ ΤΗΝ Π.

1. οἱ μέν] οὐ περὶ Ἕκτορος καὶ Αἴαντος ποιεῖται τὸν λόγον, ἀλλὰ περὶ ἀμφοτέρων τῶν στρατευμάτων· οἱ μὲν γὰρ ὡς ἀρχηγὸν πονηρῶν ἔργων ἀπολέσθαι θέλουσιν, οἱ δὲ καὶ μετὰ θάνατον χάριν εἰδότες τῷ δεσπότῃ σῶσαι τὴν ναῦν προῄρηνται. ὡς μέλλων δὲ ἑτέρων μεγάλων ἐνάρχεσθαι πραγμάτων, παραγραφὴν ἐνέβαλε τὸν στίχον. ἔστι δὲ τοιαῦτα πολλὰ παρ' Ὁμήρῳ· "ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον" (Il. 9, 1)· "ὣς οἱ μὲν μάρναντο" (Il. 11, 596)· "ὣς ὁ μὲν ἐν κλισίῃσιν" (Il. 12, 1)· "ὣς οἱ μὲν στενάχοντο·" "ὣς ὁ μὲν ἔνθ' ἠρᾶτο" (Od. 7, 1)· ἡ δὲ περί ἀντὶ τοῦ ἕνεκα ἀντιφράζεται· δηλοῖ δὲ καὶ τὴν ὑπέρ, ὡς τὸ "λεπτὸν καὶ περίμετρον" (Od. 2, 95), καὶ τὸ περισσῶς· "τὴν περὶ κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ" (Il. 13, 430).

ἐϋσσέλμοιο] σέλμα ἐστὶ τὸ μεταξὺ τῶν σανιδωμάτων, ὃ σελὶς καλεῖται καὶ καθέδρα ἐστὶ τοῦ ἐρέτου. ἀπὸ δὲ τοῦ σέλμα εὔσελμος. γέγονε δὲ παρὰ τὸ σέλλω, τὸ σημαῖνον τὸ ὁρμῶ. ἐξ οὗ καὶ ὅλμος ὁ μεθ' ὁρμῆς ῥιπτούμενος λίθος. οἱ δὲ καλὰ σπάρτα ἐχούσης· σελμὶς γὰρ λέγεται τὸ σπάρτον.

1. ἑτεραλκούμενον] * νικώμενον 30. * σέλλω] σέλω

3. ἡ βαθύυδρος, ἢ κατὰ τοὺς φυσικοὺς μέλαν ἐστὶ τὸ ὕδωρ. εἰκότως δὲ ὁ πρᾶος Πάτροκλος κλαίει, τὰ μὲν ἀκοῇ, τὰ δὲ ὄψει τῶν δεινῶν ἐπισκοπήσας. διὸ οὐδὲ φθέγξασθαί τι οἷός τέ ἐστι, συγκεχυμένος ὑπὸ τῶν δακρύων, ἀλλὰ σιωπῶν ἵσταται, διὰ τοῦ σχήματος τὸν ἔλεον ἐπαγόμενος.

4. αἰγίλιπος] ὑψηλῆς, ἧς καὶ αἶγες ἀπολείπονται διὰ τὸ ὕψος· ἐλαφρὰ δὲ ἔχουσι καὶ νευρώδη σκέλη αἱ αἶγες. οἱ δὲ καθύγρου καὶ λιπαινούσης τὰς αἶγας. ἀθρόων δὲ ἔκχυσιν δακρύων παριστᾷ καὶ κατὰ πετρῶν φησὶ ῥεῖν τὴν κρήνην· τὰ γὰρ ἀφ' ὑψηλῶν φερόμενα ὕδατα σφοδροτέραν ἔκχυσιν ἐμφαίνει.

7. ἠΰτε κούρη] πᾶσαν ἡλικίαν εἰσαγαγὼν ὁ ποιητὴς, γερόντων νέων ἐφήβων, ἐπεὶ καὶ βρέφος εἰσήγαγε τὸν Ἀστυάνακτα, θήλειαν οὐ δυνάμενος εἰσαγαγεῖν διὰ παραβολῆς τὸ λεῖπον πρόσωπον ἀνεπλήρωσε, καὶ λαβὼν εὐτελὲς πρᾶγμα μεγαλοπρεπῶς καὶ μετ' ἐναργείας αὐτὸ ἐκφέρει. δεκτέον δὲ τὴν μητέρα χερνῆτιν, σπεύδουσαν "ἵνα παισὶν ἀεικέα μισθὸν ἔληται" (Il. 12, 435) καὶ οὐ θέλουσαν αὐτὴν ἀνελεῖν· κατὰ γὰρ Ἡσίοδον "χαλεπὴ ὑπόπορτις ἔριθος" (O. 601). ἄτοπος δὲ ἔσται αὐτὸς μὲν ἕνεκα παλλακίδος κλαίων, τὸν δὲ Πάτροκλον κόρην καλῶν ἐπὶ τοιούτοις δακρύοντα δεινοῖς. ἴσως οὖν αὐτὸν ἐπίτηδες ἐταπείνωσε, παύων τῆς ἱκετείας. ὅπως δ' ἄν τις ἤθους ἔχοι, τοὺς πέλας ψέγει. οἱ μὲν σκληροὶ τοὺς ἐπιεικεῖς καὶ πράους γυναιξὶν εἰκάζουσιν· οἱ δὲ ἐπιεικεῖς τοὺς στερεοὺς ἀγρίους καὶ ἀνημέρους φασί. οὐκ ἠρκέσθη δὲ τῷ κούρη, προσέθηκε δὲ καὶ τὸ νηπίη, προανελεῖν αὐτοῦ θέλων τῇ αἰδοῖ τὴν δέησιν.

8. ἅμα μητρὶ θέουσ'] οὐχ ἅμα ἐκείνῃ θεούσῃ καὶ αὐτὴ συνθεῖ, ἀλλὰ προσυπακουστέον τῷ μητρί τὸ βαδιζούσῃ, ὅπως συνεξανύῃ θέουσα ἡ κόρη. καλῶς δὲ τὸ ἀνώγει· αἱ γὰρ τῶν βρεφῶν ἀξιώσεις τοῖς κελεύσμασιν ἐοίκασιν.

9. εἱανοῦ] τοῦ ἐνδυτηρίου πέπλου. καὶ ἐν ἄλλοις "πέπλον μὲν κατέχευεν ἑανόν" (Il. 5, 734). σημειωτέον δὲ ὅτι καὶ ἐπὶ εὐτελοῦς πέπλου. δηλοῖ δὲ καὶ τὸ λαμπρόν· "ἑανοῦ κασσιτέροιο" (Il. 18, 613). ἁπτομένη δὲ τὸ ἐπισπωμένη, ὡς τὸ "πρύμνης νεὸς ἥψατο" (Il. 15, 704). δηλοῖ δὲ καὶ τὸ καθικνεῖσθαι, ὡς τὸ "ἅπτηται κατόπισθεν" (Il. 8, 339). ὅθεν καὶ καθάπτεσθαι τὸ διὰ λόγων καθικνεῖσθαι.

3. * οὐδὲ] οὔτε   25. θεούσῃ Bekkerus] συνθεούσῃ

10. ὄφρ'] ἵνα ᾖ ἕως· προσλιπαροῦσι γὰρ ἄχρις ἂν οὗ βούλονται τύχωσιν.

12. πιφαύσκεαι] προορᾷς, προσημαίνεις. εἰρωνευόμενος δὲ ταῦτά φησιν· ἐπίσταται γὰρ περὶ οὗ κλαίει, καὶ τελευταῖον τοῦτο ἐπιφέρει "ἠὲ σύ γ' Ἀργείων ὀλοφύρεαι ὡς ὀλέκονται;"

16. τῶν κε] περὶ ὧν ἂν, οὐχὶ ἑκάτερος περὶ τοῦ ἰδίου, ἀλλὰ περὶ τῶν ἀλλήλων· τοῦτο γὰρ τὸ δεῖγμα τῆς τελείας καὶ ἀληθοῦς ἀγάπης τῶν φίλων.

καλὸν διάταγμα πῶς χρὴ περὶ γονέας ἔχειν, καὶ ὡς ἡ τούτων τελευτὴ πάντων ἔσχατόν ἐστι κακόν.

17. Ἀργείων] ἠθικῶς πάνυ καὶ ἐπὶ τοῦτο ἧκε τελευταῖον, καίτοι γε ἀκριβῶς εἰδὼς τὴν πρόφασιν τῶν δακρύων. ἅμα δὲ καὶ ὡς ἤδη μετατεθεὶς τὴν γνώμην εἰς τοὺς περὶ Ἑλλήνων προκαλεῖται λόγους· διὰ τοῦτο γὰρ αὐτὸν καὶ ἀπεστάλκει πρὸς Νέστορα.

18. ὑπερβασίης] τῆς παραβάσεως τοῦ δικαίου. λεληθότως δὲ ὑπεραπολογεῖται, ὡς ἀδικηθεὶς ὤργισται.

21. ὁμιλητικὴ ἡ ἀρχὴ καὶ θεραπεύουσα φιλότιμον ἄνδρα. ὁ δὲ λόγος φιλικὴν ἔχει δέησιν, ἔλεον ἀτυχούντων, ἐπίπληξιν ἀπηνείας, μεγάλου ἔργου καὶ ῥᾳδίως ἀνυσθησομένου ἐλπίδα.

22. μὴ νεμέσα] λείπει τὸ δεδακρυμένῳ. κλαίοντί μοι, φησὶ, μὴ μέμφου· εὐλόγως γὰρ ἐπὶ τοῖς Ἑλληνικοῖς ἀτυχήμασι τοῦτο πράττω.

25. τῷ μὲν καταλόγῳ τῶν τραυματιῶν ἐκπλήσσειν αὐτοῦ τὴν διάνοιαν οἴεται, οὐ προτάττει δὲ Ἀγαμέμνονα, ἵνα μὴ προήσηται τὴν ἔντευξιν ἐπὶ τῷ ὀνόματι χαλεπήνας ὁ Ἀχιλλεύς. ἀλλ' οὐδὲ ἔσχατον· δέος γὰρ ἦν μὴ τῇ τοῦ ὀνόματος μνήμῃ ἀνανεύσῃ πρὸς τὸ παρόν. διὸ εἰς μέσην αὐτὸν ἔταξε χώραν. πρῶτον δὲ Διομήδην, πρὸς ὃν μάλιστα δυσχεραίνει λέγοντα ὡς "μὴ ὄφελες λίσσεσθαι" (Il. 9, 698)· εἶτα Ὀδυσσέα φίλον ὄντα καὶ χθὲς ὁμώροφον γεγονότα. Εὐρυπύλῳ δὲ δέδωκε τὴν ἐσχάτην τάξιν. ὡς δὲ ἐκταραχθεὶς ἐξελάθετο Μαχάονος, δι' ὃν καὶ ἐπέμφθη. τάχα δὲ σιωπᾷ τὸν Μαχάονα, ὑποφαίνων ὡς τούτων αὐτόπτης γεγονὼς οὐδὲ συνέτυχε Νέστορι, ἵνα μὴ δοκῇ ταῦτα παρ' ἐκείνου ἀκηκοὼς λέγειν. τινὲς δὲ ἤθελον μὴ τετρῶσθαι Μαχάονα, δι' ὧν οὐ θεραπεύεται. οἱ δέ φασιν ὡς ἔθος

28. μὴ] μὴδ

Ὁμηρικὸν, περὶ ὧν τις πεμφθῇ, μὴ παλιλλογεῖν περὶ αὐτῶν. δαιμονίως δὲ ἐπαίρει τὸν Ἀχιλλέα, τὴν πᾶσαν σωτηρίαν τῶν Ἑλλήνων αὐτῷ ἀνατιθεὶς, καὶ διδάσκων ὅτι οὐδὲν ὤνησαν τοὺς Ἀχαιοὺς οἱ ἄλλοι ἀριστεῖς, ἀλλὰ κεῖνται τετρωμένοι.

27. κατὰ μηρόν] ἀντὶ τοῦ ἐπὶ τὸν μηρὸν, ὡς τὸ "νύξε δέ μιν κατὰ χεῖρα" (Il. 11, 252). ἔστι δὲ καὶ ἀντὶ τῆς ἐξ, ὡς τὸ "βῆ δὲ κατ' Οὐλύμποιο καρήνων" (Il. 1, 44).

28. ἡ ἀμφί πρὸς τὸ τοὺς, ἵν' ᾖ ἀμφὶ μὲν τούτους. ὅτι δὲ κατὰ ἔθνος ἰατροὶ ἦσαν, δῆλον ἀπὸ Ἰδομενέως· "ὁ δ' ἰητροῖς ἐπιτείλας" (Il. 13, 213). τοῦτο δὲ λέγει αὔξων τὸ δεινόν· οὐδένα γὰρ ἐν πολέμῳ περιοδεύοντα εἶδεν. πολυφάρμακοι δὲ οὐχ οἱ ἑκάστης νόσου φάρμακα ἔχοντες, ἀλλ' οἱ ἑκάστῃ νόσῳ ποικίλας προσάγοντες θεραπείας.

29. ἀμήχανος] ἀπροσμηχάνητος, πρὸς ὃν οὐκ ἔστι μηχανὴν εὑρεῖν. ἐκείνους μὲν γὰρ, φησὶν, ἰάσονται οἱ ἰατροί· σὺ δὲ ἔοικας ἀνίατος εἶναι τὴν ψυχήν.

30. μὴ ἐμέ] καλῶς διὰ τῆς εἰς ἑαυτὸν εὐχῆς ἀπέστρεψε τὸν Ἀχιλλέα τῆς νόσου. ἀντιμετείληφε δὲ τὴν μῆνιν εἰς τὸ χόλος. ἢ τάχα ἐφ' ἑαυτοῦ εὔξατο μὴ κατὰ τὸ τυχὸν ἐμπεσεῖν εἰς χόλον, πόσῳ δὲ μᾶλλον εἰς μῆνιν.

31. αἰναρέτη] σύνθετόν ἐστι παρὰ θηλυκὸν, ὡς τὸ ὑψαγόρη μισογύνη, ὅπερ ἀγνοοῦντες γράφουσιν αἰναρέτης, ἵν' ᾖ ὁ χόλος ὁ πολέμιος καὶ ἐχθρὸς ταῖς ἀρεταῖς. ἡ δὲ δίχα τοῦ σ̄ ἀνάγνωσις Ἀρισταρχειός ἐστι, καὶ ἔστιν εἰς αἰνὸν χρώμενε τῇ ἀρετῇ, εἰς ὄλεθρον, οὐκ εἰς σωτηρίαν. δι' ἑνὸς δὲ ὀνόματος ἔπαινον ἔμιξε καὶ ψόγον· ὅτι μὲν γὰρ ἔχει ἀρετὴν, φησὶν, ὅτι δὲ οὐκ ἐπ' ἀγαθῷ τῶν φίλων, διαβάλλει.

τίς σευ ἄλλος ὀνήσεται ὀψίγονός περ] γίνεται γὰρ ἐκ τοῦ ζήλου καὶ ἐκ τῆς μιμήσεως τῶν παλαιῶν ὠφέλειά τις. ὅθεν καὶ Νέστωρ τὰς οἰκείας διηγεῖται πράξεις, ζῆλον ἐντιθεὶς τοῖς ἀκούουσιν.

33. οὐκ ἄρα σοί γε] οὐκ ἦν, φησὶν, ὡς ἔοικέ σοι πατήρ. προαιτησάμενος δὲ συγγνώμην διὰ τοῦ δακρύειν πικρότερον ἅπτεται τῶν ἐγκλημάτων· τοιαῦτα γὰρ τὰ τῶν φίλων, καὶ μᾶλλον ὅταν πρὸς κρείσσους παρρησιάζωνται.

34. γλαυκὴ δέ σ' ἔτικτε θάλασσα] διὰ τὸ σκυθρωπὸν καὶ

8. τοὺς Bekk.] τούτους Schmidt. Didym. p. 158.
22. αἰναρέτης] αἰν' ἀρετῆς M. 25. δι' ἑνὸς δὲ addidit Bekkerus.

δύσχρουν καὶ ἀπαραίτητον τῆς θαλάσσης, καὶ μάλιστα ἐν χειμῶσι. καὶ τοὺς ἀπηνεῖς δὲ Κύκλωπας καὶ Λαιστρυγόνας Ποσειδῶνός φασι. γλαυκὴν δὲ ἅπαξ εἰπόντος αὐτὴν Ὁμήρου, Ἡσίοδος ἀντὶ κυρίου αὐτὸ ἐξέλαβεν. ὅρα δὲ πῶς αὐτὰ τὰ δυσχερῆ δοκοῦντα πρὸς τὰς τῶν γονέων ἁρμόζουσιν οἰκήσεις· ὁ μὲν γὰρ οἰκεῖ τὸ Πήλιον ὄρος, ἡ δὲ τὴν θάλασσαν.

36. εἰ δέ τινα] ἐρεθιστικῶς ταῦτα τῷ φιλοδόξῳ φησὶ, πρὸς ὃ μάλιστα δηχθεὶς ἀπολογεῖται ὡς οὐ δέει θανάτου τὸ λιποτάξιον πεποίηται.

37. Θέτις καταναγκασθεῖσα ὑπὸ Διὸς Πηλεῖ γαμηθῆναι τὰ γεννώμενα παιδία εἰς πῦρ ἔβαλλε, νομίζουσα τὰς θνητὰς τῷ πυρὶ σάρκας καταφλέξειν, τὸ δὲ ἀθάνατον διαφυλάξειν. οὕτως ἓξ παῖδας διέφθειρεν. ἕβδομον δὲ γενόμενον Ἀχιλλέα ὁμοίως εἰς πῦρ βάλλει· θεασάμενος δὲ Πηλεὺς ἀφήρπασε τὸν παῖδα, καὶ ἐνεγκὼν εἰς τὸ Πήλιον ὄρος τρέφειν παρέδωκε Χείρωνι. ὁ δὲ λεόντων καὶ ἄρκτων μυελοῖς τρέφων ἐκάλεσεν Ἀχιλλέα· διδάξας δὲ τὴν ἰατρικὴν τέχνην καὶ λυρικὴν καὶ μουσικὴν ἀπέδωκε τῷ πατρί. ἀγανακτήσασα δὲ Θέτις καὶ καταλιποῦσα τὸν Πηλέα ἐχωρίσθη εἰς θάλασσαν. στρατευομένῳ δὲ Ἀχιλλεῖ ἐπὶ Ἴλιον προεῖπεν ὅτι πολεμῶν μὲν Τρωσὶ ζωὴν ὀλιγοχρόνιον κτήσεται, πλείστην δὲ τὴν δόξαν, ἀπεχόμενος δὲ τῆς μάχης ἄδοξον μὲν βίον, πολυχρόνιον δὲ διάξει. ἃ μαθὼν ὁ Ἀχιλλεὺς, δόξαν αἰώνιον ζωῆς προσκαίρου προκρίνας, ἐστράτευσεν. ἡ ἱστορία παρὰ Λυκόφρονι.

41. ἴσκοντες] ὁμοιοῦντες. οἱ δὲ νεώτεροι ἐπὶ τοῦ λέγοντος τάττουσι τὴν λέξιν. καλῶς δὲ καὶ λίαν ἐντέχνως, ὀνειδίσας δειλίαν, ἐγγὺς τέθεικε τὸ τῆς ὑπεροχῆς, εἰ καὶ μόνη φαντασία Ἀχιλλέως ἱκανὴ τρέψασθαι τοὺς πολεμίους.

43. ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο] ἡ περιλειπομένη αὐτοῖς τοῦ πολέμου ἀναπνοὴ μικρά ἐστιν· ἔτι γὰρ ὅσον καὶ ἀπολώλασι· δεῖ οὖν ταχὺ ἐπιβοηθῆσαι. ἢ καὶ οὕτως· ὀλίγον ἐστὶ δι' οὗ ἀνάπνευσις πολέμου γίνεται, ἵνα κατασκευάζῃ ὅτι ἐκείνους μὲν μέγα ὠφελήσομεν, αὐτοὶ δὲ ὀλίγον πονήσομεν. καὶ ἔσται σύμφωνον καὶ τὸ ἐπιφερόμενον, τὸ "ῥεῖα δέ κ' ἀκμῆτες·" δεῖ γὰρ ἐπὶ τελευτῇ τοῦ λόγου καὶ ῥάστην τὴν βοήθειαν ἀποδεῖξαι, ἵνα καὶ διὰ τούτου προτρέψηται.

8. λιποτάξιον] λειποτάξιον
12. * καταφλέξειν—διαφυλάξειν] καταφλέξαι—διαφυλ^{α}

46. μέγα νήπιος] ὡς ἀνεννόητος τῶν μελλόντων. αἱ δὲ προαναφωνήσεις αὗται τὸν ἀκροατὴν ἐπαίρουσιν, ἤδη προσδοκῶντα τὸ δεινόν.

47. λιτέσθαι] ἐχρῆν μὲν αὐτὸ προπαροξύνεσθαι· ἐνεστῶτος γάρ ἐστιν, ὡς καὶ τὸ νοητὸν ἀπαιτεῖ. ὅμως ἡ παράδοσις παροξύνει· ἐνεστῶτος γὰρ ὂν ὡς ἀορίστου παρωξύνθη. ἔχεται δὲ καὶ λόγου· τὰ γὰρ εἰς σθαι ἀπαρέμφατα τῷ ε παραληγόμενα, οὐκ ὄντα ἀπὸ τῶν εἰς μι, ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλους τὸ ι συνεσταλμένον, μὴ ἐπιφερομένου διπλοῦ μηδὲ δύο συμφώνων, παροξύνεται, ἱκέσθαι ἰδέσθαι λιπέσθαι πιθέσθαι καὶ λιτέσθαι. λέγει δὲ ὅτι ἔμελλε πρὸς ἑαυτοῦ βλάβην παρακαλεῖν· ἤτοι ἡ παράκλησις αὐτοῦ εἰς θάνατον ἐτελεύτα. τὸ δὲ ἔμελλεν ἀντὶ τοῦ ἐῴκει· οὐ γὰρ αὖθις ἔμελλε παρακαλεῖν.

50. ἥντινα] Ἀρίσταρχος εἴ τινα, ἵν' ᾖ ἠθικώτερον· εἰ καὶ οἶδα, φησὶ, τινὰ μαντείαν, ἀλλ' οὐ φροντίζω αὐτῆς. μέμνηται δὲ τῆς μαντείας ἐν ταῖς λιταῖς. σχετλιάζει οὖν πρὸς τὸ "εἰ δέ τινα φρεσὶ σῇσι" (36). πρὸς δὲ τὸν Πάτροκλον καὶ εὔλογος ἡ ἀγανάκτησις, ὅτι ὡς ἀγνοῶν τὴν αἰτίαν τῆς μήνιδος Ἀχιλλέως ταῦτα ἔφη· ὅθεν καὶ ἄνωθεν διηγεῖται τὸ γνωριμώτατον, ἐξελέγχων αὐτὸν ὅτι τὴν αἰτίαν εἰδὼς τῆς ὀργῆς ἄλλας ὑπονοίας ἐκόμιζε μὴ οὔσας ἱκανάς.

53. ἀμέρσαι] μέρους στερῆσαι. μέτριον δὲ τὸ μὴ φάναι κρείσσονα, ἀλλ' ὅμοιον.

54. ἂψ ἀφελέσθαι] δοὺς πάλιν στερῆσαι. τὸ δὲ ὅτε ἀντὶ τοῦ ἐπεί· ἢ ἀντὶ τοῦ ὅστε, ἵν' ᾖ, ὁππότ' ἀνὴρ ὅστε κράτεϊ προβεβήκῃ, τὸν ὅμοιον ἐθέλησιν ἀμέρσαι. προβεβήκῃ δὲ προύχει τῶν ἄλλων. κράτεϊ δὲ τῇ ἀρχῇ, τῇ βασιλείᾳ. ἴσως δὲ ἐκείνων μέμνηται ὧν ἔλεγε Νέστωρ· "ἀλλ' ὅδε φέρτερός ἐστιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει" (Il. 1, 281). καὶ Ἀγαμέμνων "καί μοι ὑποστήτω ὅσσον βασιλεύτερός εἰμι" (Il. 9, 160).

56. τὸν φόβον τοῦ θανάτου ἀπωσάμενος ἐπὶ τὴν ὀργὴν μετέστησε τὴν αἰτίαν. καὶ πρὸς εἰδότα μέν φησιν, ὃς καὶ τῆς χειρὸς ἐξήγαγε τὴν παῖδα καὶ παρέδωκε τοῖς κήρυξιν, ἔστι δὲ ἠθικόν. ἔθος γὰρ τοῖς θυμουμένοις τὰ αὐτὰ πρὸς τοὺς εἰδότας διηγεῖσθαι. ἄλλως τε καὶ ἀνάγκη προσβαλεῖν τὴν αἰτίαν, ἐπεὶ ὑπερτίθεται τὴν ἔξοδον. καὶ τῷ

8. μηδὲ] μήτε
24. προβεβήκῃ—προβεβήκῃ] προβεβήκει—προβεβέκῃ

Πατρόκλῳ δὲ μεγάλα θέλει δοκεῖν χαρίζεσθαι, ἐκδιδοὺς αὐτὸν μεθ' ὕβριν τοσαύτην. εὖ δὲ καὶ δύο δικαιώματα προβέβληνται, ὅτι τε παρ' Ἑλλήνων τὸ γέρας εἴληφεν, οὐ παρ' Ἀγαμέμνονος, καὶ ὅτι ἐξ ὧν ἔκαμε λαβὼν ἀφήρηται.

58. οὔτε τὸ κρείων ἁρμόζον ἐχθρῷ παρὰ ἐχθροῦ, οὔτε τὸ ἐκ χειρῶν ἀφείλετο Ἀγαμέμνων ἀληθές· οἱ γὰρ κήρυκες παρέλαβον αὐτήν. ῥητέον δὲ ὡς τὸ μὲν πρότερον ἐν ἤθει ἀναπεφώνηται, ὥσπερ εἰ ἔλεγεν ὁ θαυμάσιος καὶ κράτιστος· τὸ δὲ δεύτερον οὐ ψεῦδος, ὅτι τὰς αἰτίας οὐ τοῖς ὑπηρέταις, ἀλλὰ τοῖς ἐπιτάττουσι λογιστέον. ἔχει δὲ καὶ ἔνδειξιν ὁ λόγος πολλήν, καὶ αὔξει τὴν κατηγορίαν. ἐν δὲ τῇ ῥητορικῇ καὶ ἑνὸς ὀνόματος χρῆσις εὔκαιρος τὸ ὅλον ἑτεροποιεῖ.

59. ἀτίμητον μετανάστην] ὁ μὲν Ἀρίσταρχος γράφει μεταναστήν, καὶ πρὸς τὴν Βρισηΐδα ἀκούει· ὁ δὲ Ἡρωδιανὸς αἰτιατικὴν ἀντὶ γενικῆς φησίν, ἵν' ᾖ, ὡς ἐκ χειρὸς ἀτιμήτου μετανάστου ἀφείλετο. ἐδόκουν δὲ ἀτιμότεροι εἶναι οἱ μέτοικοι ὡς διὰ μοχθηρίαν τρόπων τὰς ἰδίας ἐῶντες.

61. ἀσπερχές] ἀδιαλείπτως, ἄγαν ἐπιτεταμένως, ἀμεταβλητί.

64. τύνη δ'] οὐ βούλεται ταχεῖαν κρίσιν ἐπαγαγεῖν τῷ πολέμῳ· διὸ κατασχὼν Ἀχιλλέα προαπόπειράν τινα διὰ Πατρόκλου ποιεῖται, ἵνα λαμπρὸν τοῦτον ἐπιδείξας λαμπρότερον μετ' αὐτὸν ἐξαγάγῃ Ἀχιλλέα.

65. ἄρχε μάχεσθαι] πρὸς τὸ μάχεσθαι ἡγοῦ, οὐ πρὸς τὸ δεσπόζειν.

66. εἰ δὴ ταῦτα οὕτως ἔχει ὡς φής. γράφεται δὲ καὶ ᾗ δή, ἵν' ᾖ, ἐν ᾧ τόπῳ τὸ τῶν πολεμούντων πλῆθος ἀμετακίνητόν ἐστιν, ἐκεῖ καὶ αὐτὸς ἄρχε Μυρμιδόνεσσι.

68. κεκλίαται] προσανάκεινται καὶ περικλείονται τῷ τῆς θαλάσσης αἰγιαλῷ. ἀεὶ δὲ ἡ κλίσις παρ' Ὁμήρῳ τὴν περιοχὴν δηλοῖ.

*Πορφυρίου. ἠγνόησαν οἱ πολλοὶ ὅτι ἡ κλίσις παρ' Ὁμήρῳ τὴν περιοχὴν σημαίνει, καὶ πάντα τὰ ἐσχηματισμένα ἀπ' αὐτῆς ῥήματα,

13. μεταναστήν] In cod. Townleiano est μετανάστην: ἐν τῇ Μασσαλιωτικῇ καὶ τῇ Ῥιανοῦ μεταναστεῖν, καὶ ἀκούουσι τὴν Βρισηΐδα. Hoc corruptum est ex μετανάστιν, quod restituit Lobeckius Paralip. p. 433. μεταναστήν vero oxytonum accusativus foret adiectivi μεταναστός, quod mirum est si probaverit Aristarchus.

17. ἐῶντες] καταλιπόντες Townl.

20. * προαπόπειραν] προανάπειραν

οἷον "οἱ δὲ ῥηγμῖνι θαλάσσης κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες." λέγει γὰρ ὅτι περιεχόμενοι ὑπὸ τῶν Τρώων ἐπὶ ῥηγμῖνι θαλάσσης συνηλάθησαν. οὕτω λύσεις καὶ τὸ "ὣς οἱ μὲν—ὤμοισι κλίναντες" (Il. 22, 1–4)· λέγει γὰρ περιεχόμενοι τῷ τείχει οἱ Τρῶες, οἱ δ' Ἀχαιοὶ τὰ σάκη περιέχοντες τοῖς ὤμοις. καὶ τὸ "εὗρεν ἔπειτα μάχης ἐπ' ἀριστερὰ θοῦρον Ἄρηα ἥμενον, ἠέρι δ' ἔγχος ἐκέκλιτο καὶ ταχέ' ἵππω" (Il. 5, 355), δῆλον περιέχεται. καὶ περὶ τοῦ "κεῖθ' ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο" (Od. 13, 235), κεῖται περιεχομένη. πάλιν ὡσαύτως καὶ τὸ "ὅς ῥ' ἐν Ὕλῃ ναίεσκε μέγα πλούτοιο μεμηλώς, λίμνῃ κεκλιμένος" (Il. 5, 708), δῆλον περιεχόμενος. καὶ τὸ "οἳ δὴ νῦν ἕαται σιγῇ, πόλεμος δὲ πέπαυται, ἀσπίσι κεκλιμένοι" (Il. 3, 134) ἀντὶ τοῦ περιεχόμενοι ὑπὸ τῶν ἀσπίδων. γέγονε δὲ ἀπὸ τοῦ κλείω· τὸ γὰρ ἀποκλεισθὲν περιέχεται· "οὐδὲ πύλῃσιν εὗρεν ἐπικεκλιμένας σανίδας" (Il. 12, 120). τὸ δ' αὐτὸ παρίστησι καὶ τὸ "ἀλλ' ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων πόντῳ κεκλιμένοι ἑκὰς ἥμεθα" (Il. 15, 739), ἀντὶ τοῦ ὑπὸ τοῦ πόντου περιεχόμενοι.

69. *Τρώων δὲ πόλις] πόλις διχῶς λέγεται, ἥ τε κατασκευὴ τῶν οἰκημάτων καὶ τὸ κατοικοῦν πλῆθος.

διὰ τοῦ πόλις τοὺς πολίτας παρέστησεν, ἀπὸ τοῦ περιέχοντος τὸ ἐντὸς δηλῶν.

70. λεύσουσι] ἡ πόλις ἢ οἱ Τρῶες. οὐκ ἐξέκλινον δὲ οἱ παλαιοὶ τὸ αὐτοέπαινον. μεγαλοφυῶς δὲ φθέγγεται· οὐ γὰρ ἔφη ὅτι δεδοίκασι μαχόμενον, ἀλλ' ὡς μηδὲ τὴν αὐγὴν τῶν ὅπλων αὐτοῦ ὑφισταμένων τῶν βαρβάρων.

71. ἐγγύθι λαμπομένης] ἧς καὶ μακρὰν ἀπούσης οὗτοι δοκοῦσι πλησίον εἶναι διὰ τὸν φόβον.

προαναφθέγγεται τὴν παραποτάμιον μάχην· φησὶ γὰρ ὁ Σκάμανδρος "οὐδέ τί πη δύναμαι προχέειν ῥόον, στεινόμενος νεκύεσσιν" (Il. 21, 219). ἔναυλοι δὲ τὰ ἐν ὄρεσι κοιλώματα. οἱ δὲ ἐναύλους τοὺς παρὰ τὴν τάφρον τόπους, ἔνθα ἐστρατοπέδευσαν οἱ Τρῶες. οἱ δὲ τοὺς ἀγρούς. οἱ δὲ στενὰς διώρυχας· ἔναυλος γὰρ πᾶν τὸ στενὸν καὶ βαθὺ καὶ ἐπίμηκες.

73. εἰδείη] εἰδὼς ἦν· οὐ γὰρ εἰς φιλίαν αὐτὸν προκαλεῖται. καλῶς δὲ ἔφρασε τὸ εὐνοεῖν.

7 et 11. δῆλον] δη^λ 22. *οἱ] om. 29. πη] om.

74. οὐ γὰρ Τυδείδεω] πρὸς τὸ "μὴ ὄφελες λίσσεσθαι" (Il. 9, 692) ἀντιλέγει· καὶ ὅτι αὐχηματίας ὢν ἔλεγεν "εἰ καὶ ἐμὸν δόρυ μαίνεται."

76. οὐδέπω Ἀτρείδεω ὀπὸς ἔκλυον] ὅτι στρατηγὸς ὢν οὐ θαρρεῖ προτρέπειν τὰ πλήθη. οἱ δὲ πρὸς τὸ "καὶ δ' Ἀχιλεὺς τούτῳ γε μάχῃ ἔνι ἔρριγ' ἀντιβολῆσαι" (Il. 7, 113). οἱ δὲ, ὅτι πρὸ τῆς ἀριστείας ἐβόησεν· "ἠδὲ ζώννυσθαι ἄνωγεν" (Il. 11, 15).

* Πορφυρίου. διὰ τί δὲ Ἀχιλλεὺς ἐπὶ καθαιρέσει Διομήδους μέμνηται καὶ Ἀγαμέμνονος καὶ οὐδενὸς ἄλλου, λέγων "οὐ γὰρ Τυδείδεω Διομήδεος, οὐδέ πω Ἀτρείδεω;" ῥητέον οὖν ὅτι Ἀγαμέμνων μὲν εἰκότως ἦν ἐχθρὸς αὐτοῦ, καὶ Διομήδης δὲ διὰ λόγους ὑβριστικοὺς, οὓς εἰς αὐτὸν ἀπερρίφει μετὰ τὴν πρεσβείαν· λέγει γὰρ "μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα" (Il. 9, 698).

77. ἐχθρῆς ἐκ κεφαλῆς] τὸ ἦθος τοῦ ὠργισμένου ἔτι διατηρεῖ ὁ ποιητής· γενόμενος γὰρ ἐπὶ τὸ ὄνομα τοῦ Ἀγαμέμνονος, καθὸ καὶ κεκίνηται, ἐνδιατρίβει βλασφημῶν.

80. νεῶν ἀπὸ λοιγὸν ἀμύνων] οὐκ ἀφίσταται τοῦ ὀνόματος τῶν νεῶν. τοῦτο δὲ δι' ὅλου παραγγέλλει, τὸν ἀπὸ τῶν νεῶν κίνδυνον ἀπώσασθαι μόνον, μὴ περαιτέρω δὲ προβαλεῖν ἑαυτόν. διὸ καὶ ἐπιφέρει "μὴ δὴ πυρὸς αἰθομένοιο νῆας ἐνιπρήσωσι" καὶ ἑξῆς "ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν." διὰ γὰρ τὴν εἰς Ἀγαμέμνονα ὀργὴν οὐ βούλεται ἄλλο τι καταπράξασθαι ἢ τὰς ναῦς περισῶσαι.

83. πείθεο δ' ὥς τοι ἐγὼ] βάσκανον ἐνταῦθα τὸ ἦθος οὐκ ἐῶντος τὸν φίλον ἀπολαμπρύνεσθαι τέλεον. ἀπρεπὲς δὲ καὶ τὸ παλλακίδος καὶ δώρων μεμνῆσθαι. ἢ τοίνυν ὡς φιλέταιρος ἐξίστησιν αὐτὸν τῶν κινδύνων, εἰδὼς ὑπὲρ μὲν τῶν νεῶν ἅπαντας αὐτῷ συγκινδυνεύσοντας, μετὰ δὲ ταῦτα οὐκέτι θελήσοντας συνακολουθεῖν διὰ τὸν κάματον. πῶς οὖν οὐκ ἐκφέρει ταῦτα πρὸς τὸν Πάτροκλον, εἴπερ οὕτω διενοεῖτο; ἢ τὸ μὲν ἀληθὲς εἰπὼν ᾔδει Πάτροκλον τῆς ἰδίας σωτηρίας καταφρονήσοντα· ἐφ' ἑαυτὸν δὲ περισπάσας τὴν αἰτίαν ᾔδει Πάτροκλον φυλαξόμενον. ὅτι δὲ κηδεμονικῶς ταῦτα τῷ φίλῳ συμβουλεύει ἐπιμαρτυρεῖ καὶ ὁ ποιητὴς ἐν τοῖς ἑξῆς· "νήπιος, εἰ δὲ ἔπος Πηληϊάδαο φύλαξεν, ἦ τ' ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο" (686). ὑποφαίνει δὲ τὴν προαίρεσιν αὐτοῦ, ἐπαγαγὼν τὸ "μή τις

8. * Πορφυρίου] om.

ἀπ' Οὐλύμποιο θεῶν," εὐπρεπῶς οὐ Τρῶας, ἀλλὰ τὸν Ἀπόλλωνα δεδοικώς. οὐ βασκανίας οὖν κριτέον Ἀχιλλέα, ἀλλὰ φιλεταιρίας, ὅς γέ φησιν εὐχόμενος "ἤ ῥα καὶ οἶος ἐπίστηται πολεμίζειν" (243).

85. ὀρθοτονητέον τὴν οἵ· ἄρθρον γάρ ἐστι πληθυντικόν, ἵν' ᾖ οἱ δὲ Ἕλληνες. ἔρωτα δὲ παλλακίδος καὶ φιλαργυρίαν ἐπιδείκνυνται οἱ στίχοι.

87. ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν] ἀπελάσας, φησί, μόνον τῶν νεῶν ἴεσο τῇδε, μὴ φιλοτιμότερον τῇ νίκῃ χρώμενος καὶ διώκων.

94. ἐμβήῃ] ἐμποδὼν στῇ, ἐναντίως σοι τῇ βάσει χρήσεται· ἤτοι ἐναντιωθῇ σοι εἰς πάλην.

98. μήτε τις οὖν Τρώων] τινὲς ὑπερβολικῶς φασὶν ἀντὶ τοῦ ἀπόλοιντο οἱ ἀριστεῖς. ἢ καὶ δεόντως πεποίηται τὴν εὐχήν, τοὺς μὲν μισῶν ὡς πολεμίους, τοὺς δὲ ὡς ὑπεριδόντας ὑβριζόμενον. ἄλλως τε καὶ αὔξει τὴν εἰς Πάτροκλον χάριν, εἰ τοὺς Ἕλληνας σώζει δι' αὐτόν, οὓς ἀπολέσθαι θέλει, ὡς οὐ κατὰ κηδεμονίαν τῶν Ἑλλήνων ἐκπέμπων τὴν συμμαχίαν, ἀλλὰ τῷ Πατρόκλῳ ἀντιλέγειν μὴ βουλόμενος.

99. παροξυντέον τὸ ἐκδῦμεν· ἔστι γὰρ ἀπὸ τοῦ ἐκδύμεναι ἀπαρεμφάτου, ἵν' ᾖ ὁ λόγος, ἡμῖν δὲ γένοιτο ἐκδῦναι τὸν ὄλεθρον. καὶ λείπει τὸ εἴη.

101. ὣς οἱ μέν] μέτεισιν ἐπὶ τὴν μάχην, ὅπως τὴν ναῦν ἐμπιπραμένην δείξας Ἀχιλλεῖ τὸν Πάτροκλον ἐξαγάγῃ. καλῶς δὲ τῇ ἐκλογῇ τῶν ὀνομάτων χρῆται· φυγὴν γὰρ οὐκ ὠνόμασεν, ἀλλ' ὅτι μένειν οὐκ ἐδύνατο, καὶ τὰς πολλὰς αἰτίας ἐπάγει. θαυμάσιον δὲ τὸ κατὰ τὴν ἀπαγγελίαν ὁρῶ. φασὶ μὲν γὰρ ὅτι οἱ ποιηταὶ φαντασίαν παρέχουσι τῷ λόγῳ ἐπὶ τροπικὰ χωροῦντες, καὶ παρ' αὐτῷ Ὁμήρῳ ἐστὶ πολλὰ τοιαῦτα· ἐνταῦθα δὲ χωρὶς παραβολῆς τοιαύτης πάσης καὶ τροπικῆς ἀπαγγελίας ἐπῆρται ὁ λόγος, ἐπ' αὐτῶν τῶν πραγμάτων γινομένης τῆς φράσεως.

πῶς πάντα ὑπισχνούμενος εἰδέναι οὐ λέγει ταῦτα; ἔλεγον ὅτι πράγματα μὲν μνημονεῦσαι ῥᾴδιον, οὐ μὴν λόγους· ἀφανίζονται γὰρ τὰ ἔπη πτερόεντα ὄντα.

104. πρὸς ἐπίτασιν ἐπλεόνασε τῷ ῥήματι, βάλλοντες λέγων καὶ βαλλομένη καὶ βάλλετο. ἀμίμητα δὲ ταῦτα καὶ γραφεῦσι καὶ πλάσταις.

24. * ἐδύνατο] ἐδύναντο

σὺν τῷ ῑ τὸ δεινήν, ὡς Ἡρωδιανός. ὅρα δὲ πῶς καὶ μὴ ψαύοντες ἀκοντίζουσι τῆς κεφαλῆς καὶ ψαύοντες τύπτουσι τὴν ἀσπίδα. ὁ δὲ ἕστηκεν ἀκίνητος τὴν προσβολήν. καὶ ἔστιν αὐτὸν παραβάλλοντας τῷ Ἕκτορι τὴν ὑπεροχὴν γνῶναι· ὁ μὲν γὰρ ὑπὸ Διομήδους τὴν κόρυθα θλιβεὶς σκοτοδινιᾷ, ὁ δὲ ὑπὸ πολλῶν βαλλόμενος ἀνέχεται.

106. ἄμεινον καὶ φάλαρα γράφειν, ὡς τῶν παλαιῶν οἱ πλείους, ἵν' ᾖ καὶ ἡ πήληξ ἐβάλλετο καὶ τὰ φάλαρα. ἡ πήληξ μὲν οὖν εἰς ὃ τὸν λόφον τιθέασι, φάλαρα δὲ τὰ κατὰ τὰς παρειὰς ἐπιπίπτοντα μέρη, διὰ τὸ φανὰ εἶναι καὶ λαμπρά· ὡς δὲ ὁ Θρᾷξ, ὁ ἑκατέρωθεν αὐτῆς κόσμος.

108. ἐρείδοντες] πατάσσοντες. κυρίως δὲ ἐρεῖσαι τὸ ἐκ χειρὸς πατάξαι. εὕρηται δὲ καὶ ἐπὶ βολῆς· "καὶ διὰ θώρηκος πολυδαιδάλου ἠρήρειστο" (Il. 3, 358), ἤτοι ἥρμοστο.

112. ὡς παράδοξον μέλλων λέγειν τὴν ὑποχώρησιν Αἴαντος, τὸν ἀκροατὴν προσεκτικώτερον ποιεῖ τοῖς παρὰ Μουσῶν λόγοις. συνέτεμε δὲ τὸ προοίμιον ἐπειγόμενος τῷ καιρῷ· ἐκεῖνος μὲν γὰρ ὁ λόγος ἐδέετο τερατείας, ἐξαρίθμησιν ἔχων νεῶν καὶ ἡγεμόνων, ὁ δὲ μιᾶς νεὼς ἐμπρησμόν.

114. Ἕκτωρ Αἴαντος] πάλιν ἐπὶ τὸ κινδυνωδέστατον προήγαγε τὴν ὑπόθεσιν· παράδοξον γὰρ τὸ Αἴαντος ἐγγὺς παραστῆσαι τὸν Ἕκτορα. ἀλλ' οὐδετέρου τρῶσιν ὑπέθετο, τοῦ μὲν διὰ τὴν ὑπεροχήν, εἰ καὶ ὑπὸ θεοῦ νῦν καταστασιάζεται, τοῦ δὲ διὰ τὴν ἀπὸ τοῦ Διὸς βοήθειαν. ἔδει γὰρ τὸν ἕτερόν γε βλαβῆναι καὶ ἀνανδρίας κριθῆναι. διὰ μέσου οὖν ἐχώρησε, τὴν ὑποχώρησιν Αἴαντος τῷ δόρατι περιθείς. δείκνυσι δὲ ὅτι οὐδὲ θεῷ εἶξεν, εἰ μὴ ἀχρεῖον αὐτῷ τὸ δόρυ ἐγένετο.

115. καυλόν] τὸ καθιέμενον μέρος εἰς τὴν ἐπιδορατίδα. εἰ δ' ἀπάραξε, πῶς ἐπιφέρει "τῆλε δ' ἀπ' αὐτοῦ αἰχμὴ χαλκείη;" ἔστιν οὖν νοεῖν περὶ τὴν ἀπαγγελίαν τάχος, καὶ ὅτι τὸ μὲν ἀπάραξε περὶ ὅλου τοῦ πράγματός φησιν, ἔπειτα τὰ κατὰ μέρος ὑποτίθησιν.

117. πῆλ' αὔτως] ἐκράδαινε πρὸς τὸ διαγνῶναι εἰ τέλεον ἠχρήστωται· διασείσαντος δὲ αὐτοῦ ἀπέρριπται ἡ αἰχμή. οἱ δὲ τὸ κόλον ἀντὶ τοῦ κολοβωθησόμενον. οἱ δὲ προειρῆσθαι τὸ κεφάλαιον, ἐπανειρῆσθαι δὲ ὡς γέγονεν ἕκαστον, ὡς τὸ "ὡς πολέας πέφνοντα

18. νεὼς] νεός hic et alibi interdum.

31. * διασείσαντος] διασώσαντος

33. * ἐπανειρῆσθαι] ἐπανηρῆσθαι. ἐπανειλῆφθαι Bekkerus

Μενοιτίου ἄλκιμον υἱὸν Ἕκτωρ Πριαμίδης σχεδὸν ἄορι θυμὸν ἀπηύρα" (827)· καίπερ ἔτι ζῇ Πάτροκλος. οἱ δὲ τὸ τῆλε δέ, ἀντὶ τοῦ γάρ τὸν δέ.

120. ῥίγησεν] οὐ τὸν Ἕκτορα, ἀλλὰ τὰ τῶν θεῶν ἔργα. καὶ σχεδὸν μὲν νενίκηται, ἡ δὲ νίκη οὐ τοῦ Ἕκτορος, ἀλλὰ θεῶν.

κεῖρε] παρατατικῶς· τὸ γὰρ ἑξῆς ἐστὶν, ἔγνω Αἴας εἰς ἄπορον ἥκουσαν αὐτῷ τὴν μάχην, ὡς μηδὲν δύνασθαι ἔτι μηχανήσασθαι· ὁ γὰρ Ζεὺς ἐπέκειρε τὰ βουλεύματα τῶν Ἀχαιῶν.

123. μόνως ἀσβέστη ἀναγνωστέον, οὐ κατασβεστή· οὕτως γὰρ εἴωθε λέγειν "ἄσβεστος γέλως." καὶ τὸ σχῆμα δὲ Ὁμηρικόν· ὡς τὸ ἀρίγνωτος ἀριγνώτη, ἄσβεστος ἀσβέστη. δηλοῖ δὲ τὸ δυσκατάσβεστος. οἱ δὲ τάχιστα σβεσθησομένη.

κέχυτο] ὡς ἐπὶ ὑγροῦ καταχεθέντος ἐμφαντικῶς τῷ ῥήματι χρῆται διὰ τὸ τάχος καὶ τὴν ὁρμὴν τῆς τοῦ πυρὸς διαδόσεως. ἀλλὰ γὰρ καὶ τὰ ὑπεκκαύματα καὶ ἡ καιομένη ὕλη πέφυκεν εὐδιάλυτος εἶναι διά τε τὰ ξύλα καὶ τὸ χρίσμα τῆς πίττης.

125. μηρὼ πληξάμενος] μεγίστη νῦν καὶ καιρία ἡ συμφορὰ, ὅπου γε καὶ Ἀχιλλέα εἰς τὴν τοιαύτην μετέβαλε λύπην καὶ ἀγωνίαν.

126. ἱπποκέλευθε] ἱππικώτατε, τοῖς ἵπποις εὐτρεπίζων ὁδὸν, ἢ ἐφ' ἵππων τὴν πορείαν ποιούμενε.

127. λεύσσω δή] ἤδη πέρας οἱ λόγοι αὐτοῦ ἀπειλήφασι, καὶ μέμνηται αὐτῶν. διὸ καὶ μεταβάλλεται· ἠπείλει γὰρ μὴ πρὶν ἐξιέναι πρὶν ταῖς ναυσὶν ἐπελθεῖν τοὺς Τρῶας.

129. δαιμονίως ἐπισπεύδει, οὐκ ἐπιτρέπων πάντα τῷ φίλῳ, ἀλλὰ μέρος τι καὶ αὐτὸς συμβαλλόμενος, ὅπερ ἀγάπης τεκμήριον.

134. ποικίλον ἀστερόεντα] ἄστρων κεχρωματισμένον καὶ πεποικιλμένον μορφαῖς.

140. ἔγχος δ' οὐχ ἕλετ' οἶον] ἐχρῆν γάρ τι ἐξαίρετον εἶναι τῷ Ἀχιλλεῖ. ἄλλως τε οὐκ ἦν τέκτων Ἥφαιστος· οὐ γάρ ἐστιν ἐν οὐρανῷ ξύλα. εἰκότως οὖν ὅπερ οὐκ ἐνῆν κατασκευάσαι, τοῦτο Ἀχιλλεῖ τετήρηκε. κατέκρυψε μέντοι τὸ πλάσμα τῇ τοῦ Ἀχιλλέως ὑπεροχῇ, δι' ἀσθένειαν οὐ δυνηθῆναι φήσας τὸν Πάτροκλον καὶ τῷ δόρατι χρῆσθαι.

*προκατεσκεύακε μόνον αὐτὸ τὸ δόρυ σώζεσθαι διὰ τὸ ξύλα μὴ ἐργάζεσθαι τὸν Ἥφαιστον. κατὰ γὰρ τὸν Πηλέως καὶ Θέτιδος

γάμον οἱ θεοὶ συναχθέντες εἰς τὸ Πήλιον ἐπ' εὐωχίᾳ ἐκόμιζον Πηλεῖ δῶρα, Χείρων δὲ μελίαν τεμὼν εἰς δόρυ παρέσχεν. φασὶ δὲ Ἀθηνᾶν μὲν ξέσαι αὐτό, Ἥφαιστον δὲ κατασκευάσαι. τούτῳ δὲ τῷ δόρατι καὶ Πηλεὺς ἐν ταῖς μάχαις ἠρίστευσε καὶ μετὰ ταῦτα Ἀχιλλεύς. ἡ ἱστορία παρὰ τῷ τὰ Κύπρια πεποιηκότι.

141, 142. ἀστερίσκους ἔχουσι κακῶς· φησὶ γὰρ Ζηνόδοτος ὅτι ποῖόν τι ἦν ὡς μὴ δύνασθαι αὐτὸ αἴρειν τοὺς ἥρωας; ἔστι δὲ κατὰ συλλογισμὸν ὁ ἔπαινος καὶ σύγκρισιν.

142. ἐπίστατο] ἠδύνατο. καὶ Σοφοκλῆς (fr. 969 a.) "οὐ πώποθ' ὑμᾶς συμβαλεῖν ἐπίσταμαι." τῇ ἐπιστήμῃ δὲ προσάπτει τὴν δύναμιν.

145. ἵππους δ' Αὐτομέδοντα] ζῶντος Πατρόκλου οὐκ ἦν Αὐτομέδων ἡνίοχος Ἀχιλλέως. προπαρασκευάζει δὲ νῦν ἵνα καὶ Ἀχιλλεὺς αὐτῷ χρήσηται ἡνιόχῳ.

146. παιδευτικὸν καὶ τοῦτο, ὅτι μετ' Ἀχιλλέα εἶχεν αὐτόν· τὸ γὰρ συμμέτρους εἶναι τὰς φιλίας ἄριστον καὶ τοὺς φίλους εἰς πίστιν διεγεῖρον.

147. πιστότατος] πιστότατόν φησι τὸν παρὰ τὴν μάχην οὐκ ἐγκαταλιμπάνοντα τοὺς φίλους, οἷον ὁ ἐν πολέμῳ κοινωνεῖν θέλων τῶν κινδύνων μεγάλην πίστιν τῇ φιλίᾳ παρέχεται.

148. ὕπαγε ζυγόν] ὑπὸ ζυγὸν ἦγεν, ὑπεζεύγνυεν.

149. Ξάνθον καὶ Βαλίον] τὸν μὲν ἀπὸ τῆς χροιᾶς ὀνομάζει, τὸν δὲ ἀπὸ τοῦ πηδᾶν. ἐν δὲ τῷ καταλόγῳ περὶ αὐτῶν οὐδὲν λέγει, ὅτι μὴ ἐν πολέμῳ ἐξῄεισαν· οὐδὲ γὰρ περὶ τῶν Μυρμιδόνων· σκοπὸς γὰρ ἦν αὐτῷ τοὺς πολεμοῦντας ἐμφῆναι. νυνὶ δὲ μερικῶς πως αὐτῶν βούλεται μνημονεῦσαι, ὅτε καὶ ἐπὶ πόλεμον ἐξάγει. εἰκότως δὲ Ἁρπυίας Ποδάργης καὶ Ζεφύρου τοὺς ἵππους καλεῖ διὰ τὸ τάχος τὸ ὑπερβάλλον, ὅτι καὶ εὔψυχοι καὶ καρτερικοὶ καὶ πολύπονοι. φησὶ δὲ καὶ Ἀριστοτέλης ὅτι μόναι ὁτὲ μὲν πρὸς νότον, ὁτὲ δὲ πρὸς βορρᾶν ὡς ἐξ ἀνέμου κύουσιν.

152. παρηορίῃσιν] παρηρτημέναις σειραῖς πρὸς τὴν ζεῦξιν τοῦ περισσοῦ ἵππου. διὰ τί δὲ δεῖται παρηόρου; οἱ μὲν γὰρ ἄλλοι δεόντως πρὸς τὸ εἰ κάμοι ἢ τρωθείη εἶς ἀντεπεισάγεσθαι τὸν παρήορον ἀντὶ αὐτοῦ· τοῖς δὲ ἀθανάτοις ποῖον δέος τρωθῆναι ἢ καμεῖν; ἔστιν

1. * οἱ] om. * συναχθέντες] δυσαναχθέντες
2. * τεμὼν] τιμῶν
9. * οὐ πώποθ'] οὔ ποθ'

οὖν εὔηθες τοὺς μὲν Ὁμηρικοὺς θεοὺς τιτρώσκεσθαι, ἵππους δὲ μή. ἄλλως τε ποικῖλαι θέλει τὴν Σαρπηδόνος μάχην καὶ οὐκ ἄπρακτον αὐτὸν ἀνελεῖν. ἄπορον δὲ πῶς Ἀχιλλεὺς τοῖς ἀθανάτοις ἵπποις θνητὸν συμπλέκειν ἀξιοῖ· τὸ γὰρ χεῖρον παρὰ πολὺ τοῖς κρείσσοσι συμπλεκόμενον αἰσχύνην φέρει. ἴσως οὖν ἁρμόσει λέγειν ὅτι τοῦτον προσέθηκεν ἐκείνοις, ἵνα ἐγκόπτοιντο ἐν τῷ δρόμῳ· μέτριον γὰρ εἶναι τὸ τάχος αὐτῶν ἐβούλετο καὶ οὐχ ὑπερβάλλον σφόδρα, ἐπεὶ καὶ τοῦτο ἄχρηστον ἐνίοτε. ἢ τάχα τὸν ἡνίοχον ἐπαινεῖ δυνάμενον ἀναχαιτίζειν τὴν ὁρμὴν τῶν ἀθανάτων ἵππων, ὅπως ἂν ὁ θνητὸς αὐτοῖς ἰσοδρομῇ. ἢ βούλεται ὁ ποιητὴς τὴν φύσιν ἐνδείκνυσθαι τοῦ ἥρωος, μικτὴν οὖσαν ἐκ θνητοῦ καὶ ἀθανάτου. πῶς δὲ ἀλεγεινοὶ ὄντες ἀνδράσι Πατρόκλῳ ὑποτάσσονται; ἀλεγεινὸν οὖν ἐστὶ τὸ μετὰ τῆς δεούσης καὶ μεγίστης φροντίδος γινόμενον.

156. οἱ δέ] διὰ μακροῦ ἀπέδωκεν αὐτῷ τὸ ῥώοντο (166). κεκορεσμένοις δὲ εἴκασε καὶ ἐπὶ ποτὸν ἐρχομένοις, ἐπεὶ πεινῶντες μὲν διασκεδάννυνται ἄλλος ἄλλοσε ἐς νομὰς, ἐς ποτὸν δὲ ἀθρόοι ἀπίασιν.

159. φοινόν] πεφοινιγμένον ἀπὸ τοῦ αἵματος. λέγει δὲ καὶ "αἵματι φοινικόεις" (Il. 23, 717) καὶ "χλαῖναν θέτο φοινικόεσσαν" (Od. 14, 500) καὶ "ἡνία φοινικόεντα" (Il. 8, 116). καὶ "φοίνικι μιήνῃ" (Il. 4, 141) καὶ Φοίνικες, οἳ παρὰ τὴν ἐρυθρὰν θάλασσαν ᾤκουν, ἣν Φοινίκην Διονύσιος καλεῖ. καὶ τὸ φυτὸν, ὅτι ὡς ἐπὶ τὸ πολὺ φοινίκεον ποιεῖ καρπόν. καὶ "φοινήεντα δράκοντα" (Il. 12, 202) ἀπὸ τοῦ φοινός.

160. στικτέον εἰς τὸ ἴασι καὶ εἰς τὸ ἄκρον, ἵν᾽ ᾖ λάψοντες ἀπὸ τῆς κρήνης τὸ ἄκρον ὕδωρ· οὐ γὰρ καθιᾶσι τὴν γλῶσσαν εἰς τὸ ὕδωρ ὡς οἱ βόες.

161. λάψοντες] πιόμενοι. Ζηνόδοτος δὲ λάψαντες, ἐμπλησθεῖσιν αὐτοὺς εἰκάζων, οὐ καλῶς. ὠνοματοπεποίηται δὲ ἡ λέξις ἀπὸ τοῦ γινομένου ἤχου ἐν τῇ πόσει τῶν κυνῶν καὶ τῶν λύκων.

ἀραιῇσιν] δασείαις, ἀσθενέσιν, ἐπιμήκεσιν. ἢ λεπταῖς. ἢ βλαπτικαῖς.

162. *Πορφυρίου. ἀσαφὲς τὸ "λάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ ἄκρον, ἐρευγόμενοι φόνον αἵματος." δεῖ δὲ στίζειν μὲν

6. *ἐγκόπτοιντο—μέτριον] ἐκκόπτοιντο—μέτρῳ

23. *φοινήεντα] φοινίεντα

33. *Πορφυρίου] om.

μετὰ τὸ ἄκρον, ἵν' ᾖ τὸ λάψοντες ἄκρον ὕδωρ· τὸ γὰρ ἐπιπολῆς ὕδωρ λάπτουσιν, ὃ ἔφη ἄκρον λάπτοντες· οὐ γὰρ ἀνασπῶσιν οὐδ' ἐκροφοῦσιν, ἀλλὰ λάπτουσι τὸ ἄκρον. τὸ δὲ ἐρευγόμενοι φόνον αἵματος ἀντὶ τοῦ φόνου αἷμα, ὅμοιον τῷ "χασάμενος πελεμίχθη" (Il. 4, 535) ἀντὶ τοῦ πελεμιχθεὶς ἐχάσατο.

166. ῥώοντ'] ἐρρωμένως καὶ μετὰ πολλῆς προθυμίας καὶ γενναιότητος περὶ αὐτὸν ἵσταντο, ἐπιθυμίαν ἔχοντες αἵματος πολεμίου, ὡς οἱ λύκοι.

167. ἵππους] τοὺς ἱππέας, ὥς φαμεν νικᾶν τὴν ἵππον τῶν πολεμίων· ὅθεν ἀντέταξεν αὐτῷ τὸ ἀσπιδιώτας. ἢ τοὺς ἰδίους ἵππους ὀτρύνων καὶ διεγείρων.

170. πῶς, φασὶν, ἐν ἅπασιν αὔξων Ἀχιλλέα τούτῳ μειοῖ, ἀνὰ πεντήκοντα μόνον λέγων ἔχειν τὰς ναῦς; τινὲς μὲν οὖν φασὶν ὅτι οὐκ ἐν πλήθει ἡ ἀρετὴ, ἀλλ' ἐν τοῖς περὶ αὐτὴν σεμνύνεται. Ἀρίσταρχος δέ φησιν ὅτι διὰ τοῦ ἐπὶ κληῖσιν ἐδήλωσεν ὡς μόνοι οἱ ἐρέται ἦσαν ἀνὰ πεντήκοντα· τὸ δὲ λοιπὸν πλῆθος τῶν πολεμιστῶν οὐκ ἐμνημόνευσεν, ὅπερ ἐπιφέρονται αἱ νῆες.

172. μέγα κρατέων] τὴν κατὰ πάντων ἔχων ἐξουσίαν καὶ αὐτῶν τῶν ἀρχόντων ἄρχων· τοιοῦτοι γάρ εἰσιν οἱ πάντες εὐρυκρείοντες.

174. διιπετέος] λαμπροῦ. καὶ Εὐριπίδης (Bacch. 266) "λαμπρότερός τίς ἐστι καὶ διιπετέστερος." ἐπεὶ δὲ χειμάρρους, πρόσκειται τὸ Σπερχειοῖο, ἀπὸ τοῦ σπέρχω τὸ κατεπείγω· σφοδρῶς γὰρ οἱ χειμάρροι ῥέουσιν. ἀκάμαντι δὲ, ὅτι οἱ παυόμενοι πόροι δοκοῦσιν ὥσπερ ἀποκαμόντες ἑστάναι. φασὶ δὲ Πέλωρα τὸν γίγαντα, ἐρασθέντα Πολυδώρης, ἐπιτηρῆσαι αὐτὴν πότε λούεται ἐν τῷ Σπερχειῷ· καὶ ὅτε αὐτὴν εἶδεν εἰσελθοῦσαν, καὶ αὐτὸν εἰσελθεῖν καὶ ὑποκρυβῆναι τῷ ὕδατι· εἶτα πρὸς τὸ μέσον γεγονυῖαν κρατῆσαι ὡς ἐν προφάσει δῆθεν Σπερχειοῦ, καὶ μιγῆναι αὐτῇ. ἀφ' οὗ ὁ Μενέσθιος.

175. Πηλῆος] ἑτέρου, φασὶ, Πηλέως. εἰ γὰρ ἦν ἀδελφιδοῦς Ἀχιλλέως, πῶς οὐκ ἐμνήσθη αὐτοῦ ἢ τῆς ἀδελφῆς ἐν τῷ Ἅιδῃ περὶ τοῦ πατρὸς ἐρωτῶν καὶ τοῦ υἱοῦ; ἅμα τε οὐκ οἶδεν ὁ ποιητὴς Πηλέα ἑτέρᾳ συνελθόντα γυναικί. οἱ δὲ νεώτεροι ἀδελφιδοῦν αὐτοῦ λέγουσιν· ὅθεν καὶ τῆς πρώτης τάξεως ἡγεῖται, καὶ πολέμων ἐπιστήμων μαρτυρεῖται, καὶ ὡς Ἀχιλλέως ἀδελφὴν γαμῶν ἀπερείσια δίδωσιν. εἰ δὲ μὴ ἐμνήσθη αὐτῆς ἢ τούτου, οὐ ξένον· περὶ γὰρ τῶν καιριωτέρων αὐτῷ ἡ φροντίς. ἄλλως τε ἐπειδὴ νόθη ἦν ἡ Πολυδώρη

αὐτοῦ ἀδελφή, τάχα οὐδὲ μνημονεύειν αὐτῆς ἐβουλήθη. ἢ ὅτι καὶ αὐτὴ ἤδη τετελευτηκυῖα ἦν.

179. ἑτέρης] ἀντὶ τοῦ τῆς δευτέρας τάξεως.

180. παρθένιος] ὁ ἐκ νομιζομένης παρθένου γεννηθείς.

προειπὼν τὸ κεφάλαιον πάλιν ἐπὶ μέρους ἐξηγεῖται. χορῷ δὲ καλή οἱονεὶ καλὴ ἐν χορῷ οὖσα, καλλίχορος· ἀρετῆς γάρ ἐστι καὶ τοῦτο παρθένων. διὰ τοῦτο καὶ μετὰ μελπομένῃσιν αὐτῆς ἠράσθη.

181. κρατύς] πάντων γὰρ περιγίνεται ὁ λόγος· ὅθεν καὶ σῶκος, διὰ τὸ σωκεῖν, ὅ ἐστιν ἰσχύειν.

183. χρυσοῖς βέλεσι χρωμένης· τὸν κάλαμον γὰρ τῶν βελῶν τινὲς ἠλακάτην φασί. κελαδεινῆς δὲ διὰ τὰς ἐν θήραις ἐκβοήσεις, ἢ διὰ τὰς χορείας.

185. ἀκάκητα] πάντων ἀγαθῶν αἴτιος. καὶ οἱ μὲν θεοὶ κοινῇ δοτῆρες ἑάων, ὁ δὲ Ἑρμῆς ἰδίᾳ δώτωρ ἑάων.

195. Πηλείωνος ἑταῖρον] τὸν Πάτροκλον κατ᾽ ἐξοχὴν δηλοῖ.

196. γέρων ἱππήλατα] τινὲς γράφουσι γερήνιος ἱππότα Φοῖνιξ, λέγοντες ὡς καὶ Νέστωρ διὰ τὸ εἶναι γέρων οὕτως ἐκαλεῖτο. δαιμονίως δὲ παρέλιπεν ἐπὶ τούτου τὸν πλείονα λόγον, ἐπεὶ φθάνει καὶ τὸν βίον καὶ τὸ γένος αὐτοῦ διασημήνας ἡμῖν. οὐκ ἔδει δὲ παρὰ Πηλέως λαβόντα τὴν Δολόπων ἀρχὴν διὰ τὸ γῆρας αὐτῆς ἀφαιρεθῆναι.

200. ἀπειλάων] ἀπειλῶν συνήθως, ἢ τῶν καυχήσεων. πραότητα δὲ Ἀχιλλέως ἐμφαίνει ὁ λόγος, τότε μὲν ὑπερενεγκόντος τὰς ὕβρεις, νῦν δὲ ἀντὶ προτροπῆς αὐτὰς προβαλλομένου. οὐδὲν δὲ τῶν πρακτέων παρέλιπεν, ἀλλὰ καὶ τάσσει καὶ προτρέπει, διὰ τῶν ἰδίων λόγων αὐτοὺς ἐντρέπων. καί φησιν, μή τίς μοι ἀπειλάων λελαθέσθω, ἵνα μὴ δοκῆτε πρὸ μὲν τῶν κινδύνων εἶναι θρασεῖς, ἐν αὐτοῖς δὲ δειλοί.

202. λείπει τὸ ταῦτα λέγοντες. πάλιν δὲ οἰκείως τὴν σύνταξιν τοῦ ἐπιμεριζομένου ἀπέδωκε. τινὲς δὲ μητιάασθε, κακῶς.

203. διὰ τὸ ἄμετρον τῆς ὀργῆς. χόλος δέ ἐστι τὸ περὶ ψυχὴν πάθος, ἢ ἡ χολή.

208. ἐντέχνως χάριν αὐτοῖς δοκεῖ κατατίθεσθαι προπέμπων, καὶ τὴν ὁρμὴν ἔρωτα κέκληκε· καὶ ὡς ἐπιτυχόντας ὧν ἐπεθύμουν, ἀνδρίζεσθαι παρακελεύεται.

13. * θεοὶ] om. 22. * ἀπειλῶν] om.
23. * ὑπερενεγκόντος] ὑπενεγκόντος

211. ἄρθεν] ἡρμόσθησαν, ὡς δῆλον ἐκ τῆς παραβολῆς. οἱ δὲ ἀντὶ τοῦ ἐπήρθησαν καὶ φρονήματος ἐπληρώθησαν.

213. ὑψηλοῖο] ταῦτα γὰρ μᾶλλον καταπνεόμενα κρεῖττον οἰκοδομεῖται· ἀμελέστερον δὲ τὰ ταπεινά.

221. χηλοῦ] παρὰ τὸ κῆλα, ὅ ἐστι ξύλα· οἱ δὲ παρὰ τὸ χῶ τὸ χωρῶ. καλεῖται δὲ παρὰ μὲν Λάκωσι κιβωτὸς, παρὰ δὲ Ἀττικοῖς λάρναξ, παρὰ δὲ Μιτυληναίοις ἀντίπηξ.

222. οὐκ ἄρα κεχώρισται Πηλέως μετὰ τὴν γένεσιν Ἀχιλλέως ἡ Θέτις, ἀλλὰ μέχρι γήρως σύνεστιν αὐτῷ. δῆλον δὲ καὶ ἐκ τοῦ "πολλάκι γὰρ σέο πατρὸς ἐνὶ μεγάρῳ" (Il. 1, 396).

224. οὔλων] εὐειλήτων διὰ μαλακότητα, ἀφ᾽ οὗ καὶ οὐλόθριξ.

227. Ἀρίσταρχος τὸ ὅτε διὰ τοῦ ι. οὐ γὰρ ὅτε Διὶ, καὶ τοῖς ἄλλοις ἔθυεν. καλῶς δὲ τῷ προπάτορι Διὶ ἀφώρισε μόνῳ τὴν φιάλην.

231. μέσῳ ἕρκεϊ] ἐπεὶ ἐν μέσῳ τοῦ οἴκου ἑρκείου Διὸς βωμὸς ἵδρυται, μεσέρκειον καλοῦσι τὸν Δία. ἕρκεϊ δὲ τῷ περιφράγματι τῆς σκηνῆς.

233. *Δήμων φησὶν ὅτι τὸ τοῦ Διὸς μαντεῖον ἐν Δωδώνῃ λέβησιν ἐν κύκλῳ περιείληπται· τούτους δὲ ψαύειν ἀλλήλους καὶ κρουσθέντος τοῦ ἑνὸς ἠχεῖν ἐκ διαδοχῆς πάντας, ὡς διὰ πολλοῦ χρόνου γίνεσθαι τῆς ἠχῆς τὴν περίοδον. Ἀριστοτέλης δὲ ὡς πλάσμα διελέγχων, δύο φησὶ στύλους εἶναι, καὶ ἐπὶ μὲν τοῦ ἑτέρου λέβητα, ἐπὶ θατέρου δὲ παῖδα κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκέους ὄντας σειομένους ὑπ᾽ ἀνέμου τῷ λέβητι προσκρούειν· τὸν δὲ τυπτόμενον ἠχεῖν.

*Δωδώνη δὲ πόλις ἐν Θεσπρωτίᾳ Πελασγίᾳ, ἐν ᾗ ἵσταται δρῦς, ἐν ᾗ μαντεῖον ἦν γυναικῶν προφητίδων· καὶ εἰσιόντων τῶν μαντευομένων ἐκινεῖτο δῆθεν ἡ δρῦς ἠχοῦσα, αἱ δὲ ἐφθέγγοντο ὅτι τάδε λέγει Ζεύς. καὶ ἀνδριὰς ἵστατο ἐν ὕψει ῥάβδον κατέχων, καὶ παρ᾽ αὐτὸν λέβης ἵστατο· καὶ ἔπαιεν ὁ ἀνδριὰς τὸν λέβητα, ἐξ οὗ ἦχός τις ἐναρμόνιος ἀπετελεῖτο· αἱ δὲ τῶν δαιμόνων φωναὶ ἄναρθροί εἰσιν.

εἰκότως τὸν πολίτην καὶ γείτονα καὶ προπάτορα θεὸν ἐπικαλεῖται, ὡς καὶ Χρύσης τὸν Σμινθέα (Il. 1, 39) καὶ τὸν Λυκογενῆ Πάνδαρος (Il. 4, 101). ὁ δὲ Δωδωναῖος καὶ νάϊος· ὕδρηλὰ γὰρ τὰ ἐκεῖ χωρία.

21. ἠχῆς Bekkerus] ψυχῆς
27. γυναικῶν προφητίδων recentius pro γυναικὸς προφήτιδος.

οἱ δὲ γράφουσι Βωδωναῖε· πόλις γὰρ Θεσσαλίας ἡ Βωδὼν, οὗ τιμᾶται Ζεύς. τινὲς δὲ ἀναδωδωναῖε ὑφ᾽ ἓν, παρὰ τὴν ἀνάδοσιν τῶν ἀγαθῶν. Δωδῶναι δὲ δύο, ἡ μὲν Θεσσαλίας, ἡ δὲ Μολοσσίας. τινὲς δὲ Δωδώνην τὴν γῆν, παρόσον πάντα δίδωσιν· δυσχείμερον δὲ, ὅτι πάγοις καὶ κρυμοῖς ὑπὸ τοῦ οὐρανοῦ συνέχεται. Πελασγικὲ δὲ, ὅτι ὑπὸ Πελασγῶν ἵδρυται τὸ περὶ Δωδώνην τέμενος. οἱ δὲ Πελαργικέ· λόφον γὰρ εἶναι λευκὸν ἐκεῖ φασὶν οὕτω καλούμενον. οἱ δὲ Πελαστικέ, οὗ πέλας ἐστὶν ὁ ἀήρ. τηλόθι δὲ ναίων, ὅτι ἄποθεν ἡμῶν ὁ αἰθήρ· Ζεὺς γάρ ἐστιν ἡ τοῦ κόσμου ψυχὴ, ἀεροειδὴς οὖσα.

234. ἀπὸ Σελλοῦ τοῦ Θετταλοῦ τοῦτο τὸ γένος, ὅθεν κατὰ διαδοχὴν οἱ τοῦ Διὸς ἱερεῖς ἐγίνοντο.

235. οἱ φυλασσόμενοι μή τι μιαρὸν πατῆσαι. ἢ μὴ προϊόντες τοῦ ἱεροῦ, ὡς μὴ δεῖσθαι νίπτρων· οἱ δὲ ἀντὶ τοῦ ἀνιπτάμενοι ταῖς διανοίαις καὶ μετεωρολόγοι. χαμαιεῦναι δὲ οἱ χαμαὶ ὄντες καὶ τὰ πόρρω σκοποῦντες.

236. τὴν ἀπὸ τῆς μητρὸς δέησιν ἑαυτοῦ εὐχὴν νενόμικεν· ὁ γὰρ τὴν Θέτιν αὐτῷ ἀνεὶς Ἀχιλλεὺς ἦν, καὶ εἰς αὐτὸν ἄγεται ἡ εὐχή.

239. αὐτὸς μὲν γάρ] ὡς πρὸς παρόντα τὸν θεὸν, ἀγνοοῦντα δὲ, ἀνθρωπείως διαλέγεται· πάντα γὰρ οἶδεν ὁ θεός.

241. κῦδος] πρέπον Ἀχιλλεῖ δόξαν αἰτεῖσθαι πρὸ σωτηρίας· διὸ καὶ ὁ Ζεὺς διδοὺς τὸ ἕτερον τὸ μεῖζον αὐτῷ δίδωσι, φημὶ δὲ τὴν ἀνδραγαθίαν· οὐδεὶς γὰρ πάντα κατορθοῖ παρὰ θεῶν τὰ αἰτούμενα.

244. θεράπων] φασὶν ἠκολουθηκέναι Πάτροκλον Ἀχιλλεῖ ὡς ἡνίοχον. πῶς οὖν Ἀχιλλεῖ συναγωνίζεται ἡνίοχος ὤν; καὶ τί θαυμαστὸν ἡνιοχοῦντα καιρῷ καὶ ἀναιρεῖν; ὅπου γε καὶ Αὐτομέδων τοῦτο ποιῶν φαίνεται.

247. ἀσκηθής] ἐκ τοῦ ἀσκῶ, ὃ δηλοῖ τὸ θεραπεύω καὶ ὑγιάζω· ἡ δὲ προσθήκη τοῦ μοί τὸ φιλόστοργον ἦθος δηλοῖ.

248. τεύχεσί τε σὺν πᾶσι] ἴσον νομίζει θάνατον καὶ ἀποβολὴν ὅπλων.

255. στῆ δὲ] εἰκότως θεατὴς τῆς μάχης γίνεται, καραδοκῶν τὸ ἀποβησόμενον.

259. σφήκεσσιν ἐοικότες] παρόσον ὁμοθυμαδὸν ὁρμῶσι τῶν σκηνῶν

21. * πρὸ σωτηρίας] πρὸς $\overline{\text{σ}}$ρίαν

καὶ θυμοῦ μεστοί· θυμικὸν γὰρ σφὴξ, καὶ μάλιστα ἐνόδιος, ἀδιαλείπτως ἐρεθιζόμενος ὑπὸ τῶν ὁδιτῶν.

260. εἰνοδίοις] παρὰ τὴν ὁδὸν ἔχουσι τὴν σφηκιάν. ἐριδμαίνωσι δὲ εἰς ἔριν ἐμβάλλωσιν· οἱ δὲ ἐρεθίζωσιν. ἔθοντες δὲ ἐξ ἔθους ἔχοντες.

261. ἀθετεῖται διὰ τὴν ταυτολογίαν· τὸ γὰρ ἀεί ταυτόν ἐστι τῷ ἔθοντες, τὸ δὲ κερτομέοντες τῷ ἐριδμαίνωσιν, τὸ δὲ ἐπὶ ὁδῷ τῷ εἰνοδίοις. ἄλλως τε ὁ ποιητὴς κερτομίζειν ἀεί φησι τὸ διὰ λόγων ἐρεθίζειν, οὐκ ἔργῳ. τινὲς δὲ ὁδῷ ἔπι οἰκί' ἔχοντες γράφουσιν, ἐπὶ τῶν παίδων ἀκούοντες. καὶ εἰς τὸ κερτομέοντες λείπει τὸ οἱ, ἵν' ᾖ οἱ κερτομικοί.

263. παρά τίς τε κιών] παροδεύων τις. πλεονάζει οὖν ὁ τέ σύνδεσμος.

267. βοὴ δ' ἄσβεστος ὀρώρει] Ἀχαιῶν μὲν ἐπὶ τῇ χαρᾷ βοησάντων, Τρώων δὲ θορυβηθέντων.

268. ἑτάροισιν] οὔπω ἐμβάλλουσιν εἰς πόλεμον, ἀλλὰ περὶ αὐτὸν οὖσιν, ἐπεὶ οὐδ' ἂν ἠκούσθη τῇ βοῇ. καλῶς δὲ ἐπὶ μὲν Ἀχιλλέως ἡσυχίαν ἄγει· νῦν δὲ ἐπ' ἐξουσίας γεγονὼς παρακαλεῖ γενναίαν καὶ φιλόστοργον παράκλησιν, φίλους τε Ἀχιλλέως καλῶν ἰσάζεσθαι παρακαλεῖ τοῦ φίλῳ.

271. ὡς ἂν Πηλείδην τιμήσομεν] μέγαν αὐτοῖς ὑπογράφει σκοπὸν, τὴν Ἀχιλλέως τιμὴν εἰς ἀνδραγαθίαν.

273. γνῷ δὲ καὶ Ἀτρείδης] ἔμφρων ὁ Πάτροκλος ὁ παρόντα μὲν ἐλέγχων μετὰ παρρησίας (“νηλεὲς, οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεὺς οὐδὲ Θέτις μήτηρ”), ὑπὲρ ἀπόντος δὲ τοῦ φίλου ἀπολογούμενος. ἅμα δὲ καὶ ἐμβριθὴς ἡ παράκλησις, δεῖξαι σπεύδοντος Ἀγαμέμνονι ὡς αἴτιος τῆς Ἑλληνικῆς γέγονε συμφορᾶς.

276. ἐν δ' ἔπεσον] ἀκολούθως τοῖς Ἀχιλλέως παραγγέλμασιν ἐπικρατέως ἐνέπεσον.

278. εἴδοντο Μενοιτίου] αὐτοὶ μὲν οὐκ εἶδον ὡς Μενοιτίου υἱὸν, προαναπεφώνηκε δὲ τοῦτο ἀφ' ἑαυτοῦ ὁ ποιητής.

279. αὐτὸν καὶ θεράποντα] Αὐτομέδοντα ἐν τοῖς ὅπλοις ὄντα Πατρόκλου ᾤοντο εἶναι Πάτροκλον, Πάτροκλον δὲ Ἀχιλλέα.

280. πᾶσιν] ἀντὶ τοῦ πάντων. ἐνδείκνυται δὲ ὁ ποιητὴς τοὺς πολλοὺς οὐκ ἀληθείᾳ, δόξῃ δὲ καὶ φαντασίᾳ τῶν πραγμάτων ἐχομένους.

4. * ἐξ ἔθους] εἰς ἔθος   15. * ἐμβάλλουσιν] ἐμβαλοῦσιν

286. *νηῒ πάρα πρυμνῇ*] *καλῶς τῇ κινδυνευούσῃ νηῒ πρώτῃ ἐπικουρεῖ· τοῦτο γὰρ ἔλεγεν Ἀχιλλεύς "μὴ δὴ νῆας ἕλωσι"* (128).

290. *ἐκ πλήρους ἡ ἀμφί. τὸ δὲ ἑξῆς, ἀμφί μιν ἤτοι περὶ αὐτὸν οἱ Παίονες ἐφόβηθεν. ἐκ πρώτου δ' ηὔξηται τοῦ Πατρόκλου ἡ ἀρετή, οὐ τὸν τυχόντα ἀνελόντος. πιθανὸν δὲ φεύγειν τοὺς ἄλλους διὰ τὴν ὑπεροχὴν τοῦ ἀναιρεθέντος.*

293. *ἔσβεσεν*] *τῆς σβέσεως αἴτιος ἐγένετο. σβεννύει δὲ Πάτροκλος ὅπερ ὁ Ζεὺς ἀνῆψεν. ἐπαινετὰ δὲ τὰ ἔπη ὡς ἐν τῷ τάχει καὶ τὴν ἀξιοπιστίαν ἔχοντα.*

294. *ἐναργῶς ἔχει τὸ* ἡ μ ι δ α ή ς· *σχεδὸν γὰρ αἴρει τὰς αἰσθήσεις ἡ τῶν ὀνομάτων αἴσθησις, καὶ ἐν ὄψει τὸ πρᾶγμα δείκνυσιν.*

τοὶ δ' ἐφόβηθεν] *ὅρα ὅτι οὐκ ἀφίσταται τοῦ ῥήματος· τοῦτο γάρ ἐστι τὸ καιρὸν παρασχὸν κατασβέσαι τὴν ναῦν, ἡ τῶν πολεμίων ὑποχώρησις.*

297. *ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς*] *ἐπεὶ ἐν ταῖς ἀκρωρείαις πυκνὰ νέφη ἐπικαθίσαντα σκοτίζειν εἴωθε τὸν ὑποκείμενον τόπον, εἰκότως εἴληπται ἡ παραβολή.*

299. *σκοπιαί*] *τόποι ἐπιτήδειοι πρὸς τὴν πόρρω σκοπήν.*

300. *ὑπερράγη ἄσπετος αἰθήρ*] *τῶν νεφῶν διαρραγέντων ὤφθη αἰθήρ, ὥς φαμεν ῥαγῆναι τὸν ὑετόν.*

303. *οὐ γάρ*] *δαιμονίως ἔτι συνέχει τὸν ἀγῶνα ὁ ποιητής· οὐ γὰρ πιθανὸν μηδενὸς δὲ νοῦ γενομένου προτροπάδην τοὺς βαρβάρους φυγεῖν.*

306. *κεδασθείσης ὑσμίνης*] *ἄλλος γὰρ ἄλλῃ ἔφυγεν. διὰ δὲ τῶν Μυρμιδόνων σβέσας τὸ πῦρ καὶ τοὺς πολεμίους ἐάσας, τοὺς ἡγεμόνας προήγαγεν ἀριστεύοντας, δεικνὺς ὡς οὐ σβέννυται τὸ γενναῖον τῶν ἀνδρῶν ἐν ταῖς συμφοραῖς. οὐκ ἐδεήθησαν οὖν ἀναψύξεως, ἀλλ' ἐκθυμότερον ἀφ' ὧν ἔπαθον ἀμύνονται τοὺς Τρῶας.*

308. *στρεφθέντος*] *εἰς φυγὴν δηλονότι.*

313. *Ἀριστοφάνης* ὑ φ ο ρ μ η θ έ ν τ α, *ἀντὶ τοῦ ὑποχωρήσαντα· καὶ οὐκ ἄχαρις ἡ γραφή.*

314. *πρυμνὸν σκέλος*] *τὸ ἔσχατον πρὸς τὸν μηρόν. λέγει δὲ τὴν γαστροκνημίαν.* ὀ ρ ε ξ ά μ ε ν ο ς *δὲ πρὸς τὸ τύψαι· ὁ γὰρ τύπτων ἐκτείνει τὴν χεῖρα.*

315. *μέμφονται λέγοντες τὰς πρὸς τοὺς μῦς πληγὰς ἐπωδύνους μέν, μὴ θανασίμους δὲ διὰ τὸ οὐ συνάπτεσθαί τινι τῶν καιρίων. οἱ*

δέ φασιν ὡς μύες ἐκ νευρῶν εἰσὶ πεπλεγμένοι καὶ σαρκὸς στεριφῆς, ὅθεν ἐν ταῖς διακοπαῖς αὐτῶν ὀδύναι γίνονται ἕνεκεν τῶν νευρῶν, αἱμορραγίαι δὲ διὰ τὰς φλέβας καὶ ἀρτηρίας, τελευταῖον δὲ διὰ τὰς τοῦ ἐγκεφάλου συμπαθείας· δύο γὰρ καταπεφύκασιν αὐτοῦ νεῦρα ἀπὸ νωτιαίου μυελοῦ. συμπαθεῖ δὲ καὶ ἡ καρδία τῷ ἐμπεφυκέναι αὐτῇ τὰς φλέβας. καλῶς δὲ καὶ πάχιστον αὐτόν φησιν· ὁ γὰρ ἐν τῷ σώματι παχύτατος μῦς ἐν τῇ κνήμῃ ἐστὶ καταγόμενος ἐπὶ τὴν πτέρναν, ὃς καὶ τένων καλεῖται.

317. Νεστορίδαι] ἀντὶ τοῦ Νεστοριδῶν· ἢ ἀπὸ κοινοῦ τὸ οὔτασαν. δεῖγμα δὲ φιλαδελφίας καινὸν παρέλαβε, καὶ τὸν λόγον ἥδιστα κατεσχημάτισεν.

321. τοῦ δ'] ὑπερφυὴς ἡ ποικιλία· οὐ γὰρ ἔφη ὅτι δύο ἀδελφοὶ δυσὶν ἀδελφοῖς ἐπεχώρησαν, ἀλλὰ μετὰ τὴν τοῦ προτέρου ἀναίρεσιν ὁ δεύτερος ἐπαμύνων τῷ ἀδελφῷ ἐπιχωρεῖ τῷ Ἀντιλόχῳ, ἀναιρεῖ δὲ αὐτὸν Θρασυμήδης ὑπερμαχῶν τοῦ ἀδελφοῦ. τὴν ἑκατέρου οὖν διόλου φιλαδελφίαν ἐμφαίνει, τοῦ μὲν δι' ἀδελφὸν ἀποθανόντος, τοῦ δὲ δι' ἀδελφὸν ἀνελόντος.

323. πρυμνὸν δὲ βραχίονα] τὸν ἔσχατον μυῶνα τοῦ βραχίονος ἀπέδρυψεν ἡ ἀκωκὴ τοῦ δόρατος. εἰ μὲν οὖν τοῦ ἐγκεφάλου ἀποπέφυκε τὰ νεῦρα εἰς νωτιαῖον μυελὸν, ἐκ νεύρων δὲ οἱ μύες, ἐκ καρδίας δὲ αἱ φλέβες εἰς τὸν μῦν, συμπάθειαν ἔχουσι καὶ τὰ καίρια· ὅθεν αἱ ἀθρόαι τῶν μυῶν πληγαὶ θανατοῦσιν.

324. τὸ ἑξῆς, ἀπάραξεν ὀστέον ἄχρις. τὸ δὲ ἄχρις ἀντὶ τοῦ ἕως ὀστέου· τὸ γὰρ ἄχρις καὶ χρονικὸν καὶ τοπικὸν, ὡς νῦν.

330. Αἴας δέ] πιθανῶς τὸ ζωγρῆσαι οὐκ ἄλλῳ τινὶ περιέθηκεν ἢ τῷ Ὀϊλέως Αἴαντι· ἔστι γὰρ τάχιστος. διὸ καὶ τὸ ἐπορούσας πρόσκειται· ἱκανώτατος γὰρ ἦν τῶν ἄλλων ἐπιδραμὼν συλλαβεῖν τινά.

333. πᾶν] ἀντὶ τοῦ ὅλον. τοῦτο δὲ ἐμφαίνει τὴν ἀθρόαν αἱμορραγίαν. ἀλλαχοῦ δὲ "ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσιν" (Il. 5, 75). τὸ τὸν δέ ἀντὶ τοῦ τοῦ δέ· ἡ δὲ κατά πρὸς τὸ ἔλαβεν.

335. Πηνέλεως] τὸ διήγημα κατὰ ἀναστροφήν· οὐ γὰρ πρῶτον ἀποτυχόντας εἰσάγει, εἶτα διὰ τοῦτο συμπλεκομένους, ἀλλ' ὥσπερ

1. * μύες] μυῖες hic et infra. * στεριφῆς] στερριφῆς
10. * καινὸν] κοινὸν
14. * ἐπιχωρεῖ] ἐπιχειρεῖ
31. * τὸ τὸν δέ ἀντὶ τοῦ] τὸν δέ

αἰτίαν τῆς συνδρομῆς ἀποδιδοὺς τὸ προγεγενημένον, δεδήλωκεν ὅτι ἀκοντίσαντες ἐπ' ἀλλήλους ἥμαρτον.

336. μέλεον] ματαίως. οἱ τραγικοὶ δὲ τὸ μέλεον ἐπὶ τοῦ οἰκτροῦ τάσσουσιν. ὁ δὲ δέ ἀντὶ τοῦ γάρ.

339. ἐρραίσθη] διεκλάσθη καὶ διεφθάρη ὑπὸ τῆς βίας τοῦ τύψαντος.

θεῖνε] ἀντὶ παρῳχημένου τοῦ ἐπάταξε. ποικίλλει δὲ συνήθως τὰς πληγάς.

345. κατὰ στόμα] ποικίλως πάνυ· φθάνει γὰρ τὸ ἐναντίον διαθέμενος τοῦ περὶ Πάνδαρον. τοῦ μὲν γὰρ ἄνωθεν πληγέντος τὸ δόρυ διὰ τοῦ στόματος διέρχεται· ἐνταῦθα δὲ ἡ μὲν πληγὴ διὰ τοῦ στόματος γίνεται, διαπερᾷ δὲ τὸ δόρυ διὰ τῆς κεφαλῆς.

347. νέρθεν ὑπ' ἐγκεφάλοιο] ἐπάνω τῆς ὑπερῴας ἠνέχθη ἡ πληγὴ κατὰ τὸν ἐγκέφαλον. οἱ δὲ ὀδόντες κατὰ τὴν ἐπιδρομὴν τοῦ δόρατος ἐξετινάχθησαν. ὀστέα δὲ Ἀπολλώνιος τοὺς σπονδύλους φησίν. οἰκείως δὲ ἐπὶ μὲν τῶν ὀστῶν ἐκέασθεν, ἐπὶ δὲ τῶν ὀδόντων ἐτίναχθεν, ἐπὶ δὲ τοῦ δόρατος ἐξεπέρησέ φησιν.

348. ἐνέπλησθεν δέ οἱ] ἡ αἱμορραγία ὅλην τὴν κεφαλὴν διελθοῦσα διὰ τῶν ὀφθαλμῶν ἐφάνη μάλιστα· εἰσὶ γὰρ ἐξ ὑμένων λεπτῶν. ὅθεν οἱ ἰκτεριῶντες ἀπ' ὀφθαλμῶν δῆλοι τὰ πρῶτα γίνονται, τῆς χολῆς ὑποδραμούσης.

350. πρῆσε] ἐξεφύσησε· καὶ ἀλλαχοῦ "ἐν δ' ἄνεμος πρῆσεν" (Il. 1, 481). εἰκὸς δὲ τῶν ἐν τῇ κεφαλῇ φλεβῶν διακοπεισῶν προχυθὲν τὸ αἷμα διὰ τῶν ὀφθαλμῶν καὶ τοῦ στόματος καὶ τῶν ῥινῶν χωρῆσαι.

352. ὡς δὲ λύκοι] ὅταν ἑνὸς ἔφοδον δηλῶσαι θέλῃ, λέοντα εἰς τὴν εἰκόνα παραλαμβάνει. νῦν δὲ τὴν τοῦ πλήθους ἔφοδον ἐμφῆναι βουληθεὶς τὰ ἀγεληδὸν ἐφορμῶντα ζῷα παρέλαβε, τοὺς λύκους.

353. μήλων] προβάτων καὶ αἰγῶν. πάντα γὰρ παρὰ τοῖς παλαιοῖς κοινῶς τὰ θρέμματα πρόβατα ἐκαλοῦντο, καὶ Εὔπολις προβατικὸν χορὸν τὸν ἐξ αἰγῶν φησί· ὑπὲκ μήλων δὲ αἱρεύμενοι· ἀντὶ τοῦ ὑπεξαιρούμενοι τῶν προβάτων.

357. δυσκελάδου] προσφυὲς τὸ ἐπίθετον· βοῶσι γὰρ καὶ οἱ διώκοντες καὶ οἱ διωκόμενοι.

33. * ὑπεξαιρούμενοι] ὑπεξυφαιρούμενοι

358. δαιμονίως οὐκ ἄλλῳ περίκειται τὸ ἐπιτηρεῖν τὸν Ἕκτορα, ἀλλὰ τῷ Αἴαντι, εἰκότως· ἔχει γάρ τι πρὸς αὐτὸν ὁ ἥρως ὡς ἂν δι' αὐτὸν ἀποκρουσθεὶς τῆς νεώς· εἰκὸς οὖν αὐτὸν σπεύδειν ἀποδοῦναι τὰ ὅμοια.

361. σκοπεύων ἐφύλαττεν ἑαυτόν. καλῶς δὲ ἐπὶ μὲν τοῦ ταχέος καὶ κούφου ῥοῖζόν φησιν, ἐπὶ δὲ τοῦ βραδέος καὶ βαρέος δοῦπον.

364. νέφος ἔρχεται] οὐ τὴν ἄνω φορὰν ποιούμενον (πῶς γὰρ ἐξ αἰθέρος γινομένης τῆς λαίλαπος ὑψοῦται τὰ νέφη;) ἀλλὰ τὴν εἰς πλάτος. οὕτω καὶ οἱ Τρῶες προσεδρεύοντες πρώην τῷ ναυστάθμῳ ἐπεξετάθησαν εἰς τὸ πεδίον. Ὄλυμπος δὲ καὶ οὐρανὸς ὁ περὶ τὰ νέφη τόπος. λέγει δὲ ὅτι ἀπὸ τοῦ τόπου, οὗ εἰσὶ κινούμεναι, περιέρχονται τὸν ὅλον οὐρανόν. ἐξήλλαξε δὲ τὸν λόγον, εἰπὼν Ὄλυμπον καὶ οὐρανόν. δίης δὲ τῆς ὑπὸ Διὸς ἀρχομένης. τὸ δὲ λαίλαπα τείνῃ, ὅταν, φησὶν, ὁ Ζεὺς ἐκ τῆς αἰθρίας ἐπιτείνῃ λαίλαπα. ἐν δὲ τοῖς ὑπομνήμασι κατὰ δοτικὴν ἦν λαίλαπι, ἵν' ᾖ ὅταν ὁ Ζεὺς ἐν λαίλαπι παρατείνῃ τὰ νέφη.

367. Ἕκτορα δ' ἵπποι] καὶ μὴν ἔξω τὴν ἵππον εἴασαν. ἀλλὰ ὁ Ἀπόλλων ἱππήλατον αὐτοῖς ἐποίησεν· "αὐτὰρ ἐγὼ προπάροιθεν ἰὼν ἵπποισι κέλευθον πᾶσαν λειανέω" (Il. 15, 260) καὶ "ἵππους δ' εἰσελάσαντες ἐπὶ πρύμνῃσι μάχονται" (ib. 385).

371. ἄξαντ' ἐν πρώτῳ ῥυμῷ] πρὸς τὰς συνωρίδας αἷς ἐχρῶντο Τρῶες τὸ δυϊκόν. πρώτῳ δὲ ῥυμῷ τῷ ἄκρῳ πρὸς τὸν ζυγόν· οἱ δὲ τῷ πρὸς τὸν ἄξονα.

374. τμάγεν] διεκόπησαν καὶ διεσκορπίσθησαν ἀπ' ἀλλήλων. δι' ὧν δὲ μεστοῖ τὰς ὁδοὺς πάσας, τὸ πλῆθος παρίστησι· "πολλαὶ γὰρ ἀνὰ στρατόν εἰσι κέλευθοι" (Il. 10, 66).

378. ὑπὸ δ' ἄξοσι] οἱ Τρῶες, φησὶ, πρηνεῖς πίπτοντες ὑπὸ τοῖς ἄξοσιν ἐγίνοντο, εἰς οὓς καὶ ἀνεκυμβαλίαζον οἱ δίφροι, ὡς τοὺς πίπτοντας αἰτίους πτωμάτων τοῖς ἐπιβάταις γίνεσθαι. πρηνεῖς δὲ ἔπιπτον ὡς ὄπισθεν τιτρωσκόμενοι.

379. ἀνεκυμβαλίαζον] ἀνεπήδων, ἀνεκουφίζοντο, ἀπὸ τῶν κυμβάλων ἃ προσκρουόμενα ἀλλήλοις ὑπερπηδᾷ. ἅμα δὲ καὶ βομβῶδες ὂν τὸ ῥῆμα ἔμφασιν ἔδωκε τῇ ἀνατροπῇ. τὸ δὲ ἑξῆς οὕτως ἐγὼ οἶμαι, ὑπὸ τῶν ἀξόνων πρηνεῖς ἔπιπτον ἐξ ὀχέων. οἱ γὰρ δίφροι

3. * νεώς] νεός

ἀνεκυμβαλίαζον· ἀνακουφιζομένων οὖν τῶν ἀξόνων πρηνεῖς ἔπιπτον καὶ οἱ ἐπιβάται.

383. ἔκφερον] ἐξενηνόχεισαν διὰ τῆς ὑπ' Ἀπόλλωνος γεγονυίας ὁδοῦ. πῶς δὲ αὐτὸν οὐ διώκει Πάτροκλος; ὅτι τάχιον ἐξελάσας προέφυγεν. ἄτοπον δὲ ἦν ἐπιδιώκοντα πόρρω που ἐκεῖνον ἀμελεῖν τῶν λοιπῶν.

385. ὀπωρινῷ] τῷ μετοπωρινῷ· καὶ γὰρ ὄμβρος πολὺς κατὰ τὸ μετόπωρον γίνεται. Ὁμήρῳ δὲ οὐκ ἀρκεῖ τὸ φυσικὸν μόνον πρὸς αὔξησιν, ἀλλὰ καὶ τὴν ἀπὸ τοῦ θείου ὀργὴν παρέλαβεν, ὠφελῶν κἀν ταῖς παραβολαῖς καὶ δεικνὺς ὅσα τοῖς ἀδικοῦσι συμπίπτει δεινά.

387. οἳ βίῃ] οἳ κακῶς κρίνοντες σκολιὰς ποιήσουσι τὰς θέμιστας. παιδευτικὰ δὲ πρὸς τοὺς βασιλεῖς ταῦτα καὶ τοὺς κριτὰς φαίνεται. ἔοικε γὰρ τὸ θεῖον τοὺς ἀδίκους κολάζειν.

388. θεῶν ὄπιν οὐκ ἀλέγοντες] τὴν τῶν θεῶν ἐπιστροφὴν μὴ ἔχοντες ἐν λόγῳ.

390. κλιτῦς] κλίματα ὀρῶν. μεμάκρυνται δὲ τὸ κλι καὶ περισπᾶται τὸ τυς, ἐπεὶ ἀπὸ τοῦ κλιτύας, ὡς ὀσφύας ὀσφῦς.

χαράδραι] κυρίως οἱ κοῖλοι τόποι, παρὰ τὸ κεχαράχθαι· νυνὶ δὲ αἱ ῥύσεις. χάραδρος μὲν οὖν ὁ ἐν γεωλόφοις κατερρηγμένος τόπος, χαράδρα δὲ ὁ ἐν ἐπιπέδοις.

391. στενάχουσι ῥέουσαι] πρὸς τοῦτο ἡ πᾶσα παραβολή· τὰ δὲ ἄλλα εὐσεβείας χάριν παρενέθηκεν.

392. ἐπικάρ] τὸ τέλειον ἐπὶ κάρα, ὅ ἐστιν ἄνωθεν κάτω. ἄμεινον δὲ ἐπὶ κρασὶν, ὡς εἶναι οὕτω τὸ τέλειον, διὰ τὸ σύνηθες τῶν ἀποκοπῶν.

393. ὣς] ὡς αἱ χαράδραι. κέχρηται δὲ ἐνταῦθα τῇ παρισώσει· μεγάλα στενάχουσι ῥέουσαι· εἶτα ἀντέθηκε μεγάλα στενάχοντο θέουσαι.

394. Πάτροκλος δ' ἐπεὶ οὖν] θαυμάσειεν ἄν τις τὴν Ὁμήρου φύσιν κατὰ πολλὰ ὅτι λανθάνει τὰ ὅμοια λέγων, ὥστε δοκεῖν ἄλλα καὶ ἄλλα εἶναι. ταῦτα γοῦν οὐδὲν διαφέρει τῶν ἐπ' Ἀχιλλεῖ λεγομένων, ὅπου κατὰ νώτου φησὶν αὐτὸν τῶν πολεμίων γενόμενον τὴν ἑτέραν μοῖραν τῶν βαρβάρων διώκειν· "ἔνθα διατμήξας τοὺς μὲν πεδίονδ' ἐδίωκεν" (Il. 21, 3).

395. παλιμπετές] παλιμπετῶς· ἀπὸ τῶν εἰς τοὐπίσω πιπτόντων βελῶν.

1. *ἀνεκυμβαλίαζον] ἀνεκυμβάλιζον

399. ἔνθ' ἤτοι Πρόνοον] συντόμως ἅμα καὶ κεχαρισμένως τῷ ἀκροατῇ πεποίηται τὴν τῶν Ἑλλήνων ἐκδίκησιν. ὁ μὲν οὖν Πρόνοος παραιβάτης ἦν, διὸ καὶ ἀσπίδα φέρει· ὁ δὲ Θέστωρ ἡνίοχος αὐτοῦ.

402. εὐξέστῳ] ἀδιαίρετον διὰ τὸ μέτρον.

403. ἀλείς] συστραφεὶς ἐν ἑαυτῷ ὑπὸ τοῦ φόβου καὶ τῆς ἐκπλήξεως.

405. διὰ δ' αὐτοῦ πεῖρεν ὀδόντων] διέπειρε τῶν ὀδόντων αὐτοῦ, Ἀττικῶς.

406. ἐμφαντικῶς τῇ προσθήκῃ τοῦ ὑπὲρ ἄντυγος καὶ τὸν τόπον ἔδειξε δι' οὗ εἷλκε, καὶ τὸ πρᾶγμα ὑπ' ὄψιν ἤγαγε. παντάπασι δὲ ἡ παραβολὴ ὡμοίωται. καταδέδυκε γὰρ ἐν τῷ δίφρῳ ὡς ὁ ἰχθὺς ἐν τῇ θαλάσσῃ. καὶ ὁ μὲν ἐν τῷ ἀγκίστρῳ, ὁ δὲ τῇ αἰχμῇ ἐνέχεται. κεχήνασιν ἀμφότεροι. καὶ ὁ μὲν ἕλκων παραβέβληται τῷ ἁλιεύοντι, ὁ δὲ ἑλκόμενος τῷ ἰχθύϊ, τὸ δὲ δόρυ δι' οὗ εἵλκετο τῷ ἁλιευτικῷ καλάμῳ.

407. ἱερὸν ἰχθύν] οἱ μὲν τὸν ἀνθίαν, ἐπεὶ Ἀριστοτέλης ἐν τῷ θ' (9, 37) περὶ ζῴων ἱστορεῖ ὅτι ὅπου δ' ἂν ἀνθίας ὁραθῇ, οὐκ ἀδικεῖ τι θηρίον· ᾧ καὶ σημείῳ χρώμενοι κατακολυμβῶσιν οἱ σπογγιεῖς. οἱ δὲ χρύσοφρυν, οἱ δὲ πομπίλον. ἄμεινον δὲ μέγαν καὶ ἀσυνήθη. οἱ δὲ διερόν. διδάσκει δὲ ποῦ δεῖ τοὺς ἁλιέας καθέζεσθαι, οὐ παρ' αἰγιαλῷ, ὅπου σπάνιος ἰχθὺς παρατρέχει.

408. λίνῳ] τῇ διὰ νεύρων ἢ τριχῶν ἱππείων ὁρμιᾷ· καὶ ταῦτα γὰρ λίνα φασί. τὸ δὲ θύραζε ἀντὶ τοῦ ἔξωθεν, ὁμοίως τῷ "δόρυ μείλινον ὦσε θύραζε" (Il. 5, 694).

χαλκῷ] τῷ ἀγκίστρῳ· ἀπὸ δὲ τοῦ ὅλου τὸ μερικόν· μόνος δὲ τῶν ἀψύχων ποικίλην ἔχει φωνήν. ἢ καὶ ὁ ἄσημος· τὸ γὰρ ἤνοπι δηλοῖ τὸ ἐμφώνῳ· τυπτόμενος γὰρ ἦχον ποιὸν ἀποτελεῖ.

411. βάλε πέτρῳ] πῶς λίθων εὐπορεῖ ἐφ' ἅρματος ὤν; ἔοικε κατὰ τὸ σιωπώμενον καταβεβηκέναι ἀπὸ τοῦ δίφρου, εἶτα μετὰ τὸ πλῆξαι τὸν Εὐρύαλον πάλιν ἐπαναβεβηκέναι. ὅτι γὰρ ἐφ' ἅρματός ἐστι πάλιν ἑξῆς (427) φησὶν "Πάτροκλος δ' ἑτέρωθεν ἐπεὶ ἴδεν, ἔκθορε δίφρου." καὶ τὸ ἐπεσσύμενον ἐπὶ μὲν πεζοῦ οἰκεῖον, ἀπίθανον δὲ ἐπὶ ἱππότου.

414. θυμοραϊστής] τετρασυλλάβως καὶ βαρυτόνως ὁ Γλαῦκός

17. θ'] ιθ' 19. * σπογγιεῖς] σπογγεῖς 32. ἴδεν] εἶδεν

φησιν, ἵν' ᾖ θυμοραίστης, ἀλλὰ κακῶς· ἀντίκειται γὰρ αὐτῷ τὸ θυμοραϊστέων.

415. αὐτὰρ ἔπειτ'] διὰ καλλίστης καὶ ταχείας τῆς φράσεως καταλέγει τίσιν ἐπιτρέχει· τὸ γὰρ ἐπὶ πάντων κατὰ μέρος ἐπεξεργάσασθαι ἀδόλεσχον ἦν.

419. Σαρπηδὼν δ'] ὡς τῷ Ἀχιλλεῖ τὸν ἄριστον τῶν Τρώων φυλάσσων, τῷ Πατρόκλῳ τὸν ἄριστον τῶν συμμάχων ἄγει εἰς μάχην. ἔδει δὲ ἀπὸ τῶν πολεμίων γενέσθαι τινὰ ὑπεναντίωσιν· τὸ γὰρ μέχρι παντὸς ἀναιρουμένους αὐτοὺς εἰσάγειν ἀπίθανον καὶ ἀργόν.

ἀμιτροχίτωνας] οὐχ ὑποζωννυμένους μίτρας τοῖς θώραξιν, ἢ ἀζώστους· οὐδέποτε δὲ μίτραν φησὶ τὴν ζώνην ὁ ποιητής. ἄτοπον δὲ οὕτω καταφρονεῖν καὶ μὴ χρῆσθαι μίτρᾳ, ὅπου γε καὶ Ἄρης αὐτῇ χρῆται. οἱ δὲ τοὺς ἅμα θώρακι συνηρτημένην ἔχοντας μίτραν. οἱ δὲ, οὐκ ἐπὶ πάντων τὸ ἐπίθετον, ἀλλ' ἐπὶ τῶν ἀνῃρημένων, οἷον ὅτι εἶδεν αὐτοὺς ἀμιτροχίτωνας γεγενημένους διὰ τὸ ἐσκυλεῦσθαι.

422. νῦν θοοὶ ἔστε] ἀγαθοὶ καὶ ταχεῖς εἰς τὸ πολεμεῖν γίνεσθε, ὡς τὸ "νῦν τοι ἐελδέσθω πόλεμος κακὸς, εἰ θοός ἐσσι" (494). καιρίως δὲ κεῖται τὸ νῦν, οἷον εἰ καὶ πρότερον ἐφεύγετε, νῦν ἐπιστρέψατε ἑαυτούς.

423. ἀντήσω] ἐναντίος ἥξω. ἀνύσιμοι δὲ αἱ ἐκ τῶν πονούντων παραινέσεις.

428. ὥστ' αἰγυπιοί] ἄκρως τὸ ὁμοίωμα παρετήρησεν· οὐ γὰρ ἀσφαλῶς συμβάλλει τὰ ζῷα ταῦτα εἰς μάχην. πρὸς τὸ ἰσοδυναμοῦν οὖν τῶν ἀντιμαχομένων τῇ εἰκόνι κέχρηται, ἐνδείξασθαι βουλόμενος ὅτι ὅμοιοι ἦσαν.

431. τοὺς δὲ ἰδών] ἅμα μὲν ἵνα διάστημα γένηται ἀπὸ τῆς μάχης, ἐπιβάλλει ταῦτα ὁ ποιητής· οὐδὲ γὰρ ἦν ἄξιον τοιοῦτον ὄντα τὸν Σαρπηδόνα ἀνεπισήμαντον ἐᾶσαι· ἅμα δὲ προσοχὴν ἐργάζεται τῇ τοῦ μονομαχίου σκέψει.

433. ὤ μοι] οὐ μεμπτέον τὸν ποιητὴν τὰ τῇ συγγενείᾳ παρεπόμενα κατὰ μέρος διεξιόντα. διδάσκει δὲ παιδευτικῶς ὁ ποιητὴς διὰ τούτων ὅτι δεῖ τοῖς συμβαίνουσιν ἐμμένειν ἀνιαροῖς, ὅπου καὶ Ζεὺς ὁ τῶν θεῶν ἄριστος.

438. οὐκ ἔστι δισταγμοῦ τὸ ἢ ἤδη δαμάσσω· οὐ γὰρ τοῦτο

15. *ἐσκυλεῦσθαι] ἐσκυλεῦθαι 23. *ἀσφαλῶς] ἀφανῶς Vill.

σκέπτεται ὁ Ζεύς, εἰ ὕστερον ὑπὸ Πατρόκλῳ δαμάσει, ἀλλ' ὅτι δύο βούλεται, ἢ σῶσαι ἢ δαμάσαι νῦν.

441. πεπρωμένον αἴσῃ] κεκριμένον τῇ μοίρᾳ. εὐπρεπῶς δὲ ἀντιλέγει, οὐ διὰ τὴν πρὸς βαρβάρους ἀπέχθειαν τὰ ἐναντία συμβουλεύειν προσποιουμένη, ἀλλὰ διὰ τὸ καθόλου καθῆκον.

446. μή τις ἔπειτα] ἰσχυρότατα ἀντιλέγει, φάσκουσα μιμήσεσθαι καὶ τοὺς ἄλλους τὴν Διὸς διάθεσιν· χρὴ γὰρ ὑπόδειγμα ὥσπερ τοῖς ὑπηκόοις εἶναι τὸν βασιλέα. ἔστιν οὖν τὸ κατὰ παράθεσιν ἐνθύμημα.

449. υἱέες ἀθανάτων] Ἰάλμενος Ἄρεως, Μενέσθιος Σπερχειοῦ, Εὔδωρος Ἑρμοῦ, Ἀχιλλεὺς Θέτιδος, Αἰνείας Ἀφροδίτης.

454. πέμπειν μιν] δεξιόν ἐστι τοῦτο τὴν ἀποθύμια διαλεγομένην τὸ μέν τι ἀνατρέπειν, τὸ δὲ χαρίζεσθαι. ἁρμόδια δὲ καὶ ταῦτα τῇ μητρυιᾷ· συγχωρεῖ γὰρ τὸ μηδὲν ἐκεῖνον ὠφελοῦν.

459. αἱματοέσσας δὲ ψιάδας] ἁρμόδιος ἡ τερατεία, ἐφ' ἥρωϊ τοιούτῳ καὶ πατρὸς πενθοῦντος Διὸς τὸ τὸν κόσμον μόνον οὐχὶ συνάχθεσθαι.

*Πορφυρίου. πολλάκις ἐν ταῖς μεταβολαῖς τῶν μεγάλων πραγμάτων ἱστοροῦσι τεράστια τῷ βίῳ συμφέρεσθαι καὶ σημεῖα ποταμῶν τε καὶ πηγαίων ναμάτων αἱμοφορύκτοις νάμασιν ἐκμαινομένων, ὡς ἐπ' Ἀσωποῦ τε καὶ Δίρκης παραδιδόασιν οἱ πάλαι μῦθοι. λόγος δ' ἔχει καὶ κατὰ νεφῶν ψεκάδας ὕεσθαι φόνου τισὶ κηλῖσιν ἐπικεχρωσμένας. ἐπεὶ τοίνυν ἡ μεταβολὴ τῆς μάχης ἀθρόαν φυγὴν ἐμποιήσειν ἔμελλε τοῖς βαρβάροις, ἐγγὺς δ' ὁ τοῦ κατ' ἀλκὴν ἀρίστου Σαρπηδόνος ὄλεθρος, ὡσπερεὶ τεράστια προφανῆ ταύτης τῆς συμφορᾶς ἀγγελτικά φησιν "αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε." τοῦτον δὴ τὸν φονέα ὄμβρον ἀλληγορικῶς εἶπεν αἰθέρος δάκρυα, Διὸς μὲν οὔ (ἄκλαυστος γάρ), ἐκ δὲ τῶν ὑπεράνω τόπων ὡσπερεὶ θρήνοις μεμιγμένου καταρραγέντος ὑετοῦ. ταυτὶ μὲν ἴσως ἐλάττω τεκμήρια περὶ τῶν ἠλληγορημένων.

460. παῖδα] ἀπήρκεσεν αὐτῷ τοῦτο τὸ ὄνομα πρὸς ἔνδειξιν τῆς τοῦ θεοῦ διαθέσεως.

463. Θρασύδημον] χαρίεν τὸ πρὸ τῆς ἀναιρέσεως προαγῶνά τινα γενέσθαι· ὁ μὲν γὰρ βάλλει τὸν θεράποντα, ὁ δὲ τὸν Πήδασον.

4. * ἀπέχθειαν] ἀπέχθειαν γὰρ * συμβουλεύειν] συμβουλεύει
18. * Πορφυρίου] om.
20. αἱμοφορύκτοις Bekkerus] αἱμοροφύτοις

465. νείαιραν] ἀπὸ τοῦ τὰ σιτία νεῖσθαι δι' αὐτῆς· οὐδαμοῦ γὰρ χρῆται ἐπὶ τοῦ ἐσχάτου τῷ ἐπιθέτῳ τούτῳ.

470. κρίκε] γράφεται καὶ τρίγε· πάντα δὲ τῶν κατὰ μίμησίν εἰσι. γραφικῶς δὲ ἔδειξε τὸν μὲν παρήορον κείμενον, τὰς δὲ ἡνίας συγκεχυμένας, τοὺς δὲ ἵππους διεστῶτας, τὸ δὲ ζυγὸν ἠχοῦν τῇ παρατρίψει.

475. ἰθυνθήτην] εἰς ὀρθὸν κατέστησαν. οὐχ ὡς αἰτίαν δὲ τὸ ἰθυνθῆναι τοὺς ἵππους παρέλαβε τῆς συνόδου τῶν ἡρώων· οὐ γὰρ ἐπὶ τῶν ἁρμάτων μάχονται· ἀλλὰ τὰ περὶ τοὺς ἵππους διηγησάμενος ἐπὶ τὰ περὶ Πάτροκλον μεταβαίνει.

ῥυτῆρσι] ἀντὶ τοῦ ἑλκυστῆρσι, παρὰ τὸ ἐρύω τὸ λαμβάνω. δηλοῖ δὲ καὶ τὸν βοηθὸν, ὡς τὸ "ῥυτῆρα βίου τ' ἔμεναι" (Od. 21, 173)· παρὰ τὸ ῥύω τὸ σώζω.

481. φρένες] τὸ ὑπὸ πνεύμονα διάζωμα τοῦ θώρακος. τοῖς δὲ τὰς φρένας τρωθεῖσιν ἕπεται ἐρεύγεσθαι τὸ μεῖζον καὶ μεγάλας τὰς ἐκπνοὰς ποιεῖσθαι. ἔρχαται δὲ, οἷον εἰργμέναι εἰσίν. αἱμορραγίας δὲ γενομένης θνήσκει· θάτερον γοῦν μέρος τοῦ πνεύμονος τὴν ἐκ τῶν ὑμένων ἔχει σκέπην, καὶ ἔστιν ἀπαθές.

*καὶ οὐ θαῦμα εἰ φθέγγεται. διελθὸν δὲ τὸ δόρυ τὸ διάφραγμα, ὃ καλεῖται φρένες, μέχρι καρδίας ἤνυσεν, ἣν λέγει κῆρ.

ἀδινόν] πυκνὸν, παρὰ τὸ ἄδην. κέαρ δέ φησι τὴν καρδίαν· πυκνὴ δὲ αὕτη καὶ νευρώδης κατὰ τὴν οὐσίαν.

487. ἠΰτε ταῦρον] ἡ πρώτη εἰκὼν πρὸς τὸ πτῶμα καὶ τὴν ἐπὶ πολὺ ἔκτασιν, ἡ δὲ δευτέρα πρὸς τὴν στοναχήν. ἅμα δὲ καὶ παραβέβληται τῇ τοῦ Σαρπηδόνος πρὸς τοὺς ἄλλους Τρῶας ὑπεροχῇ ὡς ταύρου ἐν ἀγέλῃ βοῶν.

491. *τὸ μενεαίνω σημαίνει $\overline{\gamma}$, τὸ λειποψυχῶ, ὡς ἐνταῦθα· καὶ τὸ ὀργίζομαι, ὡς τὸ "νήπιοι οἳ Ζηνὶ μενεαίνομεν" (Il. 15, 104), καὶ τὸ προθυμοῦμαι, ὡς τὸ "μενέαινε κῦδος ἀρέσθαι."

494. ἐελδέσθω] ἐν ἐπιθυμίᾳ γινέσθω. τὸ δὲ κακός ἀντὶ τοῦ θρασύς. πῶς γὰρ ἂν προτρέπων αὐτὸν πολεμεῖν κακὸν εἶπε τὸν πόλεμον;

498. κατηφείη καὶ ὄνειδος] αἴτιος αἰσχύνης καὶ ὀνείδους. ἐνάρετος δὲ ὁ ἥρως οὐ τὸν θάνατον αἰδούμενος, ἀλλὰ τὸ τὰ λάφυρα καταλεῖψαι τοῖς πολεμίοις.

6. *παρατρίψει] παρατρέψει 16. *ἔρχαται] ἔρχεται

500. νεῶν] ἄμεινον παροξυτόνως ἀναγινώσκειν νέων· οὐ γὰρ παρὰ ταῖς ναυσίν ἐστιν ὁ κίνδυνος νῦν. ἔστι δὲ ὅμοιον τῷ "νέων δ' ἀλάπαζε φάλαγγας" (Il. 11, 503).

ἀγῶνι] τῷ ἀθροίσματι τῶν νεῶν· οἱ δὲ τῇ μάχῃ.

502. τέλος θανάτοιο] τέλος θανάτου αὐτὸ τὸ ἀποπνεῦσαι· διαλεγόμενος γὰρ τελευτᾷ.

504. φρένες] τὰς σωματικὰς λέγει φρένας· κατ' ἐκεῖνο γὰρ γέγονεν ἡ πληγή. τῷ δόρατί φησιν ἐξελκομένῳ οἱ ὑμένες ἐνείχοντο τοῦ διαφράγματος.

507. λίπεν] διὰ τοῦ ε̄· τὸ γὰρ ἑξῆς ἐστὶν, ἐπειδὴ τὰ ἅρματα ἐλείφθησαν τῶν ἀνάκτων, τουτέστι τῶν δεσποτῶν ἠρημώθησαν.

508. ἀΐοντι] παρατατικῇ φωνῇ ἀντὶ συντελικῆς ἐχρήσατο.

515. Ἀρίσταρχος τὸ πλῆρες ἀντὶ τοῦ παντὸς, Ζηνόδοτος δὲ ἀντὶ τοῦ παντί. ἄμεινον δὲ τὸ τοπικὸν, ὡς Ἡρωδιανός. ἡ δὲ δοτικὴ ἀντὶ γενικῆς.

519. τερσῆναι δύναται] οὐ δύναται ξηρανθῆναι τὸ αἷμα. ἀλλαχοῦ δὲ τὴν ξηρασίαν φησὶν ὀδύνης ποιητικήν.

527. τὸ ἔκλυε ἀντὶ τοῦ ἐπήκουσεν· οὐδέποτε γὰρ ἐπὶ ψιλῆς ἀκοῆς τάσσει τὸ ῥῆμα.

530. Γλαῦκος δ' ἔγνω] τὸ γὰρ παραυτίκα παῦσαι τὴν ὀδύνην καὶ μένους αὐτὸν ἐμπλῆσαι προφανῶς θεῖον ἦν.

532. πρῶτα μὲν ὤτρυνε] ὑπεκκαύματα τῷ πολέμῳ πάλιν δίδωσιν ὁ ποιητής.

542. δίκῃσί τε καὶ σθένεϊ ᾧ] ταῦτα γὰρ σώζει, τὸ μὲν πόλιν καὶ οἰκήτορας, τὸ δὲ ἀπεῖργον τοὺς πολεμίους. Αἰσχύλος (fr. 311[a]) "ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη, ποία ξυνωρὶς τῶνδε καρτερωτέρα;" τὴν δίκην δὲ προτάσσει ὡς μᾶλλον τῶν ἄλλων ἁρμόζουσαν βασιλεῖ.

544. ἀλλὰ φίλοι πάρστητε] ἀπὸ τῶν ὀνειδιστικῶν εἰς τοὺς ἱκετικοὺς ἧκε, καὶ ἀπὸ τῶν πρὸς τὸν Ἕκτορα ἐπὶ τὸ πλῆθος τὸν λόγον μετήγαγεν.

545. *τὸ ἀεικίσσωσιν ἀντὶ τοῦ ὑβρίσωσιν. αἰκία δὲ οὐχ ἡ ὕβρις μόνον, ἀλλὰ καὶ τὸ αἶσχος, παρὰ τὸ μὴ ἐοικέναι, ὃ δηλοῖ τὸ καθήκειν, ὥς φησι "δαίνυ δαῖτα γέρουσιν, ἔοικέ τοι οὔτι ἀεικές" (Il. 9, 70), ὡς εἰ ἔλεγε, πρέπει σοι καὶ καθήκει τοῦτο. ὅτι δὲ ἡ αἰκία καὶ

1. *νέων] om. 8. *ἐξελκομένῳ] ἐφελκομένῳ

ἐπὶ τοῦ αἴσχους δηλοῖ· εἰπὼν γὰρ "τοῖο δ' Ἀπόλλων πᾶσαν ἀεικίην ἄπεχε χροΐ" (Il. 24, 18), φησὶν αἶσχος, ἄπειρον ἐξηγούμενος τὴν ἀεικίαν "κωφὴν γαῖαν ἀεικίζει μενεαίνων" (ib. 54), ἀντὶ τοῦ ὑβρίζει.

547. τοὺς ἐπὶ νηυσί] παλαιᾶς ἀνδραγαθίας ὑπέμνησεν, ὅπως μὴ ἀπολέσωσιν αὐτὴν τοῖς νῦν.

548. κρῆθεν] κάρα κάρηθεν τὸ ἀνάλογον, καὶ κατὰ συγκοπὴν κρῆθεν, καὶ μετὰ τῆς προθέσεως κατακρῆθεν.

549. ἕρμα] τὸ σήκωμα καὶ ὑποστήριγμα τῆς νεὼς πρὸς τὸ μὴ ἀνατρέπεσθαι ἐν τῷ νεωλκεῖσθαι· νῦν οὖν τούτου φησὶν ἀναιρεθέντος ἀνατραπήσεται ἡ Ἴλιος. αὔξει δὲ τὸν οἶκτον, ἐπιμαρτυρῶν τῷ ἀποθανόντι.

557. οἷοί περ πάρος ἦτε] πρὸς τοὺς πόνους προθυμίαν ἐργάζεται τῶν προπεπονημένων ἡ μαρτυρία.

τῶν πεπραγμένων αὐτῷ ὑπομιμνήσκει πρὸς ἀμύνης ὑπόμνησιν. πῶς δὲ ἀλλαχοῦ φησὶν "Ἕκτωρ Πριαμίδης ἐσήλατο" (Il. 12, 437); ἢ τάχα ἑκάτερος τῆς ἰδίας φάλαγγος.

558. *πῶς ἑτέρωθι λέγων ὁ ποιητὴς τὸν Ἕκτορα πρῶτον ἐσάλλεσθαι νῦν λέγει τὸν Σαρπηδόνα; ῥητέον οὖν ὅτι τὸ ἐσήλατο ἀντὶ τοῦ ἐσάλευσεν τότε τὴν ἔπαλξιν πρῶτος ἐπισπασάμενος. καὶ ψιλῶς ἀναγνωστέον καὶ δι' ἑνὸς λ̄.

559. ἀεικισσαίμεθ' ἑλόντες] ὅπερ σπεύδει δρᾶσαι, τοῦτο αὐτὸς κινδυνεύει παθεῖν ὑφ' Ἕκτορος, ὡς κἀκεῖνος ὑπ' Ἀχιλλέως· οὕτως τὰ τῆς Ἀδραστείας ἐνδείκνυται. πῶς δὲ μείλιχον ὑποστησάμενος τὸν ἄνδρα ἦθος αὐτῷ νῦν περιέθηκεν ὠμόν, τὸ θέλειν λυμήνασθαι σῶμα ἀναίσθητον; ἢ τάχα τὸ προκείμενον ἀπολογία ἐστὶ τῆς ὠμότητος "ὃς πρῶτος ἐσήλατο." καὶ χαλεπαίνει δικαίως τῷ πρῶτον ἐς τὸ τεῖχος εἰσθορόντι.

567. νύκτ' ὀλοήν] σκότον, ὡς τὸ "ὀρώρει δ' οὐρανόθεν νύξ" (Od. 5, 294). καὶ ἐπὶ Πατρόκλῳ "ἐπεὶ οὐδὲ Μενοιτιάδην ἤχθαιρε" (Il. 17, 270). δεινὴν τὴν μάχην ἤγειρε· μόνος γὰρ ἐν ἀμφοτέροις τοῖς στρατοῖς Διὸς υἱός.

569. ὦσαν δὲ πρότεροι Τρῶες] πιθανῶς, ὡς μὴ πάντα τοῖς Ἕλλησι καταχαρίζεσθαι δοκοίη· γενομένης γὰρ τῆς Γλαύκου προτροπῆς

2. *ἄπειρον] ὅπερ Vill.
3. γαῖαν Vill.] δὲ γαῖαν
9. *νεὼς] νεὸς
18. πρῶτον Vill.] πρώτως

εἰκὸς συστραφῆναι ὡς ἂν περὶ μειζόνων ἀγωνισομένους. ἑλίκωπες δὲ οἱ ἀξιοθέατοι, πρὸς οὓς ἑλίσσομεν τοὺς ὦπας.

572. ἐν Βουδείῳ] τὸ Βούδειον πόλις Φθιῶτις, ἀπὸ Βουδείου τοῦ Ἄργου ὠνομασμένη. πῶς δὲ ἂν ἱκέτευε τὸν βασιλέα τῆς ἑαυτοῦ πόλεως; ἢ τάχα ἑτέρα παρὰ ταύτην ἐστί.

574. ἡ ἐς ἀντὶ τῆς πρός. σημειωτέον δὲ ὅτι ἕως τῆς ἐπὶ Ἴλιον στρατείας συνῆν Θέτις Πηλεῖ. ἱκέτευσε δὲ, ἱκέτης ἦλθε. τὸ ἥμερον δὲ Πηλέως δείκνυται ἀπὸ Πατρόκλου Φοίνικος καὶ τούτου.

581. Πατρόκλῳ δ' ἄρ' ἄχος γένετο] δριμυτέραν τὴν μάχην ἐργάζεται, οὐ τὸν τυχόντα ποιῶν ἀναιρούμενον, ἀλλ' ἑταῖρον Πατρόκλου, ἵν' ἐπὶ τούτῳ πλέον χαλεπήνῃ.

582. ἴρηκι ἐοικώς] πρὸς τὴν ὁρμὴν καὶ τὸν ἀπ' αὐτοῦ γενόμενον φόβον τοῖς πολεμίοις. εἶτα παρέλαβεν ἐπὶ φόβου καὶ τῶν φευγόντων τὰ ἀγεληδὸν ἱπτάμενα τῶν ὀρνέων καὶ εὐκαταφρόνητα, κολοιοὺς καὶ ψᾶρας.

589. αἰγανέη εἴρηται ἀπὸ τοῦ νεῖσθαι εἰς αἶγας· ἔστι δὲ εἶδος ἀκοντίου. ταναοῖο δὲ τεταμένης. οὐ βούλεται δὲ πλέον τοὺς Τρῶας φεύγειν· διὸ εἴληφε σύμμετρον ἀκοντίου διάστημα, βουλόμενος σημᾶναι τὸ ὅσον ὑπεχώρησαν.

590. ἥν ῥά τ' ἀνήρ] ἣν ἀφῇ ἀνὴρ ἐν ἄθλῳ πειρώμενος, ἢ καὶ ἐν πολέμῳ, οὐχὶ πειρώμενος ἔτι· τίς γὰρ ἂν πεῖρα ἐν πολέμῳ γένοιτο; ἀλλὰ τὸ μὲν πειρώμενος ἐπὶ τοῦ ἐν ἀγῶνι βεβλημένου ἀκοντίου τέτακται, τὸ δὲ ἠὲ καὶ ἐν πολέμῳ πρὸς τὸ ἀφέηκεν. ἡ δὲ ὑπό ἀντὶ τῆς μετά, ἢ πλεονάζει. τινὲς δὲ ὑπὸ δηΐων πειραζόμενος.

593. Γλαῦκος δέ] ποικίλως χρῆται τῇ τάξει· μετὰ γὰρ τὴν τοῦ Γλαύκου προτροπὴν ἄρχεται ὁ Ἕκτωρ τοῦ ἔργου ὡς ἂν ὑπερέχων· ἐν δὲ τῇ ὑποστροφῇ τὰ πρωτεῖα Γλαύκῳ περίκειται.

594. ἐτράπετ'] ἐδήλωσεν αὐτὸ σαφέστερον διὰ τοῦ "στρεφθεὶς ἐξαπίνης" (598). καινὸς δὲ ὁ τρόπος· ὁ γὰρ φεύγων ἐπιστραφεὶς κτείνει τὸν διώκοντα.

601. σταν δ' ἀμφ' αὐτόν] ἔστησαν περὶ τὸν Γλαῦκον, ἐπιβοηθοῦντες τῷ προκαταρξαμένῳ τῆς ὑποστροφῆς.

606. ὑπὸ γναθμοῖο καὶ οὔατος] μεταξὺ τοῦ ὀστοῦ τῆς σιαγόνος καὶ τοῦ ὠτός.

8. στρατείας Bekkerus] στρατιᾶς 22. ἂν πεῖρα Bekkerus] ἀπόπειρα

611. πρόσσω γὰρ κατέκυψε] ὑπὲρ τοῦ ἀξιοπίστου τὸν μὲν Αἰνείαν ἐπιτυγχάνοντα ποιεῖ· ἐπέτυχε γάρ, εἰ μὴ κατέκυψεν ὁ Μηριόνης. καὶ τὸ τοῖς Ἕλλησι χαρίζεται διὰ τὴν σωτηρίαν Μηριόνου.

617. τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα — κατέπαυσε] Κρῆτες γὰρ ἀσκοῦσι τὴν ἐνόπλιον ὄρχησιν, ἔμπειροι ὄντες ἀπὸ τῆς τῶν Κουρήτων μυθολογίας· ἄκρως δὲ ἐξεφαύλισε τὸ εὐκίνητον τοῦ ἀνδρός· βουλόμενος γὰρ αὐτὸν ἐλαφρὸν εἰπεῖν, τοῦτο παρατρέψας εἰς ὄρχησιν ἐχλεύασεν. ἠπίστατο γὰρ ἐν ἑαυτῷ ὅτι εὐστόχως μὲν ἀφῆκε, διὰ δὲ τὴν ἐκείνου παρατροπὴν γέγονεν ἡ ἁμαρτία.

* ἐπυρρίχιζον δὲ τοῖς ὅπλοις οἱ Κρῆτες, ὅ ἐστι σὺν τοῖς ὅπλοις τὴν πυρρίχην καὶ ἔνοπλον ὄρχησιν ἠσκοῦντο· τρία δὲ εἴδη τῆς ὀρχήσεως, πυρρίχη, σίκιννις, ἥτις ἐστὶν ἱερατική, καὶ ὁ κορδακισμὸς, αἰσχρός τις ὢν καὶ μᾶλλον κοσμικοῖς ἁρμόδιος.

620. χαλεπόν] ἀδύνατον καὶ ἀτελείωτον.

621. σβέσαι μένος] σβέσις γὰρ δυνάμεως ὁ θάνατος. ἔμψυχος δὲ ἡ μεταφορά. καὶ εἰκότως· ὁ γὰρ θάνατος σβέννυσι τὴν δύναμιν.

πάντων ὅς κε σευ] πρὸς τὸ σχῆμα γὰρ ὁ λόγος.

628. οὔτοι Τρῶες ὀνειδείοις] ἀποτροπὴ τοῦ λοίδορον εἶναι, ὅπου καὶ τοὺς πολεμίους οὐκ ἐᾷ λοιδορεῖν, διδάσκει δὲ καὶ αὐτοὺς δρᾶν ἐν ἐκείνῳ τῷ καιρῷ, μὴ λέγειν κακῶς.

630. *ἐν γάρ] ὁ γὰρ πόλεμος χειρῶν δεῖται πρὸς κατόρθωσιν, ἡ δὲ ἐκκλησία λόγων.

633. πρὸς τὸ πᾶν ἁρμόζει ἡ παραβολὴ, πρός τε τὸν ἄναρθρον κτύπον, ἅμα δὲ καὶ τοῖς τεμνομένοις ὅπλοις τὰ τεμνόμενα σώματα εἴκασται, καὶ τὰ ξίφη τοῖς πελέκεσι παραβέβληται.

636. χαλκοῦ] τῶν χαλκῶν ἀσπίδων. ῥινοῦ δὲ τῶν ἀκατεργάστων βοῶν, ὅ ἐστι τῶν λαισηΐων. εὐποιητάων δὲ τῶν εὖ γεγονυιῶν.

638. φράδμων] ἔμπειρος, ἐπιστήμων, εἰδὼς καὶ γινώσκων ἀκριβῶς τὸν Σαρπηδόνα.

*φράδμων λέγεται καὶ ὁ διορατικὸς καὶ ὀξὺς, καὶ ὁ ἔμπειρος, καὶ ὁ ἐπιστήμων. ὁ δὲ λόγος, οὐδὲ ὁ πάνυ γνώριμος καὶ συνήθης τῷ Σαρπηδόνι ἠδύνατο γνωρίσαι αὐτὸν διὰ τὸ αἵματι καὶ κόνει πεφύρθαι.

641. ὡς ὅτε μυῖαι] πρὸς τὸ πλῆθος καὶ τὸ πρόθυμον ἡ παραβολή.

12. ἱερατική—κοσμικοῖς] De his v. quae dixi vol. 2 p. 116.

642. περιγλαγέας] περισσῶς γεγαλακτωμένας, ὅ ἐστι πληθούσας γάλακτος, ἢ καταβεβρεγμένας. πέλλα δὲ ξύλινον ἄγγος, ἀπὸ τοῦ καταπεπελεκῆσθαι.

647. ἀμφὶ φόνῳ Πατρόκλου μερμηρίζων] τί δήποτε τιμήσειν ὑποσχόμενος Ἀχιλλέα μεῖζον αὐτὸν ἔβλαψε; καὶ γάρ φησιν "ἀλλὰ τί μοι τῶν ἦδος" (Π. 18, 80). ἢ μὴ δεόντως χρησάμενος τῇ παρὰ Διὸς δωρεᾷ ἀτυχεῖ· οὐ γὰρ ἀποχρῆν ἡγήσατο, εἰ μὴ τὸ πᾶν ἀπόλοιτο τῶν Ἀχαιῶν, καὶ τὰς λιτὰς οὐ προσήκατο.

653. θεράπων Πηληϊάδεω] πολλὴ ἡ εἰς Ἀχιλλέα τιμή, ὅπου καὶ τοῦ υἱοῦ φονέα ὄντα τὸν Πάτροκλον τιμᾷ διὰ τὴν Ἀχιλλέως τιμήν.

657. κέκλετο τῷ ἔργῳ, οὐ τῇ φωνῇ, ὡς τὸ "Ἀργείων προκαλίζετο πάντας ἀρίστους" (Π. 3, 19). ἀγαθοῦ δὲ στρατηγοῦ τὸ μὴ ἄλλῳ ἢ θεῷ εἴκειν.

663. ἔντε' ἕλοντο] εἰ γὰρ ἀσκύλευτον αὐτὸν ἔκλεψεν Ἀπόλλων, οὐδ' ἂν ἐτόλμησαν Ἀχαιοὶ πρὸς τὸ τεῖχος ἐλθεῖν.

666. Ἀπόλλωνα] ὡς κατὰ τὸ σιωπώμενον εἰς Ἴδην ἀφικομένου Ἀπόλλωνος. μικρᾷ δὲ παρεκβάσει τὸν ἀκροατὴν ἀναπαύει καμόντα.

669. ἀπό ἄποθεν, πρό δὲ ἔμπροσθεν.

672. διδυμάοσιν] τελευτώντων γὰρ ἐκλείπει παντελῶς ἡ ψυχή, καθευδόντων δὲ ἡ δύναμις αὐτῆς συστέλλεται.

674. κασίγνητοι ἁπλοϊκῶς νῦν πάντες οἱ συγγενεῖς· οὐδεὶς γὰρ ἀδελφοὺς Σαρπηδόνος ἱστόρηκεν.

676. οὐδ' ἄρα] οὐδὲ φθέγγεταί τι μικρὸν τοῦ καιροῦ κατεπείγοντος.

684. Πάτροκλος δ' ἵπποισι] ὑποστρέφει ὁ Πάτροκλος διὰ τὸ μὴ προτροπάδην τοὺς Τρῶας φεύγειν, ἀλλ' ἔτι ἀνθίστασθαι. οἱ δέ, ἐπεὶ "νεώτεροι ἀφραδέουσιν" (Od. 7, 294). ὁ δὲ ποιητής φησιν "ἀλλ' αἰεί τε Διὸς κρείσσων νόος" (688). ὁ μὲν γὰρ Ἀχιλλεὺς συνεβούλευσε τὰ ἄριστα, κρατεῖ δὲ ἡ τοῦ Διὸς γνώμη, βουλομένου αὐτὸν ἀνελεῖν ὑπὲρ ἐκδικίας Σαρπηδόνος.

693. Πατρόκλεις] ἥδισται αἱ ἀποστροφαὶ τῷ ποιητικῷ εἴδει. ἄλλως τε καὶ ἀεὶ προσπάσχει ὁ ποιητὴς ἠθικῶς τῷ Πατρόκλῳ.

702. ἀγκῶνος] ἐξοχῆς. καὶ ὁ Ἕκτωρ "πύργῳ ἐπὶ προὔχοντι"

2. καταβεβρεγμένας. πέλλα Bekk.] βεβρεγμένας. καταπέλλα 3. καταπεπελεκῆσθαι] πεπελεκῆσθαι Bekkerus. 4. τιμήσειν Bekkerus] τιμῆσαι

(Il. 22, 97). ὕψος δὲ ἔχει ὁ ἀγκὼν ὑπὲρ μῆκος ἀνδρὸς, ὡς ἐγγὺς εἶναι τῆς ἐπιθέσεως τῆς ἐπάλξεως.

704. χείρεσσ' ἀθανάτῃσι] ἄμφω ταῖς χερσὶν ἀπωθούμενος τὴν ἀσπίδα. ἐμφαντικὸς δὲ ὁ λόγος.

705. ἀλλ' ὅτε δή] ᾔδει μὲν ἀκούσας ὅτι "μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων" (94), ἀπόνηρος δὲ ὢν ἐπελάθετο τοῦ λόγου, ἢ καὶ φιλοδοξῶν· διὸ κινδυνεύει ἀναιρεθῆναι.

709. οὐδ' ὑπ' Ἀχιλλῆος] ἐπικεκαλυμμένως ἐνδείκνυται ὡς οὐκ Ἀχιλλεὺς πορθεῖ τὴν Ἴλιον· προετελεύτησε γὰρ χάριν Πολυξένης.

717. μήτρως] μητρὸς ἀδελφός. οἱ δὲ νεώτεροι τὸν πρὸς μητρὸς πάππον μήτρωα καλοῦσιν. εἰκότως δὲ τούτῳ εἴκασται, ἵνα διὰ τὴν συγγένειαν δέξηται τὴν παραίνεσιν.

721. Ἕκτορ, τίπτε] καὶ τοῦτο προτροπῆς ἐστὶν εἶδος, τὸ μαρτυρεῖν μὲν ἀρετὴν, ἐλέγχειν δὲ ὡς ἀνάξια πράττοντα.

739. μετώπιον τὸ μεσόφρυον, τὸν μεταξὺ τῶν ὠπῶν τόπον.

740. σύνελεν] συνέχεε καὶ εἰς ἓν συνήγαγεν.

741. χαμαὶ πέσον] δῆλον ὅτι ἐκθλιβέντες ὑπὸ τῶν συντριβέντων ὀστῶν.

742. αὐτοῦ πρόσθε ποδῶν] ἔμπροσθεν τῶν Πατρόκλου ποδῶν ἐξακοντισθέντες. ἢ ὅπου ἔμελλε κυβιστῶν ὁ νεκρὸς ἕξειν τοὺς πόδας.

744. διὰ τοῦ κερτομέων τὸ τῶν ῥηθησομένων λόγων ἦθος καὶ τὸ εἶδος ἀπογυμνοῦται.

747. τήθεα διφῶν] οὐχ ὅμοια ταῦτα τῇ ἄλλῃ περὶ τοὺς ἥρωας διαίτῃ· οὐδὲ γὰρ οὐδὲ τοὺς ἁβροδιαίτους Φαίακας ἢ μνηστῆρας τοῖς τοιούτοις χρωμένους εἰσήγαγεν. ἤτοι οὖν ὅπερ αὐτὸς ἀλλαχόθεν ἠπίστατο Πάτροκλος τοῖς ἥρωσι περιέθηκεν, οὐχ ὡς ἀεὶ χρωμένων τοῖς ὀστρείοις πρὸς τροφὴν τῶν ἡρώων, πρὸς ἀνάγκην δὲ ἐν πλῷ. οὐδὲ γὰρ ἰχθύσι χρωμένους εἰσήγαγεν ἢ ὄρνισιν· ἀλλ' ὅμως δι' ἀνάγκην καὶ τοῖς τοιούτοις ἐπιχειροῦσιν οἱ Ὀδυσσέως ἑταῖροι (Od. 4, 368). καθόλου γὰρ τὴν τοιαύτην χρῆσιν διὰ τὸ μικροπρεπὲς παρῃτήσατο, κρέασι δὲ ὀπτοῖς χρῆσθαι αὐτούς φησιν, ἵνα καὶ ἐπ' Ἀχιλλέως εἰπεῖν δυνηθῇ "τῷ δ' ἔχεν Αὐτομέδων, τάμνε δ' ἄρα δῖος Ἀχιλλεύς" (Il. 9, 209). ὅρα δὲ οἷον ἦν ἰχθὺν καθαίρειν τὸν τῆς Θέτιδος ἢ τὸν ζωμὸν ἕψειν.

10. * μητρὸς (ante ἀδελφός)] om.
12. * συγγένειαν] εὐγένειαν
15. * ὠπῶν] ὤτων
17. * δῆλον] δηλοῖ

τήθεα] εἶδος ὀστρείου. ὠνόμασται δὲ ὅτι ἀπόθετά ἐστι καὶ οὐκ ἐπινήχεται· προσπέπλασται γὰρ ταῖς πέτραις.

748. δυσπέμφελος] δυσχείμερος, ὁ πόντος δηλονότι ὁ μὴ εὐχερῶς πέμπων τὰς ναῦς. κολυμβητὴν δὲ ἄκρον δείκνυσι, τοῦ θηρᾶν οὐκ ἀφιστάμενον οὐδὲ χαλεπαινούσης τῆς θαλάσσης.

752. δαιμονίως τῇ εἰκόνι χρῆται· μέλλοντα γὰρ αὐτὸν τελευτᾶν λέοντι εἰκάζει ὑπ' ἀλκῆς καὶ προθυμίας ἔν τινι ἐφόδῳ ἀνῃρημένῳ· διὸ καὶ πρόσκειται τὸ ἑή τέ μιν ὤλεσεν ἀλκή. καὶ τὸ ἀντιπρόσωπον δὲ ὄντα κατὰ τὸ στῆθος πληγῆναι τῆς ἀρετῆς καὶ τοῦ θράσους σημεῖον.

756. λέονθ' ὣς] ἡ εἰκὼν ἐμφερεστάτη ἐπί τε τῶν μαχομένων καὶ περὶ οὗ ἡ μάχη· πεφονευμένῳ γὰρ ζῴῳ ὁ πεφονευμένος Κεβριόνης εἴκασται.

762. Ἕκτωρ μὲν κεφαλῆφιν] ἐναργέστατα ἔδειξε τὴν ὁλκὴν τοῦ σώματος, προσθεὶς καὶ τὰ μέρη ὧν ἐχόμενοι οὗτοι ἀνθεῖλκον.

765. ὡς δ' εὖρός τε νότος τ'] ἡ παραβολὴ πρὸς τὸ συρράσσειν καὶ συμπλέκεσθαι ἀλλήλοις. ἔστιν οὖν ἰδεῖν διὰ τῶν ἐπῶν δύο ἀνέμων μάχην, ἑκατέρου κρατεῖν βιαζομένου.

766. εὖ τὸ βαθεῖαν εἰπεῖν τὴν ὕλην· σφοδρὸς γὰρ οὕτως ὁ ἄνεμος ἐμπίπτει διέξοδον οὐκ ἔχων.

770. τὸ συνεκτικὸν τῆς παραβολῆς τὸ ἐπ' ἀλλήλοισι θορόντες ἐστίν.

772. ἀμφί] περί, οὐκ ἐν αὐτῷ.

775. ὁ δὲ στροφάλιγγι] καὶ ἡδέως ἐπεφώνησε καὶ περιπαθῶς. εἰς δὲ τὸ στροφάλιγγι λείπει ἡ ἔν.

780. ὑπὲρ αἶσαν] ὑπὲρ βίαν, ἢ πλέον ἢ κατὰ τὸ μέτρον, ὑπὲρ τὸ καθῆκον.

784. τρὶς μέν] τρίτον, φησίν, ὁρμήσας τρὶς ἐννέα ἀνεῖλεν, ὅπερ ἀπίθανον. ἢ τάχα τῇ ὁρμῇ καιρὸν παρεῖχεν.

787. Πάτροκλε] ἡ ἀποστροφὴ σημαίνει τὸν συναχθόμενον. σοὶ γάρ, φησίν, ὦ Πάτροκλε, τῷ οὕτως ὑπ' Ἀχιλλέως ἀγαπωμένῳ, τῷ τὸ πᾶν εἰς σωτηρίαν τῶν Ἑλλήνων πραγματευσαμένῳ, τῷ Νέστορος φιλοπόνως ἀνασχομένῳ, τῷ φιλοστόργως Εὐρύπυλον ἰασαμένῳ, τῷ

16. * παραβολὴ — συμπλέκεσθαι] παραγωγὴ—συνέρχεσθαι
19. * σφοδρὸς] σφοδρῶς
20. * διέξοδον] ἔξοδον
26. * ἢ πλέον ἢ κατὰ τὸ] ὑπὲρ τὸ πλέον ὑπὲρ

ὑπὲρ Ἑλλήνων δακρύσαντι, τῷ τὸν σκληρῶς διακείμενον Ἀχιλλέα πείσαντι, τῷ κατὰ τῆς σεαυτοῦ ψυχῆς τὴν ἔξοδον κατορθώσαντι, βίου τέλος ὤφθη. ταῦτα πάντα ἔνεστιν ἐπαναφέροντας ἐπὶ τὴν ἀποστροφὴν τὸ ἐν αὐτῇ περιπαθὲς σκοπεῖν.

ἐκ τοῦ πρὸς αὐτὸν εἰς τὸν περὶ αὐτοῦ.

792. καταπρηνεῖ] πλατείᾳ καὶ διατεταμένῃ.

στρεφεδίνηθεν] περιενεχθέντα ἐστράφη. ἐκ δύο δὲ ὀνομάτων τὸ αὐτὸ δηλούντων τραχεῖαν συνθεὶς τὴν προσηγορίαν τὴν βίαν τῆς πληγῆς παρίστησιν.

793. κυνέην βάλε Φοῖβος Ἀπόλλων] ἀφοπλίζει αὐτὸν, ἴσον τῇ ὁπλίσει ἀπεργαζόμενος Ἕκτορα Ἀχιλλεῖ. ἅμα δὲ καὶ διαναπαύων τὸν ἀκροατὴν ὁπλοποιίαν παρεισάγει καὶ ἐπιτερπῆ κοσμοποιίαν. οὐ θέλει δὲ μετὰ θάνατον σκυλευθῆναι Πάτροκλον· αἰσχρὸν γὰρ Ἕλλησιν ἦν. ἔλεον δὲ καὶ ἀνδρείαν Πατρόκλου φησὶν ὡς οὐκ ἄλλως κρατηθέντος ἢ ἐν τῇ γυμνώσει τῶν ὅπλων.

797. ἱππόκομον] ἵππου κόμην ἔχουσαν. διὸ καὶ προπαροξύνεται.

800. σχεδόθεν] ἐκ τοῦ σύνεγγυς χρόνου· ἢ ὡς τὸ "σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη." τὴν ἀγανάκτησιν δὲ τῶν ἀκουόντων ἰᾶται, οὐκ ἐπὶ πολὺ φάσκων ἀπολαύειν τῶν ὅπλων Ἕκτορα.

801. ὅλον ἐκ μέσου, καθὸ κατεῖχεν αὐτό.

806. στῆ δὲ ταφών] ἔστη δὲ παραπληγεὶς καὶ πρὸς τὸν θεὸν ὄπιθεν ὄντα ἀπεστραμμένος, ὃς αὐτὸν ἀπέδυσε. διὸ καὶ εἰς τὰ μετάφρενα τιτρώσκεται.

810. ὡς τῶν τότε τοιαύτην ἐχόντων μελέτην ὥστε τοὺς ἀντελαύνοντας ἀναστρέφειν τῶν ἁρμάτων. διδασκόμενος δὲ πεῖραν λαμβάνων. πόλεμον δὲ τὸν ἐν Ἰλίῳ φησί· νέος γὰρ ἦν, ὡς ὁ ποιητὴς δηλοῖ.

814. οὐδ' ὑπέμεινε] φιλέλλην ὁ ποιητὴς, κατακωμῳδῶν τῶν βαρβάρων καὶ τὴν τοῦ Πατρόκλου δύναμιν αὔξων.

817. ἐχάζετο] ταῦτα τοῦ ἀληθοῦς ἔχεται. εἰ γὰρ προσέθηκεν ὅτι καὶ γυμνὸς ἐπολέμει, ἐξέπιπτε τοῦ πιθανοῦ.

822. δούπησεν] τῷ σώματι· ὅπλα γὰρ οὐκ εἶχε. δηλοῖ δὲ ὅτι ἀπέθανεν.

5. ἐκ τοῦ] * ὅτι ἀπέστροφε τὸν λόγον ἐκ τοῦ. Conf. schol. ad 17, 705. 19, 89.

14, 15. δὲ et ἐν addidit Vill.

23. ὄπιθεν] * ὄπισθεν

ἤκαχε λαὸν Ἀχαιῶν] διὰ τὴν Πατρόκλου ἀρετὴν, διὰ τὸ Ἀχιλλέως ἐπ' αὐτῷ πένθος, διὰ τὴν προσδοκωμένην τροπὴν, διὰ τὸ μηδεμίαν φθάσαι ἀποδοῦναι χάριν ὡς εὐεργέτῃ.

823. ἀκάμαντα] ἰσχυρὸν, ἰσχυρότερον. μέχρι μὲν οὖν ἴσοι ἦσαν, λέουσιν αὐτοὺς εἴκαζε, νῦν δὲ ἐπεὶ ἐνδεέστεροι, ζῴοις ἀνίσως.

825. πίδακος ἀμφ' ὀλίγης] ἐν μὲν γὰρ κρήνῃ ἀφθόνως ῥεούσῃ οὐκ εἰκὸς περὶ ὕδατος μάχεσθαι· ἐν δὲ τῇ βραχείᾳ πίδακι ὥσπερ ἆθλον πρόκειται τῷ νικῶντι τὸ ποτόν.

ἐθέλουσι δὲ πιέμεν] τὸ δίψος παρέλαβεν εἰς αἰτίαν τῆς συμπλοκῆς, ἐπεὶ οὐδ' ἂν περὶ ταύτης ἔρις ἦν αὐτοῖς.

826. ἀσθμαίνοντα] φύσει γὰρ τοιοῦτος ὁ σῦς· πολλῷ δὲ μᾶλλον διὰ τὴν μάχην ἀσθμαίνει. δηλοῖ δὲ τὸν ἀγωνιζόμενον.

833. ὅρα τὸ ἔμπληκτον τοῦ βαρβάρου· τὴν γὰρ ἀλαζονείαν ἐξελέγχων αὐτὸς εἰς τὰ ὅμοια ἐμπίπτει, καὶ οὐ θείαν τὴν νίκην οἴεται, ἀλλὰ τῆς αὐτοῦ δυνάμεως.

834. ὀρωρέχαται] ὁρμῶνται, ἢ ἐκτέτανται, ὡς τὸ "τανύοντο δὲ μώνυχες ἵπποι" (375).

836. ἦμαρ ἀναγκαῖον] τὸ εἰς ἀνάγκην ἄγον, ὃ καὶ "δούλιον ἦμαρ" (Il. 6, 463).

839. μή μοι πρίν] κατὰ τὸ πιθανὸν μιμεῖται, τίνας εἰκὸς εἰρῆσθαι λόγους ὑπ' Ἀχιλλέως, ὅτε αὐτὸν ἐξέπεμπεν ἐξ ὑπολήψεως.

845. Ζεύς] ἐπεὶ αὐτὸς συνεχώρησεν. ὃ δὲ ᾔδει ὁ ποιητὴς, τοῦτο τῷ ἡρωϊκῷ προσώπῳ περιέθηκε. τὸ δ' ἐδάμασσαν ἀντὶ τοῦ δαμασθῆναι ἐποίησαν.

847. τοιοῦτοι δ' εἴπερ] ἀξιομίμητον τὸ ἦθος· οὐ γὰρ κατεπλάγη τὸν θάνατον, οὐ τὸ βάθος τῶν ἀλγηδόνων, οὐ τὴν ἐρημίαν τοῦ βοηθήσοντος, ἀλλ' ἔτι μεστός ἐστι φρυάγματος καὶ ἐρεθίζει μᾶλλον ἢ ἱκετεύει, ἀντιποιούμενος τῆς νίκης καὶ τελευτῶν.

850. πολλοστὸς, ὡς τὸ "ἀσπασίη τρίλλιστος" (Il. 8, 488). οἱ δὲ Μοῖραν καὶ Ἀπόλλωνα ἕν· ἄμφω γὰρ θεοί. οἱ δὲ κατὰ κοινοῦ τὴν Μοῖραν παρειλῆφθαι. τινὲς δὲ τὸ ἐξεναρίζειν ἐπὶ τῶν αὐτοχείρων, καὶ οὕτως Ἕκτωρ τρίτος. τινὲς δὲ καθ' ὑπερβατὸν, ἵν' ᾖ τρίτος Εὔφορβος, σὺ δέ με ἐξεναρίζεις. αὔξει δὲ αὐτὸν ὡς ὑπὸ πολλῶν

4. ἀνίσως] * ἀνίσοις
17. * ἄγον] ἀγῶνος
19. * τίνας εἰκὸς εἰρῆσθαι] τινὰς εἰρῆσθαι
26. * ἀλλ' ἔτι] ἀλλὰ τί
32. αὐτὸν] αὑτὸν

θεῶν καὶ ἀνθρώπων ἀναιρεθέντα, μειοῖ δὲ τὸν Ἕκτορα ὡς Εὐφόρβου δεύτερον.

854. πόθεν ὁ Πάτροκλος οἶδεν ὅτι Ἀχιλλεὺς κτενεῖ τὸν Ἕκτορα; δόγμα ἐστὶ τοῦτο τῷ ποιητῇ, ὅτι ὅταν ἀθροισθῇ ἡ ψυχὴ ἐξ ὅλου τοῦ σώματος πρὸς τὸ ἐκκριθῆναι, μαντικωτάτη γίνεται· θείας γάρ ἐστι μέρος φύσεως, καὶ θειοτέρα γίνεται χωρισθεῖσα τῆς ὕλης τοῦ σώματος καὶ πρὸς τὸ οἰκεῖον ἀναδραμοῦσα.

856. δῆλον ἐντεῦθεν ὅτι πνεῦμά ἐστιν ἡ ψυχὴ, κατὰ παντὸς οἰκοῦν τοῦ σώματος.

857. ὃν πότμον γοόωσα] λυπεῖται ἡ ψυχὴ, μή ποτε ἀνάξια πράξασα ἑαυτῆς ἀναξίοις περιπέσῃ, καὶ ὅτι σῶμα ἐᾷ ἀκμάζον. ὁ δὲ Πυθαγόρας κακῶς φησὶν ὅτι ἡ ψυχὴ μετὰ τὸ ἐξελθεῖν εἰς φυτά τινα καὶ σώματα καὶ θάμνους μεταβάλλεται, ὅθεν καὶ λελύπηται. πρὸς ἀρετὴν δὲ μᾶλλον ὁ ποιητὴς συγκαλεῖ, μή ποτε κακὰ διαπραξάμενοι τοῖς αὐτοῖς περιπέσωμεν. ἀνδροτῆτα δὲ οὐ τὴν ἀνδρείαν, ἀλλὰ τὴν ἀνθρωπότητα, τὴν ἀνδρὸς φύσιν· ἀνδρείαν γὰρ οὐ καταλείπει, ἀρετὴν οὖσαν ἰδίαν.

*ὁ Πυθαγόρας ἔλεγεν ὅτι ἡ ψυχὴ τελευτῶντος ἀνθρώπου καὶ τῶν ἄλλων ἁπάντων, ἀπαλλαγεῖσα τοῦ σώματος, ἐν ἐκείνῳ γίνεται ἐν ᾧ πλανωμένη ἐγκαταληφθῇ γεννωμένῳ ζῴῳ, ἢ καὶ ἐν φυτῷ. τοῦτο Ὅμηρος ἐν τῷ Ἕκτορος καὶ Πατρόκλου θανάτῳ προὔβαλεν· γενναίους γὰρ ἄνδρας παράγων ἀποθνήσκοντας, τὴν ψυχήν φησιν ἀπαλλαττομένην θρηνεῖν τὴν μοῖραν αὐτῆς, ἀχθομένην ὅτι καταλείπει ἀκμάζοντα καὶ εὐσθενῆ σώματα, καὶ δεδοικυῖαν μὴ ἐγκαταληφθῇ μοχθηρῷ τινὶ γεννωμένῳ, ᾧ λυπηθήσεται συνοῦσα, ἢ ἐπί τινι ἄλλῳ. ἅμα δὲ διὰ τοῦτο καὶ πρὸς ἀρετὴν ἡμᾶς προτρέπει, δηλῶν ὡς τὰ γενναῖα σώματα καὶ ἡ ψυχὴ καταλιποῦσα θρηνεῖ. κακῶς δὲ τοῦτο ἔλεγεν ὁ Πυθαγόρας.

860. *τίς δ' οἶδ'] τοῦτο διαπορητικόν.

δειλοῦ ὁ λόγος· τὰ δὲ ὑπ' Ἀχιλλέως ἀνδρεῖα· "τέθναθι" γάρ φησι μὴ διστάζων· "κῆρα δ' ἐγὼ τότε δέξομαι" (Il. 22, 365).

11. *ἀναξίοις] ἀναξίως
20. ἐγκαταληφθῇ Bekkerus] ἐγκαταλειφθῇ hic et infra.

ΕΙΣ ΤΗΝ Ρ.

1. Μενέλαον] εὖ Πατρόκλου πεσόντος πρῶτος αἰσθάνεται Μενέλαος· φησὶ γὰρ "ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς" (92). καὶ ὅτι ὁμότροποι· ἄμφω γὰρ ἤπιοι. ὁ δὲ Μενέλαος οὐ μόνον πρὸς τοὺς ὑπ' αὐτὸν πρᾶος ἦν, ἀλλ' ἤδη καὶ πρὸς τοὺς πολεμίους. ἢ ὅτι καὶ περὶ πάντας σπουδαῖος ὁρᾶται, ὃς καὶ Ὀδυσσέως καταπονουμένου ἄγων ἧκεν Αἴαντα, καὶ τοῦ ἀδελφοῦ προανέστη· ἢ προθυμότερον σύμμαχον ἑαυτῷ ποιῶν Ἀχιλλέα. ἄλλως τε οἱ ἄλλοι τραυματίαι εἰσὶ, πλὴν Αἴαντος, ὃν νῦν οὐκ ἔδει ὑπείκειν Ἕκτορι.

2. Τρώεσσι] Ἕκτορι καὶ Εὐφόρβῳ· καὶ γὰρ καὶ τοὺς Δαρδανίους Τρῶάς φησιν.

4. τὸν Αἴαντα λέοντι εἰκάζει διὰ τὸ καρτερὸν καὶ ἰσχυρὸν, τὸν Ὀδυσσέα κυνὶ διὰ τὸ ταπεινότερον μὲν, ὅμως δὲ θαρσαλέον· τὸν δὲ Μενέλαον συμπαθεῖ μὲν ζῴῳ, οὐ μὴν βιαίῳ· τοῦτο γὰρ τῷ ἤθει τοῦ ἀνδρὸς καὶ τῇ παρούσῃ τύχῃ οἰκεῖον. εὖ δὲ ἀντὶ τοῦ ὀνόματος τὸ μήτηρ ἔλαβε, τὸ φιλοστοργότατον τῆς φύσεως ὄνομα. τὸ δὲ πόρτακι ὑποκοριστικῶς. τριχῶς δὲ τὸ ὄνομα παρ' αὐτῷ λέγεται· πόρταξ, ὡς νῦν· πόρις "ὡς δ' ὅταν ἄγραυλοι πόριες" (Od. 10, 410). πόρτις, ὡς τὸ "πόρτιος ἠὲ βοός" (Il. 5, 162).

*τὸ δὲ πόρτακι οἱονεὶ πορίῳ, παρὰ τὸ νεωστὶ πορεύεσθαι καὶ βαίνειν.

5. πρωτοτόκος] πρὸς τὸ μὴ εἶναι ἀσθενῆ, ἀλλὰ καὶ φιλόστοργον. κινυρὴ δὲ οἰκτρόφωνος· πρόσκειται δὲ διὰ τὴν Μενελάου λύπην. ὑφ' ἓν δὲ, ἵν' ᾖ ἐν τῷ τίκτειν θρηνοῦσα. εἰδυῖα δὲ ἀντὶ τοῦ ἐγνωκυῖα καὶ ἐπισταμένη.

*πρωτοτόκος ἡ πρώτως γεννήσασα, πρωτότοκος δὲ ἡ πρώτως τεχθεῖσα.

8. τοῦ] αὐτοῦ, τοῦ Μενελάου ἢ Πατρόκλου.

9. οὐδ' ἄρα Πάνθου υἱός] ὡς γὰρ ἐν κυνηγεσίοις πρωτόλεια τῷ πρώτως βαλόντι δίδονται, οὕτω καὶ οὗτος τῶν ὅπλων ἀντιποιεῖται· εἰ γὰρ καὶ γεγύμνωται, ἀλλ' εἰκὸς αὐτῷ παρακεῖσθαι τὰ ὅπλα.

19. πολυκίνητος ὁ λόγος. ἐσχετλίασε πρῶτον, εἶτ' ἐλογίσατο τὴν ὑπεροψίαν τῶν Πανθοιδῶν, καὶ οὕτως ἐπὶ τὴν ὑπόμνησιν τῶν πάλαι μετῆλθεν· εἶτα μετὰ ἤθους ἀπειλεῖ τῷ πολεμίῳ, ἀναχωρεῖν

3. ἕνεκ'] εἵνεκ' 13. *ὅμως δὲ] δὲ om.
29. πρώτως (πρώτῳ Vill.] addidit Bekkerus.

αὐτῷ παραινῶν. ὑπέρβιον δὲ εὐχετάασθαι, ὑπὲρ δύναμιν αὐχεῖν. καὶ τὸ μὲν σημαινόμενον πρὸς Εὔφορβον, ἡ δὲ ἀναφορὰ πρὸς Δία· ὅταν γὰρ οἱ μέτριοι ἀδικῶνται παρὰ τῶν βιαίων, ἄγουσι τὴν μέμψιν εἰς θεόν. καὶ ἑτέρωθι γὰρ ὁ Μενέλαος πρὸς τὸ θεῖον ἀγανακτῶν φησί· "Ζεῦ πάτερ οὔτις σεῖο θεῶν ὀλοώτερος ἄλλος" (Il. 3, 365).

20. πρῶτον ἔθηκε τὸν πόρδαλιν· θρασὺ γὰρ τὸ ζῷον τοῦτο. δεύτερον δὲ τὸν λέοντα· μετὰ γὰρ θράσους δεῖ καὶ ἀλκῆς. τρίτον σῦν, οὐχ ὡς γενναιότερον, ἀλλ' ὡς ἀλογίστῳ ὁρμῇ φερόμενον, λεόντων καὶ πορδάλεων πολλάκις τὸ παθεῖν φυλασσομένων· διὰ τοῦτο ἐπήνεγκεν "οὗ τε μέγιστος θυμός." ἄλλως τε λέων μὲν καὶ πόρδαλις πολλάκις ἡμεροῦνται, οὗτος δὲ ἀεὶ ἄγριος.

*πόρδαλις ἀρσενικόν· ἀπὸ τοῦ προσάλλεσθαι δὲ γίνεται· πάρδαλις δὲ θηλυκὸν ἀπὸ τοῦ παραβάλλεσθαι.

23. Πάνθου υἷες] Εὔφορβος, Πολυδάμας, Ὑπερήνωρ· οὗτοι Πανθοΐδαι.

24. ἢ πρὸ τῆς μήνιδος ἢ νῦν κατὰ τὸ σιωπώμενον ἀνῄρηται. ἢ τάχα ἐν τῇ Ξ αὐτῶν συμβαλόντων πεφόνευται, ἔνθα φησὶν "Ἀτρείδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα ποιμένα λαῶν" (516). φεύγων οὖν ἀνῄρηται. ἢ τάχα ἔθος Ὁμηρικὸν τὸ ἔνια παραλείπειν καὶ ὕστερον φράζειν. περισσὸν δὲ τὸ ἓν οὔ.

25. ἀπόνηθ'] ὄνησιν ἔλαβεν. ὤνατο δὲ ὠνείδισεν· ὠνόσατο δὲ ἐμέμψατο.

27. συγγνωστός ἐστιν ἰδίας ἑαυτοῦ ἀπαγγέλλων πράξεις· οὐκ ἄλλου γάρ τινος μέμνηται ἢ ἀδελφοῦ Εὐφόρβου, ἐκ τῶν οἰκείων δυστυχημάτων ἀνακόπτων αὐτοῦ τὸ θράσος.

31. τὸ ἑξῆς, ἐς πληθὺν ἰέναι, πρίν τι κακὸν παθέειν. ῥεχθὲν δέ, φησί, νήπιος ἔγνω, ὅτε μηδέν ἐστιν ὄφελος. παροιμιακὸν δὲ τοῦτο. εὐμνημόνευτον δὲ αὐτὸ ποιεῖ ἡ συντομία τῆς ἐπαγγελίας.

37. μισητὸν καὶ ἐπάρατον, παρὰ τὸ ἀρά. ὀξύνεται δὲ ἐπίθετον ὄν.

41. οὐκ ἔσται, φησὶν, ἡμῖν ἀπείρατος ὁ πόνος τοῦ ἀμύνεσθαι ἢ φεύγειν, ἀλλὰ δηλονότι διὰ πείρας ἐλευσόμεθα καὶ οὐ χωρὶς μάχης ἐσόμεθα, ὥστε ἢ ἀνδρίσασθαι ἢ φυγεῖν.

46. ἐπευξάμενος Διί] τοιοῦτος πανταχοῦ Μενέλαος, κἂν τῷ πρὸς Ἀλέξανδρον μονομαχίῳ.

47. θέμεθλα] τοῦ βρόγχου τὴν θέσιν, ἤτοι τὰ τοῦ λαιμοῦ τέλη.

48. βαρείῃ] τοῦ πράγματός ἐστι τὸ ἐπίθετον· βαρεῖαν γὰρ χεῖρα

τὴν μετὰ βίας ἐρείδουσαν τὸ δόρυ φησὶ, συνεπιβαρύνας τὴν χεῖρα τῷ δόρατι.

49. εἰκότως διῆλθε· καὶ γὰρ ἡ τρώσασα χεὶρ βαρεῖα καὶ ὁ αὐχὴν ἁπαλὸς, ὥστε ἐπετήδευσε μονομάχιον ἐπιδεῖξαι δύο καλῶν. καὶ γὰρ Μενέλαος ξανθὸς, εὔμηρος, καλλίσφυρος· καὶ οὗτος δὲ χαριτόεις.

51. οὐκ εἰκῇ ἡ ἐπεξεργασία τῆς κόμης· ἀλλ' ἐπεὶ ἔφθη εἰπὼν (Il. 16, 795) "μιάνθησαν δὲ ἔθειραι αἵματι καὶ κονίῃσι," παραμυθίαν εἰσφέρει τοῖς λυπουμένοις ὑπὲρ Πατρόκλου, ψευδεῖς ἀντιπαραθεὶς τρίχας ταῖς οὐ ψευδέσιν.

*Χαρίτεσσιν ὁμοῖαι] ἀπίθανον δέ ἐστιν· ἀμόρφωτος γὰρ ἡ κόμη, εἰ μὴ οὕτως. Μακεδόνες δὲ καὶ Κύπριοι χάριτας λέγουσι τὰς συνεστραμμένας καὶ οὔλας μυρσίνας, ἃς φαμεν στεφανίτιδας.

52. πλοχμοί] οἱ πεπλεγμένοι πλόκαμοι.

οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο] παρειμέναι οἱ ἄνωθεν περιεδέδεντο. ἔστι δὲ βαρβαρικὸς ὁ κόσμος. τὰ τοιαῦτα δέ τινες καλοῦσι κάλυκας.

53. ἐλαίης] Λαπίθαι μὲν δρυσίν "αἵ τ' ἄνεμον μίμνουσι καὶ ὑετόν" (Il. 12, 132) εἰκάζονται, Ἕκτωρ δὲ πεπτωκὼς δρυῒ κεραυνωθείσῃ (Il. 13, 389)· τῷ γὰρ μεγέθει ἐκείνων ἥρμοττεν ἡ τῶν τοιούτων δένδρων εἰκών. ἐνταῦθα δὲ ὡραῖον γράφων τὸν Εὔφορβον ἐλαίαν παρέλαβε, δένδρον εὐειδὲς καὶ τῷ ἀειθαλεῖ τὸ κάλλος διαφυλάττον. σκόπει δὲ τὰς κατὰ μέρος ἐξεργασίας. τὸ μὲν πρῶτον οὐκ ἔφη φυτοκομεῖσθαι τὸ δένδρον, ἀλλ' ὡς ἐπὶ ζῴου ἐμψύχου τρέφεσθαι, δηλῶν τὸ ἥμερον καὶ εὐάγωγον τῆς φύσεως τοῦ φυτοῦ, καὶ μὴ αὐτοματίζον, ἀλλ' ἐπιμελείᾳ γεωργῶν αὐξόμενον ἐν τόπῳ ἐρήμῳ φυτῶν, ἵνα μὴ ἐμποδίζηται τῇ ἐκφύσει τῶν πλησίον ῥιζῶν. συνεργεῖ δὲ αὐτῷ καὶ τὸ ὕδωρ πρὸς αὔξησιν, καὶ τὰ λοιπὰ δὲ ἔσται τὰ τῆς ψυχῆς καὶ τῶν ἔξωθεν. παρείληφε δὲ καὶ τοὺς παντοίους ἀνέμους, ἵνα εὔτονον γινόμενον τὸν καρπὸν φυλάττῃ.

54. φυσικόν ἐστι τὸ κοτινοφόρους εἶναι τοὺς ὑψηλοὺς τόπους· ἀμέλει ἐκεῖ καὶ ταύτην ἵστασθαι βούλεται πρὸς τὸ μὴ ἐκκόπτεσθαι ὑπὸ τῶν ὁδοιπόρων, καὶ ὅτι σύντροφα ὄντα τὰ τοιαῦτα φυτὰ ἀλλήλων τὴν εὐφυΐαν ἀφαιροῦνται.

1. φησὶ] φησὶ γὰρ
10. *ἐστιν] ἐστιν παῦ/
11. *Μακεδόνες] Μυρμιδόνες
14. οἱ] οἷον Vill.
31. ἐκκόπτεσθαι] *κόπτεσθαι

ἀναβέβρυχεν] ἀναπηγάζει, ἀναβλυστάνει, ἀναδίδοται.

55. πνοιαὶ δονέουσιν] ἵν' ἑδραῖον γένηται· τὰ γὰρ μὴ τοιαῦτα ἀσθενῆ εἰσὶ καὶ ἐπισκήπτοντος ἀνέμου τὸν καρπὸν ἀπόλλυσιν.

56. βρύει] νεωστὶ θάλλει. ἄνθεῖ δὲ λευκῷ τῷ κυπρισμῷ τῆς ἐλαίας· οὐ γὰρ τελεσφορεῖ τὸν καρπὸν διὰ τὸ νέον. ἀπὸ δὲ τοῦ βρύω τοῦ ἄρτι θάλλω γίνεται καὶ ἔμβρυον.

58. βόθρου τ' ἐξέστρεψε] μετέωροι γὰρ αἱ τῆς ἐλαίας ῥίζαι· διὸ καὶ γυρόσε ἐπισκάπτουσιν αὐτάς. ἐμφαντικῶς δὲ καὶ τὴν ἔξ πρόθεσιν παρείληφε, δεικνὺς τὴν ἐλαίαν σὺν ταῖς ῥίζαις ἀναβεβλημένην. λείοις δὲ χρησάμενος τοῖς ἔπεσι, νῦν συνεπάχυνε τῷ πάθει τὴν ἀπαγγελίαν. ὅρα δὲ πῶς ἐπὶ μὲν τῆς τροφῆς αὐτῆς πνοὰς ἀνέμων φησίν, ἐπὶ δὲ τῆς πτώσεως ἄνεμον καὶ λαίλαπα.

62. ἥτις ἀρίστη] πάντα παρέλαβε, πάσῃ μὲν τῇ ἀγέλῃ τὸ πλῆθος τῶν Τρώων εἰκάζων, τὸν δὲ Εὔφορβον ὄντα ἄριστον τῇ ἀρίστῃ αὐτῶν. ὅτι δὲ ἄριστος, μαρτυρεῖ ὁ ποιητής· "Πατρόκλῳ περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνε" (80). τὸν κτείναντα Μενέλαον λέοντι. τὴν ἀπραξίαν τῶν Τρωϊκῶν ἀριστέων βουκόλοις καὶ κυσὶν ἐπαμῦναι μὴ δυναμένοις.

*τὸ δὲ λαφύσσει ἀντὶ τοῦ μετὰ σκυλμοῦ καὶ σπαραγμοῦ λάβρως ἐσθίει.

65. δῃῶν σὺν τῷ ῑ, καὶ περισπᾶται. ἔστι γὰρ τὸ θέμα δηϊόω.

68. *ἀγροικικῇ φωνῇ προσφωνοῦσι, παρὰ τὸ ἰού ἐπίρρημα.

76. ἀλεγεινοί] πολυφρόντιδες καὶ πολλοῦ λόγου δεόμενοι εἰς τὸ ἀνθρώπῳ ὑποταγῆναι. ἢ δυσχερεῖς.

86. κατ' οὐταμένην ὠτειλήν] κατὰ τὸ ἐξ οὐτήσεως τραῦμα.

87. βῆ δὲ διὰ προμάχων] ἀναγκαίως, ἵν' ἐν τοσούτῳ ὁ Μενέλαος ἔχῃ καιρὸν διαλογίσασθαι· ὁ μὲν γὰρ συγκαλεῖ τοὺς ἀρίστους, ὁ δὲ σκέπτεται περὶ αὐτοῦ.

91. ὤ μοι ἐγών] εἰκότως ἐμβαθύνει τῷ λογισμῷ· μένειν μὲν γὰρ ἡ ἐκ Πατρόκλου τιμὴ καὶ ὁ ψόγος Ἑλλήνων προτρέπει, φεύγειν δὲ τὸ πλῆθος τῶν Τρώων καὶ ὁ Ζεύς. δαιμονίως δὲ ἑαυτὸν δυσωπεῖ παραμεῖναι τῷ δι' αὐτὸν τελευτήσαντι.

τὸ ἑξῆς καταλίπω· διὸ ἀναστρεπτέον τὴν πρόθεσιν.

92. *ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς] ἢ ἕνεκα τῆς ἐμῆς τιμωρίας, τουτέστι τοῦ ἐμὲ τιμωρῆσαι τοὺς Τρῶας.

10. συνεπάχυνε] συνετράχυνε Bekkerus

93. διστακτικόν ἐστι τὸ μή. προκατασκευάζει δὲ ὅπως πιθανὴ ἡ ἀναχώρησις γένηται.

98. ὁππότ' ἀνήρ] ὅταν ἀνὴρ ἐθέλῃ παρὰ γνώμην θεοῦ μάχεσθαι ἀνδρὶ ὅν κε θεὸς τιμᾷ. δηλοῖ γὰρ καὶ τὴν παρά ἡ πρός. *ὁπόταν, φησὶν, ἐθέλῃ τις ἀνθρώπῳ μάχεσθαι οὗ θεὸς προέστηκεν, ἐν κακοῖσι γίνεται, ὅ ἐστι, διὰ φωτὸς εὑρίσκεται δαίμονι μαχόμενος, ἀντὶ τοῦ δι' ἀνθρώπου. ὃς γὰρ ἂν διὰ ἀνθρώπου θεῷ μάχηται, τάχα αὐτῷ μέγα πῆμα κυλίσθη.

101. ἐκ θεόφιν] θεόθεν. περισσὴ δὲ ἡ ἐξ.

102. βοὴν ἀγαθοῖο] τινὲς τὴν φωνήν· σπανίως γὰρ αὐτὸν βοὴν ἀγαθόν φησι.

104. καὶ πρὸς δαίμονά περ] θαρσήσας τῇ τοῦ Αἴαντος ἀλκῇ καὶ μείζονα προσφθέγγεται. αὔξει δὲ Αἴαντα ὡς δυνάμενον.

109. ὥστε λῖς] οὕτως γὰρ καὶ λέων ὑποχωρεῖ, μὴ διδοὺς τὰ νῶτα τοῖς διώκουσιν, ἀλλὰ κατ' ὀλίγον ὑποβαίνων.

110. πολὺς γὰρ γίνεται θόρυβος κυνῶν ἀνδρῶν ὅπλων βοῆς, ὅπως ἀναχωρήσῃ παθὼν μὲν οὐδὲν, δρᾶσαι δὲ κωλυθείς. τὸ δὲ ἔγχεσι καὶ φωνῇ πρὸς τὸ δεύτερον ὑπήντησεν.

112. παχνοῦται] φρίσσει, ἢ λυπεῖται· τὰ γὰρ προσηνῆ καὶ καλὰ θερμὰ ἐκάλουν, ὥσπερ καὶ τὰ λυπηρὰ καὶ κακὰ ψυχρά. μεσσαύλοιο δὲ τῆς ἐπαύλεως.

117. θαρσύνονθ' ἑτάρους] ἔνδειξις καὶ τοῦτο τῆς Αἴαντος ἀρετῆς, εἰς μάχην προτρεπομένου οὕσπερ Ἀπόλλων φοβεῖ.

118. θεσπέσιος ὁ ἐκ θεοῦ τοῖς ἀνθρώποις ἐμπίπτων.

123. θυμὸν ὄρινε] ἐλυπήθη μὲν, οὐ συνεσχέθη δὲ τῇ ἀφωνίᾳ ὡς Ἀντίλοχος. ἐκεῖνος γὰρ καὶ ἀφωνεῖ.

125. Πάτροκλον] ἀντὶ τοῦ Πατρόκλου Ἀττικῶς κατεχρήσατο. πῶς δὲ Ἀπόλλωνος σκυλεύσαντος περὶ Ἕκτορός φησιν; ἢ τάχα περὶ μόνων τῶν κνημίδων φησίν. ἢ ὡς Ὀδυσσεύς φησι "σκοπὸν εἵλομεν" (Il. 10, 561) κατὰ συνεκδοχὴν, οὕτω καὶ Ἀπόλλωνος ἀφῃρημένου τὸν κοινωνὸν τῶν κατορθωμάτων συναριθμεῖ.

127. τὸν δὲ νέκυν] εὔλογον προκατασκευάζει τὴν εἰς τὸν Ἕκτορα αἰκίαν, λέγων ὅτι αὐτὸς ταύτην διαθεῖναι περὶ τὸν Πάτροκλον ἔσπευσεν.

1. διστακτικὸν Bekkerus] διστακτόν 33. αἰκίαν Vill.] αἰτίαν

131. Τρωσὶ φέρειν προτὶ ἄστυ] ἀντίθες τῷ κατὰ τὸν Μενέλαον. ὁ μὲν ἀναχωρεῖ συμμαχίαν προσκαλεσόμενος, ὁ δὲ οὐχ ἵνα ὠφελήσῃ τοὺς φίλους, ἀλλ' ἵνα κοσμήσηται τοῖς ὅπλοις, ὥσπερ μειράκιον ἐπὶ στολῇ αὐχοῦν.

133. ὥς τίς τε λέων] ἐπὶ μὲν τῆς προτέρας παραβολῆς (4) ἀντὶ τοῦ κυρίου τῷ τῆς μητρὸς ἐχρήσατο ὀνόματι· ἐπεὶ δὲ ἀπεμφαῖνον ἦν ἐνταῦθα κατὰ τοῦ λέοντος χρήσασθαί τινι τοιούτῳ, τῷ μὲν κυριωτέρῳ κέχρηται κατὰ τούτου, τοὺς δὲ σκύμνους αὐτοῦ τέκνα ὀνομάζει τῷ φιλοστόργῳ ὀνόματι. καλῶς δὲ καὶ νήπια ποιεῖ τὰ τέκνα· μείζων γὰρ ἡ περὶ τούτων φροντίς. φασὶ δὲ μὴ σκυμναγωγεῖν τὸν λέοντα. ἴσως οὖν τὴν θήλειάν φησιν· οὐκ οἶδε γὰρ Ὅμηρος τὸ λέαινα· διὸ φθάσας εἰπεῖν λέων ὅλα ἀρσενικῶς ἐπάγει. καὶ ἀλλαχοῦ "ἐπεί σε λέοντα γυναιξὶ Ζεὺς ἔθηκε" (Il. 21, 483). τὸ μέγεθος δὲ Αἴαντος ὑποφαίνει ἡ παραβολή.

134. νήπι' ἄγοντι] φυσικὴν οἶδε τὴν τῶν τέκνων φιλοστοργίαν. καὶ ἐπὶ μὲν ὀρνίθων φησὶν "μάστακ' ἐπεί κε λάβησιν, ἀπτῆσι νεοσσοῖσι προφέρεται" (Il. 9, 324)· ἐπὶ κυνῶν "ὡς δὲ λέων ἀμαλῇσι περὶ σκυλάκεσσι" (Od. 20, 14)· ἐπὶ θρεμμάτων "ὥς τις περὶ πόρτακι μήτηρ" (4)· ἐπὶ θηρίων ἀγρίων, ὡς νῦν.

135. *ἐπακτῆρες] κυνηγοί.

136. *ἐπισκύνιον λέγεται τὸ ἐπάνω τῶν ὀφθαλμῶν μέρος, ἤτοι δέρμα τὸ συνοφρύωμα τοῦ μετώπου. ὅθεν καὶ σκύζεσθαι τὸ ὀργίζεσθαι, διὰ τὸ ἐνδιάθετον γίνεσθαι τοῦτο τὸ μέρος τοῖς ὀργιζομένοις.

142. δειλίαν αὐτῷ ὀνειδίζει, ὃ μάλιστα αὐτὸν κινεῖν ἔμελλεν. ἐπεὶ δὲ δικαίως ἀγανακτεῖ, φέρει αὐτὸν ὀνειδίζοντα.

143. *Πορφυρίου. φύζηλίς ἐστιν ὁ φεύγων τὰς ἴλας. δειλὸς δὲ ὁ δεδιὼς τὰς ἴλας, μενεδήϊος δὲ ὁ ὑπομένων τὴν δηϊοτῆτα, ἐσθλὸς δὲ ὁ ἐθελοντὴς μαχόμενος, οἱονεὶ ἐθελός. ὁ δὲ ἐναντίος "οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ" (Il. 9, 353) ἀντὶ τοῦ οὐχ ὑπέμεινεν ἄποθεν τῶν τειχῶν μάχεσθαι. οὕτως ἔχει καὶ τὸ "ἦ σ' αὔτως κλέος ἐσθλὸν ἔχει φύζηλιν ἐόντα." τοῦ δὲ φυζήλιος "οὐ γάρ τοι κραδίη μενεδήϊος οὐδὲ μαχήμων" (Il. 12, 247)· καὶ τὸ "οἷον ἀναΐξας ἄφαρ οἴχεται, οὐδ' ὑπέμεινεν· οὐ μὲν γάρ τι κακὸς εἰς ὦπα" (Od. 1, 410) δηλοῖ οὐχ ὑπέμεινε γνῶναι οὔτε ἡμᾶς αὐτὸν οὔτ' αὐτὸν ἡμᾶς.

26. *Πορφυρίου] om. 33. γάρ τι] γάρ τοι

146. οὐ γάρ τις] ὅρα τὴν τάξιν τοῦ λόγου καὶ τὴν τομήν. πρῶτον ἔθηκε τὸ κατὰ τὸν Ἕκτορα, ὡς ἀφέστηκε τῆς μάχης καὶ ἀμελεῖ τῶν συμμάχων· εἶτα ἐπάγει τὸ καθ' ἑαυτὸν, ὡς δίκαιον ποιῶν εἰ ἀποσταίη καὶ αὐτὸς μετὰ τῶν Λυκίων· καὶ τὴν αἰτίαν ἐπεξεργάζεται, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν.

οἱ στρατιῶται, φησὶν, ὁρῶντες τοὺς τελευτήσαντας ἀνεκδικήτους ἀποστήσονται τοῦ κινδύνου, ἐπεὶ οὐκ ἔστι χαριστέον σοι τοῦτο. ἀντὶ τοῦ ὡς ἔοικε γάρ ἐστι τὸ ἄρα· οἷον οὐ γάρ ἐστί σοι τοῦτο εἰς χάριτος τάξιν. ἢ οὐδὲν αὐτοῖς χαρίζῃ.

149. πῶς κε σὺ χείρονα] ὁ γὰρ τοῦ βασιλέως πεσόντος ἀμελήσας ποῖος φανεῖται περὶ τοὺς ἐκείνου χείρονας; τὸ δὲ μεθ' ὅμιλον οἱονεὶ ἐν πολέμῳ ἢ ἐκ πολέμου.

151. τὸ κάλλιπες τὸν ἐθελόκακον δηλοῖ. πῶς δὲ δίκαιον τὸν ξένον, τὸν φίλον, τὸν σύμμαχον περιορᾶσθαι;

152. πόλλ'] πολλάκις, πολλαχῶς. ἢ λείπει ἡ κατά.

155. * πεφήσεται] προφανὴς γενήσεται.

156. εἰ γὰρ νῦν] ἀπειλήσας τὴν ἐπάνοδον πάλιν προτρέπει ἐπὶ τὴν βοήθειαν, ὀργιζομένου καὶ κηδομένου ἐμφαίνων ἦθος. λεληθότως δὲ καὶ Τρώων καθάπτεται.

163. * λύσειαν] ἀνταποδοῖεν.

164. ὃς μέγ' ἄριστος] ἀξιόπιστα τὰ ἐγκώμια ὑπὸ πολεμίου λεγόμενα. τεχνικῶς δὲ μέγα δείκνυσι τὸ κατόρθωμα, μᾶλλον προτρέπων αὐτούς.

167. στήμεναι ἄντα] οὐ μόνον οὐκ ἀντιστῆναι ἠδυνήθης, φησὶν, ἀλλ' οὐδὲ ἀντιβλέψαι.

170. οὐκ εὐπορῶν ἀπολογίας ὡς ὑβρισμένος μὲν ἀγανακτεῖ, πρὸς δὲ τὰ κατηγορηθέντα οὐδὲν ἀποκρίνεται, καὶ τὴν αἰτίαν ψεύδεται, εἰς τὸν Δία τὸ ὅλον ἀναφέρων.

181. τὸ ἑξῆς οὕτως, ἤ τινα καὶ μεμαῶτα ἀμυνέμεναι σχήσω τῆς ἀλκῆς.

186. ὄφρ' ἂν ἐγὼν] προσεδόκησεν ἄν τις αὐτὸν δυσωπηθέντα τοῖς λόγοις ὡς καὶ αὐτὸς ἐπηγγείλατο, κινηθῆναι ἐπὶ τῷ πράγματι, ὁ δὲ ἐπιλέλησται μὲν ὧν αὐτὸς εἶπεν, ἠμέλησε δὲ τῶν ὀνειδῶν, ἐπὶ δὲ τὴν ἑαυτοῦ ἐπιθυμίαν ἐξάγεται.

189. θέων δ' ἐκίχανεν ἑταίρους] ἔπεμψε μὲν τοὺς φέροντας τὰ

27. οὐδὲν addidit Vill. 31. * τοῖς λόγοις] τοὺς λόγους

ὅπλα, μὴ δυνηθεὶς δὲ πρὸς τὴν ἐπιθυμίαν ἀντισχεῖν μετανοεῖ καὶ σπεύδει καλλωπίσασθαι, διὰ τῶν θείων ὅπλων δόξαν καὶ φυλακὴν παρέχων ἑαυτῷ, θέλων τε τοὺς Τρῶας ἐπιρρῶσαι καὶ τοὺς Ἀχαιοὺς φοβῆσαι. ἅμα δὲ καὶ ἀποδοθῆναι θέλει τὰ ὅπλα τῷ Ἀχιλλεῖ ὁ ποιητής.

190. μετασπών] τινὲς ἐβάρυναν, οὐκ εὖ. οὐδεμία γὰρ μετοχὴ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, εἰ μὴ τὸ ἄκων.

197. γηράς] ἀποκοπὴ τοῦ γηράσας, ὡς τὸ ὑποφθάς ἀντὶ τοῦ ὑποφθάσας καὶ ἐπιπλώς. τινὲς δὲ ἀπὸ τοῦ γήρημι, ὡς κίχρημι. ὅθεν καὶ τὸ "γηράντεσσι τοκεῦσι" (Hesiod. O. 186)· παρατάσεως γὰρ μᾶλλόν ἐστιν ἢ συντελείας, γηρῶσι τοῖς γονεῦσι καὶ ἐν παρατάσει οὖσι τοῦ γηρᾶν, οὐχὶ τέλος λαβοῦσι τοῦ γήρως· ὁ γὰρ τέλος λαβὼν τέθνηκε. καὶ ἐνθάδε οὖν τὸ γηράς ἀντὶ τοῦ γηρῶν, οὐ γηράσας.

198. τὸν δ' ὡς] ἐλέγξαι βουλόμενος τὴν κενοσπουδίαν Ἕκτορος οὐκ ἐκ τοῦ ἰδίου προσώπου τὸν λόγον ἐποιήσατο· ἐφαίνετο γὰρ ἂν πρὸς ἀπέχθειαν κατηγορῶν. περιθεὶς δὲ τῷ Διὶ τοὺς λόγους ἀξιοπιστότερον τοῦ βαρβάρου κατηγόρησεν.

201. σχετλιάζων ἐπὶ τῷ ἐπάρματι τῆς εὐτυχίας διδάσκει μετριάζειν.

207. πάθος ἐργάζεται ταῖς ἀλλοτρίαις συμφοραῖς συναλγοῦν τὸ πρόσωπον. ἡ φιλανδρία δὲ Ἀνδρομάχης δείκνυται, εἰωθυίας ὁπλίζειν Ἕκτορα. καὶ εἰ μὲν ἔμελλέ τις τῶν ἀκουόντων ἀγανακτήσειν ὅτι χρᾶται τοῖς Ἀχιλλέως ὅπλοις, μαθὼν ὅτι οὐκ ἐπὶ πολὺ ἠλέησεν ἂν τὸν Ἕκτορα.

208. νεῦσε Κρονίων] τραγῳδίαν ἔχει τὸ ἐπὶ κυρώσει μεγάλων παθῶν νεῦμα. ἐπένευσεν οὖν ἵνα νικήσῃ· τὸ γὰρ ἀποθανεῖν ἐπέπρωτο.

210. *ἥρμοσε τεύχε'] τὸν Δία ἀκουστέον ἁρμόσαι τὰ ὅπλα τῷ Ἕκτορι, οὐ τὰ ὅπλα συγκαθίσαι· οὐ γὰρ Ἀχιλλεῖ ὁ Ἕκτωρ ἰσομεγέθης.

δῦ δέ μιν Ἄρης] εἰσῆλθεν εἰς αὐτὸν ὁ Ἄρης διά τε τὴν Διὸς ἐπίνευσιν καὶ τῶν ὅπλων χάριν. Ἄρης δὲ πολέμου ἔρως.

211. ἐνυάλιος] φονικὸς, παρὰ τὸ ἔνω τὸ φονεύω καὶ τὸ ἅλις. ἀπὸ δὲ τοῦ ἔνω καὶ τὸ αὐθέντης συντέθειται.

215. προπαρασκευή τις τῆς μάχης ἔοικε γίνεσθαι ὑπὸ τοῦ ποιητοῦ· ἅμα δὲ καὶ ἀκόλουθον τῇ κενοδοξίᾳ Ἕκτορος τὸ καθ' ἕκαστον

ἐνδεικνυσθαι τὴν κτῆσιν τῶν ὅπλων καὶ φανῆναι ὅμοιον Ἀχιλλεῖ. ἡδέως δὲ πάνυ καὶ ἀρχαιοπρεπῶς τῇ ἐπαλληλίᾳ τοῦ συνδέσμου ἐχρήσατο (216–8).

220. κέκλυτε] ἐπῆρται τῇ εὐτυχίᾳ, καὶ ἄλλως ὑπὸ τοῦ Γλαύκου δεινῶς ὀνειδισθεὶς ἀνταποδίδωσι τοῖς ἐχθροῖς τὴν ὕβριν. παραβάλωμεν δὲ Ἑλληνικὸν καὶ βάρβαρον ἦθος. ἄμφω προτρέπουσιν ἐπὶ τὴν μάχην, Ἕκτωρ καὶ Μενέλαος· ἀλλ' ὁ μὲν οὐδὲ ῥῆμα φιλοφροσύνης εἶπεν, ὁ δὲ "ὦ φίλοι Ἀργείων ἡγήτορες" (248)· καὶ ὁ μὲν δημοσίας τιμῆς καὶ σιτήσεως ὑπομιμνήσκει, ὁ δὲ δώρων καὶ ἐδωδῆς, φορτικὴν καὶ δουλοπρεπῆ ὀνειδίζων αὐτοῖς δόσιν, καὶ ἐκτρίβειν τὸ ὑπήκοόν φησιν, ὁμολογῶν ὅτι ἄκων καὶ μισθῷ προτρέπει· καὶ ὁμολογεῖ ἄχθεσθαι τοῖς λαμβάνουσι, λέγων ὅτι ἐκ τοῦ λαοῦ ὧν εὐποροῦσιν αὐτοῖς ἡ εὐπορία γίνεται· ὁ δὲ καὶ Νέμεσιν προβάλλεται.

225. *κατατρύχω] ἀντὶ τοῦ καταπονῶ τοὺς Τρῶας, ἀναγκάζω παρέχειν τοῖς συμμάχοις δωρεὰς καὶ εὐωχίας.

227. ἢ ἀπολέσθω] ὡς χαλεπαίνων τῷ ἀδήλῳ τῆς τύχης, τὴν χείρω ἐλπίδα προὔθηκεν. ὅρα δὲ τὴν εὐήθειαν· ἀξιοῖ μετὰ ἀναιδείας ἀντὶ τῶν τροφῶν ὧν παρεῖχεν ἀντιδοῦναι τὰς ψυχάς.

230. εἴξῃ δέ οἱ Αἴας] ἐμφαντικῶς οὐκ εἶπε κρατήσει Αἴαντος, ἀλλ' ᾧ εἴξει μόνον, ἀντὶ σύμπαντος τοῦ πλήθους παραλαβὼν αὐτόν, καὶ εἰκότως· κατέπληξε γὰρ αὐτὸν ἐκ τοῦ μονομαχίου καὶ τοῦ λίθου τῆς βολῆς.

233. βρίσαντες] συνασπίσαντες, εἰς τὸ αὐτὸ πάντες ὁρμήσαντες.

234. οὐκ ἀπεικότως φησὶν αὐτοὺς ἐλπίσαι ταῦτα· πάντες γὰρ ἐλπίζουσιν. ὅρα δὲ πῶς ἀντέθηκε τῷ παντὶ πλήθει τῶν Τρώων τὸν Αἴαντα.

236. νήπιοι] ἐπεὶ ἐδεινοποίησε τὴν προθυμίαν τῶν Τρώων, διὰ τοῦτο προαναφωνεῖ τὸ ἐσόμενον εἰς εὐθυμίαν τῶν ἀκουόντων.

238. τὸ Περιπατητικὸν δόγμα οἶδεν ὁ ποιητὴς πρῶτος, ὅτι οὐδὲ αὐτὸς ὁ ἀνάρετος ἄφοβος οὐδὲ ἀπαθής· ὁ γὰρ Αἴας οὐ φεύγει, ἀλλ' ὁμολογεῖ δεδιέναι καὶ συμμαχίαν αἰτεῖ.

240. ἢ ὡς κυβερνήτης ἀγαθὸς προσκοπεῖ τὸν ἐσόμενον κλύδωνα τῆς μάχης, ἐν δὲ τοῖς πρακτέοις ἀριστεύει· ἢ τάχα τὸν ἀκροατὴν ἐγείρων ὁ ποιητὴς καὶ αὐτὸν τὸν ἰσχυρότατον ἀγωνιῶντα παρίστησιν.

242. ἡ περί ἀντὶ τῆς ὑπέρ, ἵν' ᾖ ὑπὲρ ἐμῆς κεφαλῆς.

5. *παραβάλωμεν] παραλάβωμεν

243. ἐπεὶ πολέμοιο νέφος] ἐπεὶ ὡς νέφος πολέμου ὁ Ἕκτωρ πάντα καλύπτει. ἢ ἐπεὶ ὁ Ἕκτωρ τὸ νέφος τοῦ πολέμου ἐπάγων, ὅ ἐστι τὸ πλῆθος, πάντοθεν ἡμᾶς περικαλύπτει.

245. ἀκούσῃ καὶ μὴ καταπτήξῃ τὸν πόλεμον. ἢ διὰ τὸν κτύπον τῶν ἀσπίδων καὶ τὸν θόρυβον τῶν μαχομένων· ὃ καὶ ἄμεινον.

248. ὦ φίλοι] τεθεῖσα ἐκ παραλλήλου ἡ δημηγορία αὕτη τῇ τοῦ Ἕκτορος ἤλεγξε μὲν τὸ τῶν βαρβάρων ἀνόητον, ἔδειξε δὲ τὴν Ἑλληνικὴν σύνεσιν. εἰς γὰρ τὸ αὐτὸ πρᾶγμα ὁ μὲν Ἕκτωρ τροφὴν ἐγκαλέσας ὠνείδισε μᾶλλον ἢ ἐδυσώπησεν, ὁ δὲ τιμῆς αὐτοὺς ὑπομνήσας προετρέψατο.

250. δήμια] τὰ ἐκ τῶν κοινῶν καὶ δημοσίων χρημάτων χορηγούμενα τοῖς βασιλεῦσιν.

255. Πάτροκλον] αὐτῷ τῷ ὀνόματι ἠρκέσθη πρὸς δυσώπησιν. αἰδέσθητε, φησί, Πάτροκλον ὑπὸ κυνῶν σπαραχθῆναι, οὐδὲν τῶν προσόντων αὐτῷ προσλαβών, οὐ τὸ μειλίχιον, οὐ τὸ φιλέταιρον, οὐ τὸ σωτήριον.

* μολπὴ δὲ νῦν ἡ παιδιά· οἱ γὰρ κύνες, ὁπόταν χορτασθῶσι, παίζουσι τοῖς λειψάνοις.

256. ταχὺς Αἴας] προπετὴς οὗτος καὶ ταχὺς τὴν γνώμην.

263. οὐ μόνον ῥεύματι ποταμοῦ οὐδὲ κύματι θαλάσσης εἴκασε τὸν ἦχον, ἀλλ' ἄμφω συνέπλεξε· καὶ ἔστιν ἰδεῖν κῦμα μέγα θαλάσσης ἐπιφερόμενον ποταμοῦ ῥεύματι καὶ τῷ ἀνακόπτεσθαι βρυχώμενον, καὶ τὰς ἑκατέρωθεν τοῦ ποταμοῦ θαλασσίας ἠϊόνας ἠχούσας, ὃ ἐμιμήσατο διὰ τῆς ἐπεκτάσεως τοῦ βοόωσιν. αὕτη ἡ εἰκὼν Πλάτωνος ἔκαυσε τὰ ποιήματα· οὕτως ἐναργέστερον τοῦ ὁρωμένου τὸ ἀκουόμενον παρέστησε. δεικτικὸν δὲ καὶ τὸ ἐρευγομένης. τὸ δὲ ἔξω τὴν ἐπὶ πλεῖστον ἔκχυσιν τῆς θαλάσσης δηλοῖ. φασὶ δὲ καὶ Σόλωνα τὸν νομοθέτην, μιμησάμενον τὴν Ὁμήρου ποίησιν ἐν ἅπασιν, ἐνθάδε γενόμενον διαπορῆσαι, καὶ θαυμάσαντα κατακαῦσαι πάντα τὰ ἴδια σκέμματα, ὡς καὶ Πλάτων. τῆς γὰρ ἐπαλλήλου τῶν ὑδάτων ἐκβολῆς ἡ τοῦ βοόωσιν ἀναδίπλωσις ὁμοίαν ἀπετέλεσε συνῳδίαν.

διιπετέος] ἐξ ὄμβρου συγκινουμένου. μεγαλοφυῶς δὲ οὐδένα παραλαμβάνει τῶν ἀεννάων ποταμῶν (ἠρεμαιότεροι γὰρ οὗτοι), ἀλλὰ χειμάρρουν, πρός τε τὸ αὐξῆσαι τὸ μέγεθος τῆς βοῆς καὶ πρὸς τὸ

12. τοῖς β. B a m. sec.
17. ὁπόταν] ὅτε
32. συγκινουμένου] συγκειμένην Harl. συγκειμένου Bekkerus

ἐπιδεῖξαι τὴν ἐναντίωσιν. συμπράττει δὲ τῇ φαντασίᾳ καὶ ἡ τῶν φωνῶν τραχύτης καὶ ἡ ἐπέκτασις τοῦ βοόωσιν.

*Πορφυρίου. θαυμάσειεν ἄν τις τοὺς τὸν ποταμὸν οἰηθέντας, ὃν Ὅμηρος Αἴγυπτον ποταμὸν κέκληκε, διιπετῆ εἰρῆσθαι διὰ τὸ ἀφανεῖς ἔχειν τὰς πηγὰς κατὰ τοὺς Αἰγυπτίους ἐν οὐρανῷ καὶ οὐρανόθεν ῥεῖν· λέγει γὰρ "οὐ γάρ τοι πρὶν μοῖρα φίλους τ' ἰδέειν, πρὶν δ' ὅταν Αἰγύπτοιο διιπετέος ποταμοῖο αὖθις ὕδωρ ἔλθῃς" (Od. 4, 475). πρῶτον μὲν γὰρ καὶ τὸν Σπερχειὸν διιπετῆ λέγει ("υἱὸν Σπερχειοῖο διιπετέος ποταμοῖο" Il. 16, 174) καὶ τὸν πρὸς τῇ Φαιάκων γῇ ("ἐγὼ δ' ἀπάνευθε διιπετέος ποταμοῖο" Od. 7, 284· "ἀλλ' ὅτε δὴ ποταμοῖο κατὰ στόμα καλλιρόοιο" Od. 5, 441). καὶ ἁπλῶς δὲ πάντας διιπετεῖς ἐν παραβολῇ λέγει ("ὡς δ' ὅτ' ἐπὶ προχοῇσι διιπετέος ποταμοῖο βέβρυχεν μέγα κῦμα ποτὶ ῥόον") τὸ παντὶ ποταμῷ καὶ τὴν ἐκβολὴν εἰς θάλασσαν ποιουμένῳ παρακολουθοῦν παρὰ τὸν ἦχον διατακτικῶς ἐμφανίζων. διιπετεῖς οὖν λέγει τοὺς ποταμοὺς τοὺς ἐκ Διὸς γεγεννημένους· τῷ γὰρ πεσεῖν ἀντὶ τοῦ γεννᾶσθαι χρᾶται, ὡς τὸ "ὅστις ἐπ' ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικός" (Il. 19, 110). ἀλλαχοῦ δὲ ἔφη ἀντὶ τοῦ διιπετοῦς "Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς" (Il. 14, 434). τοῦτο δὲ, ὅτι φύσει οἱ ποταμοὶ ἐκ Διὸς πληροῦνται, ὥς που ἔφη, "καί σφιν Διὸς ὄμβρος ἀέξει" (Od. 9, 111)· ᾧ λόγῳ καὶ τὰς νύμφας τοῦ Διὸς θυγατέρας λέγει· "νύμφαι κρηναῖαι κοῦραι Διός" (Od. 17, 240)· ἔτι "νύμφαι ὀρεστιάδες κοῦραι Διός" (Il. 6, 420), ἐπειδὴ καὶ τὰ ἐν τοῖς ὄρεσι φυτὰ τῷ τοῦ Διὸς ὄμβρῳ τρέφεται. Ζηνόδωρος δὲ διιπετῆ τὸν διαυγῆ ἀποδίδωσιν· διὰ τοῦτο καὶ γράφει διειπετῆ διὰ τῆς ει διφθόγγου.

264. ὠνοματοπεποίηται ἡ λέξις. ποτὶ ῥόον δὲ, ὅτι ἀντιπίπτει τῷ ῥεύματι τοῦ ποταμοῦ τὸ τῆς θαλάττης.

268. ἀμφὶ δ' ἄρα σφιν] ἐπὶ τιμῇ Πατρόκλου τοῦτο φαίνεται πράττων, ὥσπερ καὶ ἐπὶ Σαρπηδόνος (Il. 16, 459) "αἱματοέσσας δὲ ψιάδας" ἀφίησι. καίτοι δὲ ὑποσχόμενος Ἕκτορι μέγα κράτος ἐγγυαλίξαι, νῦν φαίνεται κηδόμενος τοῦ Πατρόκλου· εὐσεβὴς γὰρ δι' ὅλης τῆς ποιήσεως εὑρίσκεται.

272. μίσησεν] μισητὸν ἡγήσατο, οἷον καταβρωθῆναι αὐτὸν κυσὶν οὐκ ἠθέλησεν.

3. θαυμάσειεν] θαυμᾶ΄ 14. καὶ] τῷ Bekk.

277. ἀλλὰ νέκυν ἐρύοντο] μικροψυχίας κατηγόρημα, εἰ τῆς τῶν πολεμίων ἠμέλουν σφαγῆς, καὶ ταῦτα ἐπιθυμοῦντες, διὰ τὸ ἑλκύσαι τὸν νεκρόν.

281. συῒ εἴκελος] εὖ τὸ μὴ λέοντα παραλαβεῖν, ἀλλὰ κάπρον ζῷον φεῦγον· οὗτος γὰρ εἴωθεν ἐν ταῖς φυγαῖς στρέφεσθαι πυκνῶς καὶ ἀναιρεῖν τοὺς διώκοντας.

290. δησάμενος τελαμῶνι] ἐναργὴς καὶ καινοπρεπὴς ἡ διάθεσις· ἐπεὶ γὰρ δέδιε πλησιάζων τοῖς ἀντιπάλοις, ἕλκει τὸ σῶμα κεκρυμμένος. διὸ καὶ κατὰ κεφαλῆς πλήττεται.

297. παρ' αὐλόν] τινὲς, καθ' ὃ μέρος τοῦ δόρατος τὸ ξύλον εἰσέρχεται, ἐπεὶ καὶ τὰς αἰγανέας δολιχαύλους φησίν (Od. 9. 156). οἱ δὲ τὸν ἄκρον ἐξακοντισμὸν τοῦ αἵματος, ὡς ἄνω που πηδήσαντος τοῦ ἐγκεφάλου. θέλει δὲ εἰπεῖν ὅτι ἐκράθη ὁ ἐγκέφαλος τῷ αἵματι· διὸ καὶ αἱματόεντα ἔφη αὐτόν.

298. αὖθι] παρὰ τῷ Πατρόκλῳ, πρίν τι δρᾶσαι, πρὶν αὐτὸν ἑλκύσαι.

300. ἐπὶ νεκρῷ] ἐναντίον τῷ ἄγχι τὸ ἐπί, εἰ μὴ ἀντὶ τῆς παρά ᾖ.

309. τὸν βάλ'] πολλὴν ἐμφαίνει πανταχοῦ τὴν ποικιλίαν· νῦν γὰρ προεῖπε τοῦ θανάτου τὸ γεγονὸς, ἀλλαχοῦ δὲ τὸ ἐναντίον.

310. νείατον ὦμον] τὸ ἔσχατον μέρος τοῦ ὤμου, ὡς τὸ "νειαίρῃ δ' ἐν γαστρί" (Il. 5, 539).

313. διὰ τοῦ μέσην γαστέρα τὸν ὀμφαλὸν δηλοῖ.

314. διὰ δ' ἔντερα] παράδοξον καὶ τὸ διὰ τῆς ἐπιφανείας τοῦ σώματος προχυθῆναι ἔντερα. τὸ δὲ διὰ τοῦ θώρακος πολὺ θαυμασιώτερον· ἐννόησον γὰρ οἵα ἡ θεωρία.

317. ἐρύσαντο δὲ νεκρούς] πῶς μὴ καὶ Πάτροκλον εἵλκυσαν; ὅτι περὶ τοῦτον οἱ Τρῶες σπουδαιότεροι ἦσαν, τῶν δὲ ἰδίων καὶ ἠμέλουν νεκρῶν.

321. Διὸς αἶσαν] ἀντὶ τοῦ γνώμην Διός· ὀργιζομένου γὰρ Ἀχιλλέως τιμᾶν ἤθελε Τρῶας, ὡς δι' Ἴριδος ὑπέσχετο.

324. κήρυκι] διὰ μέτρον συσταλτέον τὸ $\overline{\rho\upsilon}$. τὸ δὲ Ἠπυτίδῃ τινὲς πατρωνυμικῶς· ἀλλ' ἀπὸ τοῦ Ἠπύτης Ἠπυτάδης ὤφειλεν. ἔστιν οὖν παραγωγὸν ἀπὸ τοῦ "ἠπύτα κῆρυξ" (Il. 7, 384).

325. γήρασκε] ἡ ἡλικία καὶ ἡ φιλία ἑτοίμη πρὸς πειθώ.

7. ἐναργὴς Bekkerus] ἐνεργής

327. ὑπὲρ θεόν] ἀπέφυγε τὸ κοινὸν, τὸ εἰπεῖν καὶ ἐναντιουμένου θεοῦ. προτρεπτικὸς δὲ ὁ λόγος καὶ ἐλεγκτικός.

*δείκνυσι δὲ ὅτι ἕτεροι καὶ ὑπὸ θεῶν οὐ βοηθούμενοι καὶ ὄντες τῷ πλήθει ὀλίγοι γενναίως μάχονται, ἐλέγχων τοὺς μὴ μαχομένους καὶ πολυπληθείᾳ προὔχοντας καὶ βοηθείᾳ θεοῦ.

328. ἴδον ἀνέρας ἄλλους] ἀξιόπιστος ὁ λόγος, κήρυκος περικείμενος πρόσωπον· πλάνητες γὰρ οὗτοι καὶ πολλὰ ἱστορηκότες. ἑώρακα οὖν, φησὶ, καὶ τῷ πλήθει ἥττονας καὶ τὴν ἀπὸ τῶν θεῶν βοήθειαν ἐναντίαν ἔχοντας, ἐπὶ μόνῳ δὲ κατορθοῦντας τῷ σθένει. ἐλεγκτικῶς δὲ ἡ παράθεσις γίνεται.

330. πλήθεΐ τε σφετέρῳ] τῷ ἰδίῳ πλήθει, οὐκ ἐπικουρικῷ. τὸ δὲ ὑπερδέα σφόδρα ἐνδεῆ, ὥστε ἔνεστι καὶ ἐπὶ τῶν λειπομένων τῷ ἀριθμῷ πλῆθος ὀνομάζειν. τὸ δὲ σχῆμα ἐκ τοῦ ἐναντίου δείκνυται, ὅτι ἕτεροι καὶ ὑπὸ θεῶν οὐ βοηθούμενοι καὶ τῷ πλήθει ὀλίγοι ὄντες γενναίως μάχονται. ἐλέγχει δὲ τούτους μὴ μαχομένους καὶ πολυπληθείᾳ προὔχοντας καὶ συμμαχίᾳ θεοῦ.

332. ἄσπετον] μεγάλως. ἔστι δὲ ἄσπετον, ᾧ οὐκ ἄν τις παρακολουθήσειε διὰ τὸ μέγεθος.

336. *ἧδε] ἀντὶ τοῦ ὧδε, τροπῇ τοῦ ω̄ εἰς η̄.

339. ὕπατον μήστωρα μάχης] μέγιστον ποιητὴν καὶ τεχνίτην τῆς μάχης.

354. ἔρχατο] συνειρμένοι ἦσαν, παρὰ τὸ εἴρω τὸ συμπλέκω. διὸ ψιλώσομεν τὴν λέξιν.

358. οὔτε τινὰ προμάχεσθαι] καὶ Νέστωρ τοῦτο παραινεῖ· "μηδέ τις ἱπποσύνῃ τε καὶ ἠνορέηφι πεποιθὼς οἶος πρόσθ' ἄλλων μεμάτω Τρώεσσι μάχεσθαι" (Il. 4, 303). καὶ γὰρ οὐχ ἧττον λυπεῖ τοῦ φεύγοντος ὁ προμαχῶν, διασπῶν τὴν τάξιν.

365. ἀλλήλοις καθ' ὅμιλον ἀλεξέμεναι] στρατηγικῶς δείκνυσι πόθεν γίνεται νίκη, οὐ τὸ ἰδίᾳ λυσιτελὲς σκοποῦντος ἑκάστου, μᾶλλον δὲ τὸ τοῦ πλησίον. καὶ "ἐν θυμῷ μεμαῶτες ἀλεξέμεν ἀλλήλοισι" (Il. 3, 9). σωτήριον ἄρα ἐν εἰρήνῃ καὶ πολέμῳ ἡ πρὸς φίλους εὔνοια.

368. μάχης ἔπι θ' ὅσσοι ἄριστοι] περισσὸς ὁ τέ· ἔστι δὲ οὕτως· ὅσοι γὰρ ἄριστοι ἐπὶ τὴν μάχην, περὶ τὸν Μενοιτιάδην ἕστασαν καὶ ἠέρι κατείχοντο.

1. τὸ εἰπεῖν Bekkerus] τῷ εἰπεῖν

371. *εὔκηλοι] ἥσυχοι ἐκ διαδοχῆς· ἐπιφέρει γὰρ "μεταπαυόμενοι δὲ μάχοντο," ὅ ἐστιν, οἱ μὲν ἀναπαυόμενοι, οἱ δὲ μαχόμενοι ἐκ διαδοχῆς καὶ ἀναπαύσεως.

373. γαίης οὐδ' ὀρέων] οὔτε χαμόθεν ἦν νέφος ἰδεῖν οὔτε ἐπὶ ὄρους ἀναβάντα. τὴν βαθεῖαν οὖν αἰθρίαν ἐδήλωσεν· καὶ γὰρ ἐν ταῖς αἰθρίαις ἔστιν ἰδεῖν ἐπὶ τῶν ὀρῶν νέφη τινά.

μεταπαυόμενοι] ἐκ διαδοχῆς ἀναπαυόμενοι. ὡς ἀντιποιεῖται μὲν ὁ λέγων ἐμόν ἐστι, μεταποιεῖται δὲ ὁ καὶ ἐμόν ἐστιν. οὕτως Ἀρίσταρχος.

377. δύο δ' οὔπω φῶτε πεπύσθην] οὐχ ὡς τῶν ἄλλων πυθομένων (ἄτοπον γὰρ ἐπὶ πάντας διαβῆναι τὴν φήμην), ἀλλὰ τῶν ἀρίστων. τοῦτο δὲ ποιεῖ, ἐπεὶ θάτερον αὐτῶν ἀποστέλλειν ἐθέλει φίλτατον ὄντα Ἀχιλλεῖ.

381. ἐπιοσσομένω] ἐπιβλέποντες, ἵνα τῶν μὲν πιπτόντων ὑπερμαχοῖεν, τοὺς δὲ φυγάδας προτρέποιντο. ἄλλως. προορώμενοι καὶ προσδοκῶντες μήτε ἀποθνήσκειν τοὺς ἑταίρους μήτε φεύγειν, ἐπὶ τῆς αὐτῆς ἔμενον τάξεως.

382. ἐπετέλλετο] τοῦ ὑπερμαχεῖν δηλονότι τῶν ἑταίρων.

384. πανημερίοις] ἐν τῷ λειπομένῳ παντὶ μέρει τῆς ἡμέρας.

386. γούνατά τε] εὖ τὸ μὴ ἐπὶ κεφαλαίου τὰ μέλη φράσαι, ἀλλὰ κατὰ μέρος ὅλον ἐπελθεῖν τὸ σῶμα· τοῦτο γὰρ καὶ ἐνάργειαν προβάλλει καὶ τῆς ταλαιπωρίας τὸ μέγεθος δείκνυσι. τὰ δὲ μέσα καὶ τὸν θώρακα ῥᾴδια πρὸς ἱδρῶτα ὄντα παρέλιπεν. ἀκατάλληλον δὲ τὸ ὀφθαλμοὶ παλάσσετο. ἔστι δὲ ὅμοιον τῷ "ἔνθα Ποσειδάων κατ' ἄρ' ἕζετο καὶ θεοὶ ἄλλοι" (Il. 20, 149). πρὸς μὲν τὰ γούνατα τὸ παλάσσετο προσυπακούομεν, τοῖς δὲ πληθυντικοῖς τὸ παλάσσοντο.

389. ὡς δ' ὅτ' ἀνήρ] ἐνδείξασθαι θέλων καὶ τὴν βίαν τῶν ἑλκόντων καὶ τὴν τοῦ ἑλκομένου σώματος ταλαιπωρίαν, δορὰν διατεινομένην παραλαμβάνει, καὶ ταύτην ἀκμαίαν, ἥτις πολλὴν ἐπίδοσιν ποιεῖται, καὶ ἐλαίῳ διάβροχον· τούτῳ γὰρ τὰ κατεσκληκότα μαλάττονται. οὔπω δὲ ἐπαττάλευον τὰς βύρσας ἴσως. ἔστι δὲ ἐξ εὐτελοῦς μὲν ἡ εἰκών, τῇ δὲ ἐναργείᾳ κεκόσμηται.

393. τάνυται δέ τε πᾶσα διαπρό] διατείνεται δὲ πᾶσα εἰς τοὔμπροσθεν μεγεθυνομένη· τὸ γὰρ πάχος λεπτυνόμενον εἰς μέγεθος ἄγεται.

401. οὐδ᾽ ἄρα πω] εἴωθε συμπάθειαν ἐγείρειν διὰ τούτων, ἐπὰν οἱ τὰ μέγιστα δυστυχοῦντες ἐν ἀγνοίᾳ τῶν κακῶν εἶεν καὶ ἐπὶ χρηστοτέρων φέρωνται ἐλπίδων, ὡς Ἀνδρομάχη καὶ Δόλων καὶ νῦν Ἀχιλλεύς.

404. τό μιν οὔποτε ἔλπετο θυμός] παιδευτικὸς ὁ λόγος ὅτι οὐ δεῖ ἀεὶ ταῖς ἐλπίσι πεποιθέναι.

409. νόημα] τὴν θέλησιν καὶ βουλήν. τινὲς δὲ τῶν φιλοσόφων μοῖραν ἔλεγον εἶναι τὴν τοῦ θεοῦ βουλήν.

415. ὦ φίλοι] πολλὴ σπουδὴ ἑκατέρῳ στρατῷ τοῦ νεκροῦ κρατῆσαι, τοῖς μὲν αἰδουμένοις δεύτερον ἁμαρτεῖν εἰς Ἀχιλλέα, τοῖς δὲ βουλομένοις ἀμύνεσθαι Ἀχιλλέα ὧν πρότερον ἔπαθον ὑπ᾽ αὐτοῦ. λέγει δὲ ὅτι δεῖ προτιθέναι τὴν εὔκλειαν τῆς σωτηρίας.

421. εἰ καὶ μοῖρα] οἱ μὲν Ἕλληνες ἀποθανεῖν εὔχονται τοῦ νεκροῦ μὴ κρατήσαντες· οἱ δὲ μελλητικῶς φάσκουσιν, εἰ καὶ μοιρίδιον ἡμῖν ἀποθανεῖν, τῆς μάχης οὐ δεῖ ἀφίστασθαι.

424. σιδήρειος] ὁ στερεὸς καὶ πολυΐσχυρος.

425. ἀτρυγέτοιο] ἀτρύτου. ἢ ἐπεὶ καὶ αὐτὸς ὁμοίως τῇ θαλάσσῃ οὐ τρυγᾶται.

426. ἵπποι δ᾽] μετάγει τὸν λόγον ἀπὸ τῶν συνεχῶν πόνων. ἔστι δὲ τὸ ζῷον φρενῆρες καὶ οἰκειότητα φυσικὴν ἔχον τοῦ προγινώσκειν τὰ ἐν πολέμῳ καὶ εἰς συναίσθησιν ἔρχεται τοῦ ἐπιβάτου ἀποτυχόν.

430. θοῇ] ταχυποιῷ. ἐπεμαίετο δὲ ἀντὶ τοῦ ἥπτετο καὶ ἐμάστιζεν.

432. πλατύν] οὐ τὸν καθόλου πλατὺν, ἀλλὰ τὸν καθ᾽ ὃ μέρος ἑαυτοῦ ἐστὶ πλατύτατος.

434. ὥστε στήλη] πλέον τι ἔχει ἡ παραβολή· οὐ γὰρ τὴν στάσιν μόνον σημαίνει, ἀλλὰ καὶ τὴν ποιότητα, τὴν ἐπὶ τῷ πένθει. πρὸς γὰρ τὴν κατηφῆ στάσιν ἡ παραβολή.

437. ἐνισκίμψαντες] ἀντὶ τοῦ προσερείσαντες καὶ πελάσαντες διὰ λύπης ὑπερβολήν.

440. ἀμφοτέροισι] τοῖς ἵπποις δηλονότι.

443. ἆ δειλώ] τὸ ὅλον εἰς καταβολὴν τοῦ ἀνθρωπίνου γένους· εἰ γὰρ οἱ ἵπποι διὰ τὸ συνωμιληκέναι ἀνθρώποις ἐν χαλεποῖς γίνονται καὶ διὰ τοῦτο δειλοὶ, πόσῳ μᾶλλον αὐτοὶ οἱ ἄνθρωποι; εἶτα καὶ

25. πλατύτατος Bekkerus] πλατύτερος

27. ποιότητα] ποιὰν Bekkerus.

34. αὐτοὶ Bekkerus] οὗτοι

κατασκευάζει, πάντων ζῴων εἶναι φήσας χείριστον τὸν ἄνθρωπον· πλεονεκτοῦμεν γὰρ τὰ ἄλλα ζῷα τῷ λογισμῷ μόνῳ, ἀλλὰ κατὰ πολλὰ ἐνδεέστεροί ἐσμεν, αὐτῷ δὲ ᾧ δοκοῦμεν πλεονεκτεῖν, τὴν ἀντίληψιν τῶν κακῶν ποιούμεθα. διδάσκει οὖν μὴ μέγα φρονεῖν. ἔχει δὲ ἀξιοπιστίαν ὁ λόγος ὑπὸ θεοῦ λεγόμενος.

447. πάντων ὅσσα τε γαῖαν ἐπιπνείει] ὑπὲρ πάντα τὰ γαῖαν ἐπιπνείει. λείπει δὲ ἡ κατά. πᾶν μὲν οὖν ἔμψυχον ὑποπέπτωκεν ἀτυχίαις, πλέον δὲ ὁ ἄνθρωπος.

453. σφίσι] δηλονότι τοῖς Τρωσί. προλέγει δὲ, ἵνα μὴ λυπῇ τὸν ἀκροατὴν ἐπὶ πλεῖον, τὴν προθεσμίαν διδάξας τῆς εὐημερίας.

459. τοῖσι δ' ἐπ' Αὐτομέδων] κρεῖττον γὰρ τόδε ἀλέξειν τῷ ἑταίρῳ ᾤετο. ἄλλως τε οἱ ἵπποι αὐτὸν ἐκεῖσε ἄγουσιν.

463. ᾕρει τὸ κατελάμβανεν, ὡς τὸ "ἐκ δέκα ποδῶν ᾕρει λέγων τοὺς ῥήτορας·" νῦν δὲ ἀντὶ τοῦ ἀνῄρει.

464. ἱερῷ] τῷ μὴ ἄλλῳ ἐπιβατῷ ἢ Ἀχιλλεῖ.

477. θεόφιν μήστωρ ἀτάλαντος] ἴσος θεοῖς εἰς τὸ κατεργάσασθαί τι.

483. ἀπόρουσε] τοῦ ἰδίου ἅρματος, καὶ κατῆλθε πεζῇ πολεμήσων.

486. ἵππω τώδ' ἐνόησα] εὐτυχήσας τῆς πανοπλίας ἐπιθυμεῖ καὶ τῶν ἵππων. προτρέπεται δὲ τὸν Αἰνείαν οὐ μόνον ὡς ἀριστέα, ἀλλὰ καὶ ὡς ἀσχάλλοντα τῇ ἀφαιρέσει τῶν ἰδίων ἵππων.

492. βοέης] συλληπτικῶς· ἣν γὰρ εἶχεν ὁ Ἕκτωρ, οὐ βοεία ἦν.

507. Αἴαντε] πιθανὸν ἀνακεχωρηκότος Ἕκτορος καὶ τὸν Αἴαντα τολμῆσαι τὸ σῶμα καταλιπεῖν τοῖς μετ' αὐτὸν ἀρίστοις, ἔνθεν αὐτῷ ἐντυγχάνει.

514. ἐν γούνασι] ἐν τοῖς κόλποις, διὰ τὸ τὰ ἐν αὐτοῖς ἀποκείμενα πρόχειρα εἶναι. οἱ δὲ, ἀπὸ μέρους τῇ δυνάμει.

520, 521. ἄμφω ἤυξησε, τὸν μὲν πέλεκυν τῇ ὀξύτητι, τὸν δὲ ἄνδρα τῷ αἰζηός, ὡς εὐτονωτέραν τὴν καταφορὰν γενέσθαι. ὁ δὲ τόπος τῆς πληγῆς καιριώτατος· ὄπιθε γάρ φησι κεράτων εἰς τὴν ἀρχὴν τῶν νευρῶν. περὶ γὰρ τὰς τῶν κεράτων ῥίζας πυκνὰ καὶ συνεχῆ τὰ νευρὰ καὶ αἱ ἀρτηρίαι κεῖνται.

3. αὐτῷ] ἐν αὐτῷ Bekk.
11. ἀλέξειν] ἀλεξεῖν
13. ὡς τὸ] Eupolidis versus apud schol. Arist. Ach. 529 aliosque: v. Meinek. vol. 2 p. 459.
21. τῇ] * ἐπὶ τῇ
31. περὶ] Novi scholii initium in B.

522. πᾶσαν] ἢν γὰρ μὴ ὅλον διακοπῇ τὸ νευρὸν, οὐ πίπτει ὁ βοῦς. καὶ τὸ μὲν ἑξῆς ἐστὶ διατάμη, τῇ δὲ διακοπῇ τῆς λέξεως μεμίμηται τὸ γινόμενον. οὐκ ἀναστρέφεται δὲ ἡ διά, ἵνα μὴ συνεμπέσῃ τῇ Δία αἰτιατικῇ, ἡ δὲ ἀντί καὶ ἀμφί ὡς τρίχρονοι.

προθορών] βοῶν μὲν οἰκεῖον τὸ προπίπτειν, τῶν δὲ ἄλλων ζῴων τὸ ἀνακλᾶσθαι.

523. προθορὼν πέσεν] προπίπτειν μέλλοντα βίαιος οὖσα ἡ πληγὴ ἀνέστρεψεν. ἡ δὲ παραβολὴ πρὸς τὸ προθορεῖν μόνον· καὶ γὰρ οὗτος προέθορε μὲν ὡς ταῦρος, οὐκ ἔπεσε δὲ ὡς αὐτός.

524. νηδυΐοισι] τοῖς κατὰ νηδὺν σπλάγχνοις· ἅπαξ δὲ εἴρηται ἡ λέξις.

529. ἔνθα δ' ἔπειτ' ἀφίει] τότε δὲ ἵστη τὴν ὁρμὴν ὁ σίδηρος· ὅταν γὰρ μηκέτι προϊέναι ἰσχύσῃ, τὸ τηνικαῦτα ἱστάμενος κραδαίνεται.

538. ἦ δὴ μάν] ἴδιον τῷ παρ' ἐλπίδα εὐτυχήσαντι καὶ πλέον τι φθέγγεσθαι κατὰ τῶν ἐχθρῶν.

547. Ἶριν] ὅταν ἐξ ἐναντίας τῷ ἡλίῳ νέφος στῇ πεπιλημένον καὶ πλῆρες ὕδατος, αἱ δὲ ἀκτῖνες προσπίπτωσι τῷ νέφει καὶ καθάπερ ἀπὸ κέντρου τοῦ ἡλίου περιγράφωσι κύκλους, τότε τοῦ μὲν τῶν ἀκτίνων ἐρυθροῦ ἀνειμένου πρὸς τὸ κροκοειδὲς, τοῦ δὲ ἐν τῷ νέφει μέλανος ἐκλυομένου πρὸς κυάνεον, ἡ κρᾶσις ἀμφοῖν Ἶρίς ἐστι. καὶ Ἀναξαγόρας δέ φησιν Ἶριν νεφέλῃσιν ἀντιλάμπειν τῷ ἡλίῳ. χειμῶνος οὖν ἐστὶ σύμβολον· τὸ γὰρ περιχεόμενον ὕδωρ τῷ νέφει ἄνεμον ἐποίησεν ἢ ἐξέχεεν ὄμβρον. τὸ δὲ πορφυρέην, ἀπὸ μέρους τὴν ποικίλην· ἢ ὅτι ἔχει τινὰ πορφυρίζοντα. πιθανῶς δὲ τὴν τῆς θεοῦ κατάβασιν θειοτέρᾳ εἰκόνι ὡμοίωσεν.

553. πρῶτον δ' Ἀτρέος υἱόν] οὐκ εἰκῇ, ἀλλ' ἐπεὶ φαίνεται οὗτος μόνος ἀγωνιῶν ὑπὲρ Πατρόκλου.

555. δέμας καὶ ἀτειρέα φωνήν] δύο γάρ ἐστι δι' ὧν μάλιστα γνωρίζομεν, φωνὴ καὶ εἶδος. εἰκότως δὲ Φοίνικι εἴκασται· ἡγεῖτο γὰρ καὶ αὐτὸς φάλαγγος, καὶ μέλει αὐτῷ λίαν περὶ Πατρόκλου. ἅμα δὲ καὶ τὸ γῆρας ἱκανὸν πρὸς αἰδῶ.

556. κατηφείη] αἰσχύνη, ἀπὸ τοῦ κάτω ἔχειν τὰ φάη.

557. ἐντρέπει αὐτὸν τῇ μνήμῃ Ἀχιλλέως, οὗ δέονται πρὸς τὴν μάχην.

8. ἀνέστρεψεν Vill.] ἀνέτρεψεν   20. *ἀνειμένου] φαινομένου

564. ἐσεμάσσατο θυμόν] ἔπληξέ μου τὴν ψυχήν· μάσσασθαι γὰρ τὸ ἅψασθαι· καὶ μέχρι δὲ νῦν ἐν τῇ συνηθείᾳ φαμὲν "ἥψατό μου ὁ θάνατος τοῦ φίλου τοῦδε ἢ συγγενοῦς."

565. πυρός] διὰ τὸ εὐκίνητον καὶ θρασύ.

567. γήθησεν δὲ θεά] "ἔνεστι γὰρ δὴ κἀν θεῶν γένει τόδε· τιμώμενοι χαίρουσιν ἀνθρώπων ὕπο" (Eurip. Hippol. 7).

570. πιθανῶς οὐ μυίᾳ αὐτὸν εἴκασεν (ἦν γὰρ ἀναξία τοῦ ἥρωος ἡ εἰκών), ἀλλὰ τὸ θάρσος αὐτῆς προσέθηκεν. ἐπὶ τὰ ἐλάχιστα δὲ κατάγεται, τὸ ἁρμόδιον τῷ πράγματι ζητῶν. αἱ δὲ ποιητικαὶ λέξεις ἐπικαλύπτουσι τὸ ταπεινόν. πρὸς τὸ ἰταμὸν οὖν καὶ ἐπίμονον ἡ εἰκών.

*οὗτος γὰρ ἀποτρεπόμενος εἰς ἄλλον τόπον ἔτρεχεν εἰς τὸν αὐτόν.

575. Ποδῆς υἱὸς Ἠετίωνος] ἐπισημαίνεται πάντα, πόλιν ὄνομα γένος φιλίαν, ὡς ἀνιχνεύσας τὴν ἀλήθειαν. ὁ δὲ Ἠετίων ὁμώνυμος τῷ τῆς Ἀνδρομάχης. εἰ δὲ ἦν τῶν Κιλίκων ὁ Ποδῆς, εἶπεν ἂν ὅτι μάλιστα τῶν βασιλέων αὐτὸν ἐτίμα, οὐ τοῦ δήμου. προαπώλοντο δὲ καὶ οἱ Ἀνδρομάχης ἀδελφοί. καὶ τὸ ἀφνειός δὲ δείκνυσιν ὡς ἕτερος ἦν· ὁ γὰρ τοῦ Ἀνδρομάχης πατρὸς οἶκος ἠρήμωτο.

577. εἰλαπιναστής] σύσσιτος, ἐν τῷ εὐωχεῖσθαι φίλος.

578. κατὰ ζωστῆρα] πιθανὸν τὸν εἰλαπιναστὴν κατὰ γαστρὸς τυφθῆναι ὑπὸ Λάκωνος ἀνδρὸς, οἵ εἰσι γαστριμαργίας ἐλεύθεροι.

584. ξείνων φίλτατος] ἐπεὶ περὶ φίλου ὀνειδίζει, δεόντως φίλῳ ὡμοίωται πρὸς τὸ αἰσχῦναι αὐτόν.

588. *πρέποντας πολεμίῳ περιτέθεικε τοὺς λόγους ὁ ποιητὴς, ἐπεί τοί γε οὐκ ᾔδει δειλὸν τὸν Μενέλαον· βοὴν γὰρ ἀγαθὸν πανταχοῦ καλεῖ αὐτὸν, ὅ ἐστιν ἐν μάχῃ ἀνδρεῖον.

594. μαρμαρέην μὲν τοῖς ἀμυνομένοις, τοῖς δὲ καταπονουμένοις ἐρεμνήν.

597. φόβοιο] οὐ δειλὸς, εἴπερ εἴκει Διί. εἰ δὲ πρῶτος, τέτρωται γὰρ καὶ πρόσω τετραμμένος. ὅτι δὲ γενναῖος, συμφεύγουσι πάντες. εἰ δ' ἀσθενὴς, πῶς ὁ Ποσειδῶν "Τεῦκρον ἔπι πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων Πηνέλεών θ' ἥρωα" (Il. 13, 92).

599. ἐπιλίγδην] ἐπιξεστικῶς. καὶ πῶς ὀστέον ἄχρις; ἢ μᾶλλον κατ' ἐπιδρομήν.

600. Πουλυδάμαντος] οὐ προειπὼν τὸν τρώσαντα νῦν διεσάφησε, ποικίλλων καὶ χαριτοποιῶν τὸν λόγον τῇ ἐξαλλαγῇ.

15. προαπώλοντο] Bekk. προαπώλλοντο 24. ᾔδει] * οἶδε

605. σκόπει τὸ τῆς ἀπαγγελίας τάχος· προειπὼν γὰρ τὰ περὶ τοῦ Ἕκτορος, ὡς ἐπὶ τὸν Λήϊτον ὥρμησε, νῦν τὴν Ἑλληνικὴν ἀρετὴν διηγεῖται. καὶ φεύγοντας αὐτοὺς ἐγκωμιάζει, ὅτι καίπερ πεφοβημένοι ἀρτίως ὑπὸ Διὸς ἀγωνίζονται.

607. ἐβόησαν φοβηθέντες μὴ πάθῃ τι.

608. Ἰδομενῆος] κατὰ Ἰδομενέως βάλλει νεωστὶ τῷ δίφρῳ ἐπιβάντος· πεζὸς γὰρ ἐκ τοῦ ναυστάθμου ἦλθε, καὶ δὴ πεσὼν ἂν ὕψωσε τοὺς Τρῶας, εἰ μὴ ὁ Κοίρανος αὐτῷ παρέστησε τὸ τοῦ Μηριόνου ἅρμα, ὃς ἐκ Λύκτου Μηριόνῃ συνεστράτευσεν. λέγει δὲ ὅτι ἤδη ἀναβῆναι φθάσαντος Ἰδομενέως ἧκε τὸ βέλος, καὶ τὸν ἡνίοχον ἔτρωσε κατὰ τύχην. εἰ μὴ οὖν ἤνεγκε τοὺς ἵππους τροπῆς γεγονυίας, μεσαιπόλιος ὢν ὁ Ἰδομενεὺς καὶ μὴ δυνάμενος φεύγειν ἀπώλετο ἄν.

617. ὑπὸ γναθμοῖο] ὑπὸ τὴν σιαγόνα διαβὰν τὸ δόρυ ἀνέσχε διὰ τῆς ἑτέρας· καὶ οὐκ ἔστιν ἀδύνατον τοῦ μὲν Ἕκτορος πεζοῦ βαλόντος, τοῦ δὲ τῷ ἅρματι ἐπιβεβηκότος. εἰκότως δὲ πλαγία ἡ πληγὴ γίνεται περιστρέφοντος αὐτοῦ τοὺς ἵππους. ἔστι δὲ τὸ ἑξῆς, ἀτὰρ Μηριόναο ὀπάονά θ' ἡνίοχόν τε, τὸν βάλ' ὑπὸ γναθμοῖο· τὰ δὲ ἄλλα ἐν μέσῳ.

618. δόρυ πρυμνόν] ἡ ἐπιδορατὶς, ὡς πρῴρας οὔσης τοῦ στύρακος.

620. καὶ τά γε] τὸ ἑξῆς οὕτως, καὶ τά γε Μηριόνης ἐκ πεδίου ἔλαβε κύψας. ἀνελόμενος, φησὶ, χαμόθεν τὰ ἡνία ἐπιδίδωσι τῷ Ἰδομενεῖ, αὐτὸς πεζὸς ὤν· ὅτι γὰρ οὐκ ἔστιν ἐν τῷ ἅρματι δηλοῖ τὸ μάστιε νῦν. φιλικὸν δὲ τὸ ἦθος τοῦ Ἕλληνος· αὐτὸς μὲν γὰρ ὡς νέος καὶ ἀκμάζων ἔτι κινδυνεύειν βούλεται, τὸν δὲ μεσαιπόλιον ἀποπέμπει, τὴν ἀσφάλειαν αὐτῷ πορίζόμενος.

634. ἐμφαντικὸν τὸ αὐτοί περ, οἷον ἡμεῖς μόνοι οἱ καταλελειμμένοι ὑπὸ τῶν φευγόντων. ἢ τῇ ἰδίᾳ ἀρετῇ, οὐ τῇ ἀπὸ θεῶν συλλήψει. ζηλωτὰ δὲ ταῦτα· καὶ τὸν Δία γὰρ πολέμιον οἶδε, καὶ οὐ καταλείπει τὸν νεκρόν.

640. εἴη δ' ὅστις] ἐπεὶ τελευταῖον τοῦτο βοήθημα τῆς δυστυχίας, εἰς τοῦτο εἰκότως καταφεύγει.

645. ῥῦσαι ὑπ' ἠέρος] θαυμαστὸν τὸ ἦθος· οὐ γὰρ σωτηρίαν αἰτεῖ, ἀλλὰ τὸ μὴ ἐμποδίζεσθαι ἀπὸ ἔργων ἀγαθῶν. διὸ καίπερ ἐναντιούμενος ὑπακούει ὁ Ζεύς.

648. δάκρυ χέοντα] τουτέστι τῆς κατὰ παράλειψιν διηγήσεως·

35. τουτέστι] τοῦτό ἐστι

ἄνω γὰρ οὐδὲν εἰπὼν περὶ δακρύων τοῦτο ἐνέφηνε. περιπαθῆ δὲ λίαν εἰσάγει τὰ πράγματα, εἴγε Αἴας δακρύει· οὐ γὰρ ἐν ἄλλοις εὕρομεν αὐτὸν δεδακρυκότα.

652. ἔμφασιν ἔχει τῆς δυσπραγίας τὸ αἴκεν, ὡς οὐκ ἐλπίζοντος ἔτι ζῆν οὐδὲ τοῦτον.

657. ὥς τίς τε λέων] πολλαὶ αἱ εἰκόνες τοῦ ἥρωος, καὶ ἑκάστη κατὰ καιρὸν ἁρμόδιος. πρῶτον γὰρ αὐτὸν εἴκασε διὰ τὴν φιλοστοργίαν βοΐ, νῦν δὲ λέοντι ἀκούσιον ποιουμένῳ ἀναχώρησιν· καὶ ἑξῆς διὰ τὴν ὀξυδορκίαν ἀετῷ παρέβαλεν.

663. καιόμεναί τε δεταί] καὶ Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων φησὶ λέοντα μάλιστα τὸ πῦρ δεδοικέναι. δεταὶ δὲ ὀξυτόνως αἱ συνδεδεμέναι ἐκ ξύλων λαμπάδες.

666. ἤϊε πόλλ' ἀέκων] πρὸς τοῦτο μόνον ἡ παραβολή· τὰ δὲ ἐν μέσῳ πρὸς οὐδὲν ἐξείργασται περιτιθέμενον τῷ ἥρωϊ.

667. πρὸ φόβοιο] ἀντὶ τοῦ ὑπὸ φόβου, ὡς τὸ "ἀεθλεύων πρὸ ἄνακτος" (Il. 24, 734).

670. ἐνηείης] πολλαὶ μὲν αἱ τοῦ ἥρωος ἀρεταί· νῦν δὲ παρέλαβε τὴν μάλιστα δυσωπῆσαι δυναμένην. ὅτι δὲ πρᾶος ἦν δῆλον ἐξ ὧν Νέστορος ἐπιμελῶς ἀκούει, φιλοστόργως Εὐρύπυλον ἰᾶται, κλαίει πρὸς Ἀχιλλέα.

671. πᾶσιν] ἔνδειξις τῆς ἀρετῆς Πατρόκλου. ἔστι δὲ παιδευτικὸς ὁ λόγος, ὅτι οἱ χρηστοὶ τὴν γνώμην τῆς πάντων φροντίδος ἀξιοῦνται.

674. ἀξιοπίστως τὸ φασίν προσέθηκεν, ὡς πρὸ τοῦ ἐπιβαλέσθαι τῇ ποιήσει ἐξητακὼς ἀκριβῶς ἅπαντα. φησὶ δὲ καὶ Ἀριστοτέλης ὡς ἵστησι τοὺς νεοσσοὺς πρὸς τὸν ἥλιον, ἀναγκάζων βλέπειν· καὶ ὁ μὲν δυνηθεὶς ὁρᾶν τοῦ ἀετοῦ υἱός ἐστιν, ὁ δὲ μὴ ἐκβέβληται καὶ γέγονεν ἁλιαίετος.

676. πάντοθεν αὔξει τὴν ὀξυωπίαν· ὑψηλὸς ὢν γὰρ πέταται, τὸ δὲ κατασκοπούμενον λαγὼς, τῇ χροιᾷ γεῶδες ὡς μὴ ῥᾳδίως διακρίνεσθαι, καὶ τῷ μεγέθει βραχύ. βοηθεῖ δὲ καὶ ὁ θάμνος, ὑφ' οὗ κέκρυπται ὁ λαγώς.

681. ἴδοιτο] οἱ μὲν μετὰ τοῦ ῡ, διὰ τὸ πλῆθος, οἱ δὲ χωρὶς τοῦ ῡ, ὡς τὸ τάδε παιδία παίζει. λέγει δὲ ὅτι διεστρέφοντο οἱ ὀφθαλμοὶ, εἴ που θεάσαιντο Νέστορος υἱόν.

8. * βοΐ] μρὶ (i. e. μητρὶ) βασιλέων ἡσυχάζει Townl.
19. ὧν] ὧν διαφερομένων τῶν
27. * ἁλιαίετος] ἀναίετος

689. παρατήρει ποσάκις εἰπὼν περὶ τῆς ἀναιρέσεως Πατρόκλου οὐδαμοῦ προσκορὴς ἐφάνη.

698. ἐζήτηται πῶς οὐκ ἔστιν Αὐτομέδων μηνυτὴς τῆς τοῦ Πατρόκλου ἀναιρέσεως, ἀλλ' Ἀντίλοχος, καὶ διὰ τί γυμνὸς τρέχει. ῥητέον οὖν ὅτι Αὐτομέδοντα μὲν αἰσχρὸν ἦν μετὰ τῶν ἵππων ἔρχεσθαι πρὸς Ἀχιλλέα ἄπρακτον, τῶν ἄλλων ἀγωνιζομένων περὶ τοῦ σώματος· Ἀντίλοχος δὲ ταχύτερος ὢν τῶν ἄλλων προεκρίθη, καὶ γυμνὸς πρόεισι, μετὰ τῶν ὅπλων τὰς συμφορὰς ἐκπομπεύειν παραιτούμενος, ἢ διὰ τὸ μὴ βαρούμενον τοῖς ὅπλοις χρονίσαι ἐν τῇ ὁδῷ. πάντοθεν ἐπεσημήνατο τὸ πένθος, μάλιστα δὲ ἐκ τοῦ μηδὲ πυθέσθαι τὸν τρόπον τῆς τελευτῆς. γίνεται οὖν ἡ σιωπὴ παντὸς λόγου μείζων. ἔστι δὲ καὶ φίλος Πατρόκλῳ, καὶ πρὸς τῇ αὐτοῦ φιλίᾳ Νέστωρ αἴτιος ἐγεγόνει τοῦ θανάτου αὐτοῦ. ἄριστα δὲ ᾠκονόμησεν ὁ ποιητὴς τὴν ἄγνοιαν τοῦ Πατρόκλου θανάτου, ὡς καὶ ἐπὶ Ἀνδρομάχης· καὶ γὰρ καὶ αὕτη ἐκτὸς ὑπονοίας οὖσα τοῦ τεθνηκέναι τὸν Ἕκτορα ἐν χαλεπωτέρῳ γίνεται πένθει ἀκούσασα.

700. πόδες φέρον] τρόπον τινὰ τὸ πένθος ἀράμενον αὐτὸν ᾤχετο· φησὶ γοῦν "πόδες φέρον." ἐφ' ἅρματος δὲ οὐκ ἄπεισιν ὡς ταπεινῶν ἄγγελος· ἢ τὸ πένθος αὐτὸν τοῦτο συνιδεῖν οὐκ ἐᾷ.

705. ἐκ τοῦ πρὸς αὐτὸν εἰς τὸν περὶ αὐτοῦ.

711. οὐ γάρ πως ἂν] πολλάκις γὰρ ὑπὸ περιστάσεως πράξαντές τι ὕστερον συνορῶμεν τὸ ἀδύνατον αὐτοῦ.

712. ἡμεῖς δ' αὐτοί περ] γενναῖον πρὸς προτροπὴν τὸ ἀπὸ τῶν ἰδίων ἐνδείκνυσθαι καὶ μὴ περιμένειν τὴν ἑτέρων ἐπικουρίαν.

720. ὁμώνυμοι] πάντοθεν προτρέπει τὸν Λοκρόν. καὶ Ἀλέξανδρος, ἐν Πέρσαις τινὰ ἰδὼν Ἀλέξανδρον ἀνδριζόμενον, ἴσος, φησὶν, ὄφθητι τῆς ὁμωνυμίας.

722. ἐμφαντικῶς ἐμήνυσε τοὺς περιειληφότας ὥσπερ τὸν νεκρόν· καίτοι ἐνῆν καὶ ἄλλως εἰπεῖν, ἐρύοντο· ἀλλ' οὐκ ἦν οἰκεῖον τῆς προσηνείας Πατρόκλου τὸ ἕλκεσθαι. ἐγγὺς δὲ θέλουσι τῶν νεῶν κομίσαι, ἵνα κἂν καταπονῶνται, βοηθήσῃ Ἀχιλλεύς. διὰ δὲ τοῦ ἀγκάζοντο τὸ μοχθηρὸν ἐνέφηνεν.

10. πάντοθεν (ut p. 162, 28)] πανταχόθεν Townl.
15. αὕτη] αὐτὴ
20. ἐκ τοῦ] * ὅτι ἀπέστροφεν ἐκ τοῦ πρὸς αὐτὸν εἰς τὸν περὶ αὐτοῦ λόγον. Conf. schol. ad 16, 787.
24. ἑτέρων] ἑταίρων (ε suprascr.)
26. * Ἀλέξανδρον] om.

725. κύνεσσιν ἐοικότες] πρὸς τὸ θράσος τῶν Τρώων ἡ παραβολή· καὶ τὴν αἰτίαν δὲ τοῦ θάρσους παρίστησι τὸ βλημένῳ. ἀλλὰ καὶ τὸ ἑλίξεται συμπράττει· στρέφεται γὰρ τοῦτο μόνον τῶν ζῴων διωκόμενον, ὁ κάπρος.

727. ἕως μέν] ἕως τινός.

731. οἱ μὲν ἐγγὺς ξίφεσιν, οἱ δὲ πόρρω δόρασιν.

737. ἠΰτε πῦρ] ὃ κατὰ μεταφορὰν ἐξήγαγεν ἑτέρωθι, καυστειρὴν τὴν μάχην λέγων (Il. 4, 342. 12, 316), τοῦτο νῦν ἐπεξεργασάμενος εἰς παραβολὴν ἄγει. ηὔξησε δὲ αὐτὸ διὰ τοῦ ἀνέμου καὶ τοῦ αἰφνιδίου, ἵνα λανθάνον νέμηται.

742. ὥσθ' ἡμίονοι] βόες μὲν ἰσορρόπως ἕλκουσιν ἑκάτερος φέρων τὸ ἴδιον βάρος· ἡμίονοι δὲ διωθούμενοι τὸ βάρος ἀντιμεταβάλλουσιν ἀλλήλοις. τοιοῦτον ἔπασχον καὶ οἱ τὸν νεκρὸν κομίζοντες, εὐχερῆ τὴν δίοδον διὰ τὴν ἐπιφορὰν τῶν πολεμίων οὐκ ἔχοντες. κατὰ τὰς ἀποκλίσεις τοῦ φερομένου ἑκάτερος ἐβαρεῖτο· διὸ ἐπιτείνων τὸ ταλαίπωρον αὐτῶν σκολιὰν παρέλαβεν ὁδὸν, καὶ μακρὸν τὸ ἑλκόμενον ξύλον διὰ τῆς ὁδοῦ. τὸ δὲ ἀμφιβαλόντες, ἰσοβαρήσαντες τῇ δοκῷ τὴν προθυμίαν, ἢ συμπλέξαντες καὶ ἑνώσαντες τὴν ἀλλήλων δύναμιν τῇ δοκῷ.

747. πρών] προοχὴ ὄρους. ἰσχάνει δὲ τῆς εἰς θάλασσαν ἐκρύσεως. ἄκρως δὲ οὐκ ἐμψύχοις αὐτοὺς εἴκασεν, ἀλλ' ἀσαλεύτοις πρήοσιν, ἀντέχουσι ποταμοῖς. ἔστι δὲ ἡ εἰκὼν ὅλη πρὸς ὅλον. Αἴαντες γὰρ ἐρριζωμένῳ ὄρει εἰσὶ παραβεβλημένοι, ὕδατι δὲ οἱ Τρῶες. ὡς δὲ ὁ πρὼν κωλύει τὸ ἐπιφερόμενον ὕδωρ εἰς τὸ χωρίον ἐλθεῖν, τὸ δὲ περιεχόμενον εἰς τὸ ὑποκείμενον πεδίον ῥεῖ, οὕτως ἐπὶ τῷ σώματι Πατρόκλου ἑδραίως ἑστῶτες ἀπέτρεπον τοὺς Τρῶας ἐπὶ ἄλλο μέρος.

748. πεδίοιο διαπρύσιον τετυχηκώς] διόλου προήκων καὶ διατεταμένος τοῦ πεδίου ὁ πρών.

755. ὥστε ψαρῶν νέφος] ταπεινοῖ τοὺς Ἕλληνας τῇ παραβολῇ πρὸς σύγκρισιν τοῦ πολεμοῦντος Διός. τὴν αὐτὴν δὲ εἰκόνα καὶ ἐπὶ τῶν βαρβάρων ἔλαβεν, ὅτε αὐτοὺς ὁ Πάτροκλος ἐδίωκεν· "ἴρηκι ἐοικὼς ὠκέϊ, ὅστ' ἐφόβησε κολοιούς τε ψῆράς τε" (Il. 16, 583). ἀλλ' ἐκεῖνοι οὐκ ἐναντιουμένου θεοῦ ταῦτα πάσχουσιν, ἀλλὰ διὰ τὴν ἀρετὴν τοῦ διώκοντος· τούτοις δὲ ὁ Ζεὺς αἴτιος τῆς ταπεινῆς εἰκόνος.

11. * φέρων] om. 22. πρήοσιν] πρώωσιν

ὅρα δὲ πῶς καὶ ἐκεῖ κολοιοὺς συνέμιξε· συναγελαστικὸν γὰρ ὁ κολοιὸς καὶ φιλάλληλον, ὡς ἡ παροιμία· "καὶ γὰρ κολοιὸς παρὰ κολοιὸν ἱζάνει." εἰσὶ δέ πως καὶ τῶν ἄλλων ἀνοητότεροι, ὡς καὶ ὁ τῆς θήρας αὐτῶν μαρτυρεῖ τρόπος. ἐλαίου γὰρ πλήρη κρατῆρα τιθέασιν· οἱ δὲ κολοιοὶ ἐπιβάντες τῷ χείλει, καὶ ἀφορῶντες εἰς τὴν σκιὰν ἑαυτῶν, ἄλλους κολοιοὺς ὁρᾶν νομίζουσιν· εἶτα ἐπιπεσόντες τῷ ἐλαίῳ, ὡς δῆθεν πρὸς τοὺς ἑταίρους κατιόντες, ἁλίσκονται συγκολληθέντες τὰ πτερὰ τῷ ἐλαίῳ. ἵπτανται δὲ καὶ ἀγεληδόν· ὅτε δὲ ἴδωσιν ἱέρακα, συστραφέντες εἰς ἀλλήλους ὀξὺ βοῶσιν, ὅπερ Ὅμηρος οὖλον ἐκάλεσεν. ἐπὶ μὲν οὖν Τρώων ἔλαβε τοὺς κολοιοὺς διὰ τὸ ταραχῶδες καὶ ἀνόητον, ἐπὶ δὲ Ἑλλήνων διὰ τὸ φιλάλληλον. ἀεὶ γὰρ ἡ πτῆσις αὐτῶν ἀγεληδὸν γίνεται. τὴν ἀγέλην δὲ νέφος ὠνόμασεν οὐ διὰ τὸ πλῆθος μόνον, ἀλλὰ καὶ ὅτι ἐπισκιάζει τὸν ἀέρα τῇ πυκνότητι.

756. κεκλήγοντες] πρὸς τὸ σημαινόμενον ὑπήντησεν.

757. κίρκον] ὁ γὰρ ἀετὸς μεγάλα φονεύει, ἐπὶ δὲ τῶν εὐτελῶν καὶ ἀσθενῶν οὐδέποτε κάτεισιν.

760. τεύχεα καλὰ πέσον] πεφεισμένως οὐκ εἶπεν ὅτι οἱ Ἕλληνες ἀπέβαλον τὰ ὅπλα, ἵνα μὴ ῥιψάσπιδας εἴπῃ, ἀλλ' ὅτι ἔπεσον, ὡς οὐχ ἑκοντὶ ῥιψάντων, ἀλλ' ἐκ τύχης τοῦ παθήματος γενομένου. καὶ τὸ μὲν πρᾶγμα μεμήνυται, οὐδὲν δὲ αἰσχρὸν τῶν Ἑλλήνων κατεῖπεν.

761. πολέμου δ' οὐ γίνετ' ἐρωή] οὐκ ἔστιν ἐναντίον τὸ λέγειν καὶ φεύγειν αὐτοὺς καὶ μὴ γίνεσθαι ἐρωὴν τοῦ πολέμου· ἔφευγε μὲν γὰρ ὁ πολὺς καὶ χυδαῖος τῶν Ἑλλήνων ὄχλος, οὐχ ὑπερώουν δὲ οἱ Αἴαντες καὶ οἱ ὑπερμαχοῦντες τοῦ νεκροῦ. ἐρωὴ δὲ ἡ ἐπίσχεσις.

ΕΙΣ ΤΗΝ Σ.

1. δέμας πυρός] λείπει τὸ ὡς· ὡς πῦρ γὰρ ἐμάχοντο μετὰ πάσης ἐνεργείας· καὶ γὰρ τὴν μάχην καυστειρὰν λέγει καὶ ἔμπυρον. ποικίλλει δὲ πάλιν μετάγων ἡμᾶς ἐπὶ τὰς σκηνάς. τινὲς δέ φασιν,

2. * φιλάλληλον (cum Suida s. v. κολοιός)] φιλόφωνον.   παρὰ (*ποτὶ cum Suida) κολοιὸν ἱζάνει] παρὰ τὸ κολῳὸν εἴκασται

εἰ δέμας τὸ σῶμα, τὸ δὲ σῶμα εἶδος, εἶδος δὲ ὁ τρόπος, δέμας πυρὸς ὁ τρόπος τοῦ πυρός. λέγει δὲ ὅτι ὠλόθρευον ἀλλήλους ὡς πῦρ, ἤτοι ἐμπύρως ἐπολέμουν.

3. προπάροιθε] τοπικῶς ὡς τὸ "κὰδ δ' ἔβαλε προπάροιθε νεώς" (9, 482). ἀλλὰ καὶ χρονικῶς ὡς τὸ "οὔτις ἀνὴρ προπάροιθε μακάρτατος" (Od. 11, 482).

κατὰ πρύμναν καὶ πρῷραν ἀνατεταμένων, ὀρθοκεφάλων· κραῖρα γὰρ ἡ κεφαλή.

4. τὰ φρονέοντ'] οἱ περὶ τῶν φίλων ἀγωνιῶντες ἐν τοῖς κινδύνοις δυσέλπιδές εἰσιν. ἔστι δὲ τῶν ἐν ἀτυχίᾳ προληπτικὸς ὁ νοῦς.

6. ὤ μοι ἐγώ] περιπαθῶς ἄγαν ἑαυτὸν ἀπολοφύρεται ἐπὶ τῇ ὑπονοουμένῃ τοῦ φίλου συμφορᾷ. μεγαλοφυῶς δὲ ἀπὸ τῆς φυγῆς τῶν Ἀχαιῶν στοχάζεται πεπτωκέναι Πάτροκλον· οὐκ ἂν γὰρ αὐτοῦ ζῶντος ἔφυγον, ἧκεν ἂν αὐτὸς πρὸς Ἀχιλλέα.

7. νηυσὶν ἔπι] ἐπὶ τὰς ναῦς. ἀναστρεπτέον τὴν πρόθεσιν, ὁμοίως καὶ ἐπὶ τοῦ "νηυσὶν ἔπι προέηκα" (439).

ἀτυζόμενοι] βεβλαμμένοι, ἢ φεύγοντες· πεποίηται δὲ ἡ λέξις παρὰ τὸ ἄτη.

*τινὲς δὲ ἀντὶ τοῦ ἐκπληττόμενοι καὶ ὀδυρόμενοι.

9. διεπέφραδε καί μοι ἔειπε] ὅμοιόν ἐστι τῷ "ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν."

10. Ἄκτωρ Λοκρὸς μὲν ἦν τὸ γένος, ἀπὸ Ὀπόεντος πόλεως, γήμας δὲ ἐν Οἰνώνῃ πόλει Φθιώτιδι γεννᾷ Μενοίτιον τὸν τοῦ Πατρόκλου· ὅθεν ἀναγκαίως τὸν Πάτροκλον Μυρμιδόνα καλεῖ. διὸ καὶ ἄριστον, οὐ κρείττονα εἶπεν. ἐπὰν γὰρ πρὸς πολλοὺς ὁμογενεῖς συγκρίνωμεν, τῷ ὑπερθετικῷ χρώμεθα, οἷον πλουσιώτατος Ἀλεξανδρέων Πτολεμαῖος, εἰ δὲ πρὸς ἀλλογενεῖς, τῷ συγκριτικῷ. τὸ γὰρ συγκριτικὸν οὔπω τὴν τελείαν ἔχει λέξιν· ἀμέλει γέ τοι καὶ ἔτι ἐπιτείνεται· τὸ δὲ ὑπερθετικὸν τὸ τέλος εἴληχε. πιθανὸν δὲ τὸ μὴ ὀνομαστὶ περὶ Πατρόκλου προειρηκέναι τὴν Θέτιν· καὶ γὰρ ὁ τῶν χρησμῶν χαρακτὴρ τοιοῦτος, ἐχόμενος τοῦ ἀμφιβόλου.

12. ἦ μάλα δὴ τέθνηκε] ἀντὶ τοῦ λίαν κατείληφα ὅτι τέθνηκε· μάλα οἶδα καὶ πέπεισμαι.

4. νεώς] νεός
5. *οὔτις] οὗτος
16. ἔπι προέηκα] ἐπὶ προέηκεν
22. Ὀπόεντος] Ὀποῦντος Bekk.

13. σχέτλιος] ὁ ἑαυτῷ κακῶν αἴτιος, ὁ τλήμων. ἀναφαίνεται δὲ ἐνταῦθα ἡ γνώμη τοῦ Ἀχιλλέως, ὅτι κατὰ πρόνοιαν τοῦ φίλου ἀπέχεσθαι τοῦ τείχους συνεβούλευεν, οὐ βασκαίνων (Il. 16, 87).

14. Ἕκτορι] ἀπὸ μέρους τοῖς πᾶσι Τρωσίν.

17. δάκρυα θερμὰ χέων] ὥσπερ συναλγῶν ἐπὶ τῇ Πατρόκλου συμφορᾷ ὁ ποιητὴς ἐπιφωνεῖ ὅτι ἀλεγεινὴ ἡ ἀγγελία ἦν τῷ τὸν Πάτροκλον ἀγγεῖλαι τετελευτηκότα.

18. ὤ μοι] περιπαθῶς καὶ ἀξίως τῆς φιλίας ἀναφθέγγεται, οὐκ ἐπὶ τὸν τεθνεῶτα οὐδὲ ἐπὶ τὸν ἀκούοντα, ἀλλ' ἐφ' ἑαυτὸν ἀνενεγκὼν τὴν ἀτυχίαν· διὰ γὰρ τοῦ ὤ μοι οἰκειοῦται τὴν συμφοράν. τὸ δὲ Πηλέως ὡς τοιούτου πατρὸς ὧν μετριάζει ταῖς συμφοραῖς. τὸ δὲ λυγρῆς ἔννοιαν αὐτῷ τοῦ δεινοῦ δίδωσιν.

20. κεῖται Πάτροκλος] προδοὺς τὰ ἴχνη τῆς συμφορᾶς τῷ δακρύῳ καὶ τῇ προφωνήσει οὕτως ἐπὶ τὴν διήγησιν ἔρχεται· αἰφνίδιον γὰρ προσπεσόντα τὰ δεινὰ τοῖς ἀκούουσιν ἐξίστησιν. κεῖται δὲ, οἷον οὐκ ἀνήρπασται. διὰ δὲ τοῦ ἀμφὶ μάχονται εὐμενῆ τοῖς Ἀχαιοῖς ἀπεργάζεται. ἱκανῶς δὲ ἐτάχυνε τὸν κακάγγελον ἐν ὅλοις τέσσαρσι στίχοις· καὶ ἐν βραχεῖ πάντα ἐδήλωσε, τὸν ἀποθανόντα, τοὺς ὑπερμαχομένους, τὸν κτείναντα. οὐκ ἐζήλωσαν δὲ τοῦτο οἱ τραγικοὶ, ἀλλὰ τοῖς λυπουμένοις μακρὰς ἐπάγουσι τὰς διηγήσεις τῶν συμφορῶν.

21. ἀτὰρ τά γε τεύχε' ἔχει] δεδήλωκε μετὰ συντομίας τὸ γεγενημένον πρᾶγμα ἀναγκαίως, καὶ τὸ συμβὰν τῷ ἥρωϊ εὐσχημόνως ἀπήγγειλεν· οὐ γὰρ ἔφη, σκυλεύσας τὰ ὅπλα ἔχει, ἀλλὰ μόνον ἐσήμανεν.

23. κόνιν] τὴν σποδόν φησιν.

25. νεκταρέῳ] εὐώδει, ἢ εὐπρεπεῖ, ἢ θείῳ.

28. δμωαὶ δ'] φιλοπενθὴς γυνὴ βάρβαρος αἰχμάλωτος, καὶ διὰ τὸ πρᾶον τοῦ ἀποθανόντος καὶ τὴν τιμὴν τοῦ ζῶντος. εἰ δὲ αὗται θρηνοῦσι, πῶς οὐκ ἂν Ἀχιλλεύς; ἐκ περιουσίας δὲ τοῦτό φησι· μὴ μνησθέντος γοῦν οὐδεὶς ἐπεζήτησεν.

34. δείδιε γὰρ] ἐφοβεῖτο γὰρ, φησὶν, Ἀχιλλεὺς μὴ καὶ ἀποδειροτομήσῃ Ἕκτωρ τὸν Πάτροκλον· ὁ δὲ Ἀντίλοχος, φασὶ, πρὸς τὸ

10. τὸ Bekkerus] τοῦ
14. προφωνήσει Bekkerus] προσφωνήσει
17. ἐν ὅλοις] ἐν μόνοις vel ἐν οὐχ ὅλοις Bekk.
29. αὗται Bekk.] αὐταὶ

μὴ ἐπιχέειν τὴν κόνιν κατεῖχεν αὐτόν· ὡς φιλέταιρος δὲ τοῦτο ὑπονοεῖ Ἀχιλλεύς.

35. σμερδαλέον δ' ᾤμωξεν] θρηνητικὸν ἀνεφθέγξατο. προκατασκευὴ δὲ χρειώδης τῆς μεγαλοφωνίας Ἀχιλλέως· "τρὶς μὲν ἀπὸ τάφρου μεγάλ' ἴαχε δῖος Ἀχιλλεύς, τρὶς δὲ κυκήθησαν Τρῶες" (228). συνετῶς δὲ οἰμώξαντα μόνον αὐτὸν παρεισάγει· λόγον γὰρ οἰκεῖον εὑρέσθαι οὐκ ἐνῆν εὐθέως τηλικαύτῃ συμφορᾷ πεπληγότι.

44. Δεξαμένη] τινὲς ὀξυτόνως διὰ τὸ Δεξαμενός. ἀντιτάσσεται δὲ αὐτοῖς τὸ Δαναός Δανάη καὶ κολωνός κολώνη.

54. δυσαριστοτόκεια] ἐπὶ κακῷ τὸν ἄριστον τεκοῦσα, ἄριστον καὶ δύστηνον. καὶ Ὀλυμπιὰς ἐντεῦθεν περὶ Ἀλεξάνδρου φησὶ "κρείσσων γέγονεν ἢ μητρὶ συνέφερεν."

57. γουνῷ ἀλωῆς] τῷ γονίμῳ. τινὲς δὲ τὸ γεώλοφόν φασιν, ὃ καὶ τῶν καταιγίδων ἀπήλλακται καὶ ταῖς πραείαις αὔραις αὔξει μᾶλλον τὰ φυτά.

59. τὸν δ' οὐχ ὑποδέξομαι αὖτις] οὐκοῦν δεινότερα τῶν θνητῶν πέπονθεν ἡ Θέτις· κεκέρδηκε γὰρ ἐκ τῆς ἰδίας φύσεως τὸ πρὸ πολλοῦ λυπεῖσθαι καὶ θρηνεῖν, προεγνωκυῖα τὸν τοῦ παιδὸς θάνατον.

63. ἴδοιμι] ἀντὶ τοῦ συντύχοιμι. καὶ ἐν Ὀδυσσείᾳ (9, 229) "ὄφρ' αὐτόν τε ἴδοιμι," καὶ "ὄψομαι δώματα πατρός" (141).

64. ἀπό] οὐκ ἀναστρεπτέον τὴν ἀπό· τότε γὰρ οὐκ ἀναστρέφεται ὅτε δηλοῦσα τὴν ἄποθεν συντάσσεται γενικῇ, μὴ πιπτουσῶν μεταξὺ ἄλλων λέξεων· "ἀπὸ ἧς ἀλόχοιο" "ἀπὸ πατρίδος ἄνδρα κατακτάς." πρόσκειται μὴ πιπτουσῶν μεταξὺ ἄλλων λέξεων διὰ τὸ "πολλὸν γὰρ ἄπο πλυνοί εἰσι πόληος" (Od. 6, 640)· ἐνθάδε γὰρ ἀναστρέφεται.

68. ἐπισχερώ] ὀξύνεται, καὶ δηλοῖ τὸ ἐφεξῆς. τοῦτο δὲ σεσημείωται, καὶ τὸ ἰώ· οὐδὲν γὰρ εἰς ω λῆγον ἐπίρρημα ὀξύνεται, εἰ μὴ τὰ δύο ταῦτα.

71. ὀξὺ δὲ κωκύσασα] περιπαθὲς τὸ σχῆμα, ὅτι πάλιν κωκύει θεασαμένη τὴν κατάστασιν τοῦ παιδὸς καὶ ὑπ' αὐτῆς τῆς ὄψεως κινηθεῖσα.

75. πρίν γ' εὔχεο] κατὰ τὸ λεληθός· ἢ ἐπεί φησι "πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο" (Il. 1, 393).

31. * τῆς ὄψεως] om.

77. ἀεκήλια] ἃ ἄκοντες πάσχομεν, ὅ ἐστι δυσχερῆ. Ἀρίσταρχος δέ φησι τὰ ἀναγκάζοντα αὐτοὺς σιωπᾶν. ἢ παρὰ τὸ ἕκηλος, τὰ μὴ ἡσύχια μηδὲ εἰρηναῖα.

80. τί μοι τῶν ἦδος] ὑπερβολὴ φιλίας, ὅτι οὐδὲν αὐτὸν ἥδει ὡς ἡ ζωὴ τοῦ φίλου.

82. περιπαθῶς πάνυ τὸ ἀπώλεσα ὡς ἐπὶ κτήματος μεγάλου τοῦ φίλου. Πυθαγόρειοι δὲ ἐρωτώμενοι τί ἐστι φίλος, ἔλεγον ἄλλος ἐγώ.

84. τὰ μὲν Πηλῆϊ θεοὶ δόσαν] δεινὸν αὐτῷ δοκεῖ λάφυρον γενέσθαι πολεμίῳ κτῆμα πατρὸς καὶ δῶρα θεῶν. κινεῖται δὲ καὶ τῷ τοῦ Ἕκτορος φθόνῳ· φιλότιμος γάρ. ἅμα δὲ καὶ ἐν χρείᾳ ὅπλων ἐστί· διὸ πολυλογεῖ περὶ αὐτῶν.

86. αὖθι] ἀναφορικῶς, ἐκεῖ ἐν τῷ τόπῳ τῶν Νηρηΐδων. φιλομήτωρ δὲ ὁ εὐχόμενος μὴ γενέσθαι, διὰ τὸ μὴ λυπῆσαι τὴν μητέρα.

88. συμφορὰν ἑαυτὸν τῇ τεκούσῃ γεγενῆσθαι ὁμολογῶν, ἔλεον ἑαυτῷ θηρᾶται. ἠθικὸν δέ ἐστι καὶ βιωφελὲς τὸ πρᾶγμα· εἰώθαμεν γὰρ λέγειν τοῖς φίλοις ὡς αἴτιοί ἐσμεν τῶν κακῶν.

92. πρῶτος] ἔδει πρότερος· δύο γάρ εἰσιν. ἐμφαντικῶς δὲ ἄγαν πάντα μὲν ὁμοῦ συνήγαγε τὰ κεφάλαια, οὐ μετ' ἄλλους δὲ ἐπιθυμεῖν φησὶ τῆς Ἕκτορος ἀναιρέσεως, ἀλλ' ἐκείνου προτέρου.

τὴν μὲν ἀπό οὐκ ἀναστρεπτέον· ἔστι γὰρ ἀπολέσῃ. τὴν δὲ ὑπό οἱ μὲν συντάσσοντες τῷ δουρί ὀρθοτονοῦσιν, οἱ δὲ τῷ ἐμῷ ἀναστρέφουσιν.

93. ὑπὲρ ὧν εἵλκυσεν, ἵνα ἀνθελκυσθῇ.

95. ὠκύμορος δή μοι] περιπαθῶς ἀνεβόησεν ἀποτρέπουσα τῆς ἐξόδου αὐτόν. περιπαθὲς δὲ καὶ τὸ τὴν αὐτὴν εἶναι προθεσμίαν Ἀχιλλεῖ τῆς τε τοῦ ἐχθροῦ τιμωρίας καὶ τῆς αὐτοῦ μεταλλαγῆς.

98. διὰ τί τὸν Ἀχιλλέα οὕτως ἀνώμαλον πεποίηκεν, ὅς γε, ὅτε ἔζη, τεθνάναι ἐβούλετο, τεθνεὼς δὲ ζῆν δουλεύων μᾶλλον ἢ ἔχειν τὴν τοῦ Ἅιδου βασιλείαν (Od. 11, 488); ἢ οὔτε τὸ τεθνάναι δι' αὑτὸ αἱρεῖσθαι φαίνεται οὔτε τὸ ζῆν, ἀλλὰ μόνα τὰ καλὰ ἔργα, καὶ ὅπως πράττῃ ταῦτα. ἵνα μὲν γὰρ βοηθήσῃ τῷ Πατρόκλῳ, τεθναίην φησίν,

31. δουλεύων—οὔτε τὸ ζῆν] Haec B in marg. habet a m. sec.

ἵνα δὲ τῷ πατρὶ, ζῆν ἐθέλει. ὥστε καλῶν ἔργων προκειμένων ὁ φιλόκαλος καὶ ζῶν τεθνάναι αἱρήσεται, εἰ μέλλοι καλόν τι πρᾶξαι ἀποθανὼν, καὶ ἀναβιώσεσθαι πάλιν, εἰ μέλλοι τῶν κατ' ἀρετήν τι πρᾶξαι ἀναζήσας. ὅρα δὲ πῶς τῷ αὐτίκα χρησάμενος ᾧ καὶ ἡ Θέτις, τὸν δι' ἀρετὴν καταφρονοῦντα θανάτου ἐνέφηνε. καλὸν δὲ πρὸς φιλεταιρίαν παράδειγμα, εἴ γε τοῖς τοσούτοις μὴ πεισθεὶς δώροις δίχα τούτων καὶ θάνατον αἱρεῖται ὑπὲρ φίλου.

100. ἐμεῖο δὲ δῆσεν] ὅμοιον τῷ "ἦ μάλα πολλὸν ἀποιχομένου Ὀδυσῆος δευῃ" (Od. 1, 254). ἔστι δὲ ἀντὶ τοῦ ἐδέησεν. ἀρῆς δὲ τῆς βλάβης, ὡς τὸ "Μέντορ, ἄμυνον ἀρήν" (Od. 22, 208). ἐμοῦ γὰρ, φησὶν, ἐδέησε τῷ Πατρόκλῳ ὥστε με βοηθὸν τῆς βλάβης γενέσθαι. τινὲς δὲ Ἄρεως τοῦ πολέμου· καὶ ἔστιν ὁ λόγος τοιοῦτος, ἐμοῦ δὲ ἐδέησε τὸ ἀλεξητῆρα γενέσθαι τοῦ Ἄρεως, καθ' ὃν ἀπώλετο Πάτροκλος.

101. τὸ ἑξῆς, νῦν δ' ἐπεὶ οὐ νέομαί γε, εἶμ' ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω. τὰ δὲ ἄλλα διὰ μέσου.

104. ἐτώσιον ἄχθος ἀρούρης] τὴν ἀπραξίαν δηλοῖ τοῦ μεγέθους τοῦ ἥρωος, εἴ γε ἡ πάντα φέρουσα γῆ αὐτὸν οὐ φέρει ἀργοῦντα.

105. οἷος οὔτις] ἐπὶ τοῖς προφανέσι πλεονεκτήμασιν ἀνεμέσητον τὸ ἑαυτὸν ἐπαινεῖν. ἔθος γὰρ τοῖς παλαιοῖς ἑαυτοὺς ἐγκωμιάζειν. διὰ δὲ τοῦ ἐγκωμίου ἑαυτοῦ κατηγορεῖ, ὅτι γε τοῖς ταλαιπώροις οὐκ ἤμυνε τοιοῦτος ὤν.

108. πολύφρονά περ] ἀπολογία αὕτη Ἀχιλλέως, ὅτι καὶ περὶ τοὺς ἄγαν φρονίμους τὸ πάθος συμβαίνει. χαλεπῆναι δὲ τὸ εἰς χαλεπότητα ἀχθῆναι.

*τὸ δὲ ἐφέηκεν ἀντὶ τοῦ ἐν ἐφέσει ποιεῖ γενέσθαι τοῦ χαλεπῆναι καὶ τὸν πολύφρονα.

109. καταλειβομένοιο] τοῦ ἐν μελισσουργείοις καταστάζοντος. βούλεται δὲ διὰ τούτου τὸ πλῆθος ἐμφῆναι.

110. ἠΰτε καπνός] θυμός ἐστι ζέσις τοῦ περὶ καρδίαν αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως. τοῦτον δὲ τὸν ὅρον πρῶτος Ὅμηρος παρέδωκε· καπνὸν δὲ τὸ πῦρ φησὶν, ὡς τὸ "κάπνισάν τε κατὰ κλισίας" (Il. 2, 399)· ἄτοπον γὰρ καιομένῃ καὶ λαμπούσῃ φλογὶ καπνὸν εἰκά-

4. τῷ αὐτίκα] τῷ αὐτῷ ὀνόματι Bekk.

8–14. Huic scholio paullo aliter scripto Πορφυρίου nomen est praescriptum in codicibus Scorialensi et Harleiano.

10. *ἄμυνον] ἀμύνων

ζειν. ζέσις δὲ οὐκ ἂν χωρὶς πυρώσεως γίνοιτο. παρέπεται δὲ αὕτη τοῖς ὀργιζομένοις διὰ τὸ σπεύδειν ἀμύνασθαι τὸν ἀντίπαλον. *δῆλον δὲ ὅτι κατὰ ἀναθυμίασιν τὴν ἀπὸ τῆς ὀργῆς φερομένην ὁ θυμὸς ἀναφέρεται.

111. Ἀγαμέμνων] ἠρέμα παραπολογεῖται ὑπὲρ ἑαυτοῦ ὅτι ἄλλος αἴτιος τῆς ὀργῆς κατέστη.

112. ἀλλὰ τὰ μέν] ἤδη τινὰ μετάνοιαν πορίζεται τῇ ὀργῇ. ὅρα δὲ τὴν τοῦ θυμοῦ ὑπερβολήν· τὸ γὰρ ἀχνύμενοί περ τοιοῦτόν ἐστι, καίπερ ἠδικημένοι καὶ δικαίως ἂν ἐπ' αὐτοῖς ἐπὶ πλεῖον μηνίσαντες. οὐκοῦν δύο ὄντων τῶν παθῶν περὶ τὴν ψυχὴν Ἀχιλλέως, ὀργῆς καὶ λύπης, θάτερον κεκράτηκε. καὶ τὸ ἐπιφερόμενον τοιοῦτόν τι ὑποβάλλει, ὅτι ὑπὸ μείζονος ἀνάγκης κρατηθῆναι δεῖ τὴν ὀργήν· πάντων δὲ μεῖζον τὸ ἐπὶ Πατρόκλῳ πάθος· διὸ δεῖ τὴν μῆνιν ἀπορρίψαντα τιμωρήσασθαι τοὺς πολεμίους. θυμὸν δὲ τὸ θυμικὸν πάθος, τὴν ὀργήν.

115. κῆρα δ' ἐγώ] γενναία ἡ ὑπομονὴ τῆς εἱμαρμένης. ἐμφαντικὸν δὲ καὶ τὸ δέξομαι, οἷον προθύμως ὑποστήσομαι.

117. οὐδὲ γὰρ οὐδέ] περισσὴ ἡ μία ἀπόφασις. παρηγορία δὲ γέγονε τὸ Ἡράκλειον παράδειγμα Ἀχιλλεῖ καὶ τῇ μητρί· παραμυθία γὰρ τῶν ἐν συμφοραῖς ἡ περὶ κρείσσους ἀτυχία.

121. κείσομ' ἐπεί κε θάνω] ἡ μὲν Θέτις εἶργε διὰ τὸν θάνατον· ὁ δὲ δαιμονίως ἀντέθηκεν ὅτι τῶν τετελευτηκότων ἴδιον ἡ ἀργία καὶ τὸ ἄπρακτον καὶ τὸ κεῖσθαι. τίς οὖν χρεία καὶ ἐν τῷ ζῆν τὴν ἀπραξίαν τοῦ θανάτου μιμεῖσθαι;

122. καί τινα Τρωϊάδων] ἤδη ὑπ' ὄψιν λαμβάνει τὰ ἐπακολουθήσοντα τοῖς πολεμίοις δεινά, ὥσπερ ἐμπιμπλάμενος τῆς αὐτῶν τιμωρίας διὰ τῆς ἐλπίδος.

126. μηδέ μ' ἔρυκε] τὸν πλείω λόγον αὐτῆς περιτέμνει ὡς ἐμποδίζοντα τῇ σπουδῇ. ὅλος δὲ τὴν ἐκδίκησιν τοῦ φίλου σκοπῶν οὐδὲ ἐπιλογίζεται τὸ κατὰ τὰ ὅπλα, ὅτι ἄπορος αὐτῷ νῦν ἡ ἔξοδος. ὅρα δὲ πῶς δηρὸν χρόνον λέγει τὰς δώδεκα τῆς τῶν θεῶν ἐκδημίας ἡμέρας καὶ τὰς τρεῖς τὰς ἐν ταῖς παρατάξεσι· τὸν γὰρ ὀλίγον χρόνον πολὺν ἡγεῖται διὰ τὸ ἐνειθίσθαι τῷ πολέμῳ καὶ μὴ θέλειν ἀργεῖν. καὶ ὁ ποιητής φησι "δηρὸν δὲ μάχης ἐπέπαυτο" (Il. 19,

32. *ὀλίγον] ὅλον

46), οὐ πρὸς τὰς τρεῖς ἀφορῶν ἡμέρας, ἀλλὰ πρὸς τὸ ποικίλον τῶν συμφορῶν.

128. ναὶ δή] γενναῖον καὶ τῆς Θέτιδος τὸ ἦθος, ἐν δευτέρῳ τιθεμένης τὴν ἰδίαν συμφορὰν τῆς τοῦ παιδὸς εὐκλείας, καὶ ἐπαινούσης τὸν ὑπὲρ τῶν φίλων κίνδυνον, ὃς λυπεῖν ἔμελλε τὴν μητέρα.

131. χάλκεα] κεχαλκευμένα· καὶ τὸν χρυσοχόον γὰρ χαλκέα καλεῖ· "ἦλθε δὲ χαλκεύς, ὅπλ' ἐν χερσὶν ἔχων, χαλκήϊα, οἷσί τε χρυσὸν εἰργάζετο" (Od. 3, 432).

136. *νεῦμαι] πορεύσομαι.

137. τεύχεα καλὰ φέρουσα] ἐπαγγέλλεται αὐτῷ κομίσαι ὅπλα, εἰδυῖα Ἥφαιστον τὸν ἄριστον δημιουργὸν χάριτας αὐτῇ εἰδότα πολλάς.

141. ὀψόμεναί τε γέρονθ'] νόμον τίθεται συνεῖναι γονεῦσι, καὶ ὑπὲρ τῆς ἀπουσίας, ὅτε χωρισθεῖεν, ἀπολογεῖσθαι· τοῦτο γὰρ δηλοῖ τὸ "καί οἱ πάντ' ἀγορεύσατε."

143. αἴ κ' ἐθέλῃσι] πρὸς μὲν τὸν Ἀχιλλέα διωρίσατο ὅτι πάντως οἴσοι ὅπλα παρ' Ἡφαίστου· πρὸς δὲ τὰς ἀδελφὰς ἀμφιβόλως· φορτικὸν γὰρ ἦν πρὸς ὁμοτίμους θρασύτερον διαλέγεσθαι, ὥσπερ ἐπιτάττειν μέλλουσαν τῷ Ἡφαίστῳ.

145. αἱ δ'] αἱ διαιρέσεις θαυμασταὶ καὶ τὸν νοῦν ἀναρτῶσαι τῶν ἀκροατῶν· αἱ μὲν τάδε ἔπραττον, ἡ δὲ Θέτις ἀπήει πρὸς τὸν Ἥφαιστον, οἱ δὲ Ἀχαιοὶ ἐν τοιούτοις ἦσαν.

148. αὐτὰρ Ἀχαιοί] δαιμονίως ἀναλαμβάνει ἀφ' ὧν ἀπέλιπεν· καὶ τὸ διάκενον τῆς πορείας Θέτιδος ποικίλλει ταῖς περὶ Πάτροκλον πράξεσι.

151. τοῖς μὲν ἀκροαταῖς ἐλπὶς ἦν ἐξειλκύσθαι Πάτροκλον· ὁ δὲ πάλιν ἐπιταράττει τὴν διάνοιαν, ἵνα ἐπὶ τὸ ἀκμαιότατον προαγαγὼν τὴν ἀγωνίαν πιθανὴν ποιήσηται τὴν Ἀχιλλέως ἔξοδον.

158. ἔμπεδον] ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τῷ πέδῳ ἑδραίων οἰκοδομῶν ἢ τῶν φυτῶν.

160. μέγα ἰάχων] καὶ τοῦτο πρὸς τὴν τῶν πολεμίων κατάπληξιν.

161. παντάπασιν εἴκασται λέοντι μὲν ὁ Ἕκτωρ, ὁ δὲ νεκρὸς σώματι ζῴου, ἄψυχον ἀψύχῳ, οἱ δὲ Αἴαντες ποιμέσιν. ἐπείγεται δὲ καὶ τῇ πείνῃ ὁ λέων.

24. * Πάτροκλον] πατρόκλου

162. δίεσθαι] ὁμοίως τῷ τίθεσθαι· ἐνεστῶτος γάρ ἐστιν ἀπὸ τοῦ διημι.

168. διὰ τί, φασὶ, κρύβδα Διός; καὶ μήν φησι "μίσησεν δ' ἄρα μιν δηΐων κυσὶ κύρμα γενέσθαι" (Il. 17, 272). ἀλλ' ἐπεὶ ὑπέσχετο Ἕκτορι ἀριστεύειν ἕως ἑσπέρας, διὰ τοῦτο αὐτὸν λάθρα βούλεται προαναστῆσαι, ἵνα τὸν τοῦ Διὸς ματαιώσῃ λόγον.

177. πῆξαι ἀνὰ σκολόπεσσι] πάντα ὑπὲρ παροξυσμοῦ τίθησιν· οἶδε γὰρ αὐτὸν ὑπὸ Θέτιδος ἐντεταλμένον μὴ ἐξιέναι.

179. Πάτροκλον Τρῳῇσι κυσί] δαιμονίως διέτεμε τὴν αἰκίαν, καὶ τὸ μὲν ἐν τῇ διηγήσει ἐξήνεγκεν, ὅτι ἀνασταυρῶσαι τὴν κεφαλὴν βούλεται Ἕκτωρ, τὸ δὲ ἐν τῇ προτροπῇ κατάκειται, ὅτι ἀνόσιον ὑπὸ κυνῶν αἰκισθέντα περιιδεῖν Πάτροκλον.

180. σοὶ λώβη] ὡς φιλεταίρῳ καὶ πρακτικῷ.

182. ἀναγκαίως γνῶναι βούλεται εἰ τῆς κελευσάσης μένειν ἀξιοπιστότερός ἐστιν ὁ προστάσσων ἐξιέναι.

185. οὐδ' οἶδε Κρονίδης] δεόντως καὶ τοῦτο, ἵνα ἐπισπεύσῃ τὴν ἔξοδον πρὶν μαθεῖν τὸν Δία.

188. πῶς τ' ἄρ' ἴω] θαυμαστοὶ οἱ διάλογοι, πάσας ἐν συντόμῳ τὰς ἐρωτήσεις περιέχοντες· ἔδει γὰρ καὶ τὴν ἀπορίαν τῶν ὅπλων καὶ τὰ παρὰ τῆς μητρὸς ἀντιθεῖναι.

191. παροισέμεν] Ἀρίσταρχος ἀναστρέφει τὴν πρόθεσιν πρὸς τὸ μὴ ἀμφιβάλλεσθαι τὸν λόγον, καίτοι τῶν συναλειφομένων μὴ ἀναστρεφομένων, ὡς καὶ Ἀπολλώνιός φησιν. ἐπείσθη δὲ αὐτῷ καὶ ἡ παράδοσις.

192. διὰ τί τοῖς Πατρόκλου ὅπλοις οὐχ ὁπλίζεται; φασὶν Αὐτομέδοντα φορεῖν τὰ Πατρόκλου, ὅπως δόξῃ Πάτροκλος εἶναι. ἢ ὅτι μείζονα μὲν ἴσως ἁρμοσθεῖεν ἥσσονι, οὐ μέντοι τὸ ἀνάπαλιν, ὥστε οὐκ ἠδύνατο αὐτοῖς ὁπλισθῆναι Ἀχιλλεύς. ἢ τῷ μεγέθει μὲν ἴσα ἦν, ἀσθενῆ δέ. διὸ οὐχ ἥρμοττεν Ἀχιλλεῖ προπηδῶντι εἰς πάντα κίνδυνον.

194. ἔλπομ' ἐνὶ Τρώεσσιν ὁμιλεῖ] λείπει τὸ ὅτι· ἔλπομαι ὅτι καὶ αὐτὸς ἐν πρώτοις ὁμιλεῖ.

207. ὡς δ' ὅτε καπνός] καπνὸν ἐκ παρεπομένου τὸ πῦρ φασὶν, ὡς τὸ "κάπνισάν τε κατὰ κλισίας" (Il. 2, 399). οἱ δὲ διὰ τὸ πλεῖον ὑψοῦσθαι τὸν καπνὸν τοῦ πυρὸς καὶ μάλιστα ἡμέρας ὁρᾶσθαι. καλῶς

15. * ἐξιέναι] om.

δὲ ἀπὸ πολέμου ἡ εἰκὼν, καὶ νησιωτῶν οἷς ἄπορος ἡ φυγὴ, καὶ ὅτι πόρρω ἀπῳκισμένοι μεγάλων καὶ συνεχῶν πυρσῶν δέονται, καὶ ὅτι οὐδενὸς ἐπιπροσθοῦντος διὰ τοῦ πελάγους φανήσονται. ἀλλ' οὐδὲ νὺξ βαθεῖα ὑπόκειται, ἵνα μὴ ὑπὸ τοῦ σκότους κρύπτοιτο ὁ καπνός.

211. πυρσοί] ἔθος ἦν τοῖς ἀρχαίοις τῇ μὲν ἡμέρᾳ τοὺς πολεμίους διὰ καπνοῦ μηνύειν, τῇ δὲ νυκτὶ φλόγα ἀνάπτειν καὶ συμμαχίαν ἐπικαλουμένοις.

* ἐπήτριμοι] οἱ ἐκ φρυγανώδους ὕλης ἀναπτόμενοι ἀλλεπάλληλοι.

216. μητρὸς γὰρ] ἐτρέπετο τῷ λογισμῷ ἐπὶ τὴν τῆς μητρὸς ἐντολὴν καὶ ᾐδεῖτο αὐτήν.

217. ἐπεὶ ἄπιστον ἦν ἐν τοσούτῳ θορύβῳ τὸ μὴ μόνον ἀκουσθῆναι, ἀλλὰ καὶ ταραχὴν ἐμποιῆσαι, εἰκότως τὴν Ἀθηνᾶν συνεπιφθεγγομένην παρέλαβεν.

219. σάλπιγξ] αὐτὸς μὲν οἶδε σάλπιγγα, οὐκ εἰσάγει δὲ ἥρωας αὐτῇ χρωμένους. τῆς δὲ σάλπιγγος τῆς Ἑλληνικῆς τὸ μὲν μέγεθος ἐπίμηκες, ἡ δὲ φωνὴ παχεῖα καὶ μεγίστη, ἥτις ἐν πολέμῳ τὸ πλῆθος καλοῦσα κινεῖ.

220. ἢ πλεονάζει ἡ ὑπό, ἢ τὸ ἑξῆς, ὡς δ' ὅτ' ἀριζήλη φωνὴ δηΐων ὕπο θυμοραϊστέων. περιπλομένων δὲ περικαθεζομένων.

εὐλόγως τῷ χαλκεοφώνῳ Ἀχιλλεῖ τὴν χαλκεόφωνον σάλπιγγα εἴκασε· καὶ τῷ εἰς μάχην δὲ βοῶντι ἡ εἰκὼν ἀπὸ πολεμικοῦ ὀργάνου εἴληπται.

230. ἔνθα δέ] ἄδηλον εἰ καθ' ἑκάστην κραυγὴν ὤλλυντο οἱ δώδεκα, ἢ μόνην τὴν ἐσχάτην. τοσοῦτος δὲ ἦν ὁ τάραχος τῆς φάλαγγος ὡς περιπταίοντας τοῖς ἅρμασιν ἀπόλλυσθαι.

236. φέρτρῳ] φορείῳ. ἐπ' ἀσπίδος δὲ ἤ τινος τοιούτου φέρουσιν.

240. ἐπεὶ ὑπέσχετο Ζεύς (Il. 17, 455) "δύῃ τ' ἠέλιος." Ἀπόλλων δὲ ὁ ἥλιος, ὃς ἄκων δύνει· ἠπίστατο γὰρ πρὸς ἀριστείαν Τρωσὶ δοθεῖσαν παρὰ Διὸς τὴν ἡμέραν. μυθικὸν δέ ἐστι τὸ ὅλον.

245. ἄκρως τὴν πτοίαν αὐτῶν δηλοῖ· πλῆθος γάρ ἐστι συντρέχον εἰς ἐκκλησίαν οὐ στρατηγοῦ καλοῦντος, ἀλλὰ τοῦ φόβου· καὶ ἑστῶτες ἐκκλησιάζουσιν, οὐδὲ τὸν ἡμερινὸν πόνον ὀλίγῳ παραμυθησάμενοι· καὶ ἰδιώτης δημηγορεῖ, τὸν στρατηγὸν παρωσάμενος.

248. ὁ δέ ἀντὶ τοῦ γάρ.

250. σύστασίν τινα ἐποιήσατο τοῦ μέλλοντος ῥηθήσεσθαι λόγου·

35. * ἐποιήσατο] ἐποιήσαντο

συνετοῦ γὰρ ἀνδρὸς τὸ τὰ μέλλοντα διορᾶν καὶ προνουστικώτερον τῶν ἄλλων φαίνεσθαι, ὅπερ καὶ ἐν λοιδορίας μέρει παραλαμβάνει· "οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω."

πρόσσω τὸ παρελθὸν, ἐπειδὴ τὸ ἔμπροσθεν βλέπεται· καλεῖται δὲ πρόνοια. ὀπίσσω δὲ τὸ μέλλον, ὅτι ἀφανές ἐστι· καλεῖται δὲ ἀγχίνοια.

251. Ἕκτορι δ' ἦεν ἑταῖρος] διὸ παρρησιάζεται ἀεὶ πρὸς τὸ συμφέρον αὐτῷ, ὥστε δεῖ τοὺς ἑταίρους οὐ τὰ προσφιλῆ, ἀλλὰ τὰ συμφέροντα λέγειν.

ἔννοιαν ἔχει τινὰ γενναίαν τὸ λεγόμενον, ὅτι οὐκ ἐν ταῖς ἡλικίαις, ἀλλὰ παρὰ τὰς φύσεις ἡ σύνεσις τοῖς ἀνθρώποις ἐπιγίνεται.

254. εἰς ἐπίτασιν εὐθὺς αὐτοὺς ἄγει διὰ τῆς εἰσβολῆς, λέγων ὅτι πολλῆς ἐπισκέψεως τὰ παρόντα δεῖται· ἔδει γὰρ πρῶτον τὸν σύμβουλον δεῖξαι ὅτι περὶ μεγάλων ἡ σκέψις. καὶ τὸ φίλοι προσαγωγὸν, ἵνα ἐμφήνῃ τὴν κηδεμονίαν.

255. ἄστυδε νῦν ἰέναι] κεφάλαια συμβουλευτικὰ τὸ καλόν, τὸ δυνατόν, τὸ ἀναγκαῖον, τὸ συμφέρον· ὧν τὸ καλὸν πρὸς δόξαν ὁρᾷ, ὃ καὶ παρῆκε διὰ τὸν καιρόν (τὸ γὰρ ἀναχωρεῖν πλῆρες ἀδοξίας), τοῖς δὲ ἄλλοις ἀγωνίζεται. καὶ γὰρ δυνατόν φησι τὸ ἀναχωρεῖν νῦν, τὸ δὲ εἰς τὴν ἐπιοῦσαν ἡμέραν ἀδύνατον καταληφθέντας ὑπὸ Ἀχιλλέως· καὶ δυνατὸν τὸ ἀπὸ τείχους πολεμεῖν, εἰ δὲ καταλάβοι Ἀχιλλεὺς, οὔ. τὸ δὲ συμφέρον, ὅτι νῦν ἀβλαβεῖς ἀπελεύσονται. ἀναγκαῖον δὲ ἡ φυλακὴ τῆς Ἰλίου, νυκτὸς μὲν ἀγρυπνούντων, ἡμέρας δὲ ἀπὸ τείχους πολεμούντων. μεγίστην δὲ ἔμφασιν ἔχει τὸ νῦν· ὃ γὰρ ὑποβάλλει, τοιοῦτόν ἐστι· νῦν πορεύεσθε· μὴ περιμένετε τὴν μεθ' ἡμέραν φυγήν· τότε γὰρ πάντως φεύξεσθε βιασθέντες. ἄμεινον οὖν προνοῆσαι τῆς ἀσφαλείας καὶ προλαβεῖν τὸν κίνδυνον.

257. οὗτος ἀνήρ] οὗτος ὃν ἔχομεν ἐν νῷ. ἠθικὸν δὲ τὸ μὴ ὀνομάσαι Ἀχιλλέα· ἐν γὰρ τῷ οὗτος μείζονα τὴν ἔμφασιν εἰργάσατο.

258. ἀναγκαία ἡ ἀπαγγελία· ῥᾴδιοι, φησὶν, ἡμῖν ἦσαν εἰς πόλεμον, τουτέστιν εὖ ἡμῖν ἥττηντο.

261. δείδοικα ποδώκεα Πηλείωνα] ἀναγκαῖον καὶ τοῦτο, ἵνα δείξῃ ὅτι οὐ κατ' ἴδιον ὄκνον ἀναχωρεῖν κελεύει, ἀλλὰ διὰ τὸ ἐμπείρως ἔχειν Ἀχιλλέως.

262. ὑπέρβιος] τοῦτο ἰδίᾳ ἀναγνωστέον. ἤ ἐστιν, ὑπεράγων τῇ βίᾳ.

22. τὸ δὲ] δὲ om. 25. περιμένετε Bekkerus] περιμένητε

264. δατέονται] μερίζονται τὸν πόλεμον νικῶντες καὶ νικώμενοι, ἢ ἄλλος ἄλλο τι πράσσοντες μερίζονται τὰ τοῦ πολέμου ἔργα, ὁ μὲν τοξεύων, ὁ δὲ ἀκοντίζων, ὁ δὲ σκυλεύων.

266. ἀλλ' ἴομεν] ἄκρως προτρέπει ἁρπάσαι τὸν καιρὸν καὶ τοῦ κινδύνου τὴν ἀσφάλειαν προνοῆσαι, οὐχ ὑπόνοιαν, ἀλλ' ἀλήθειαν βεβαίαν προβαλλόμενος.

269. καιρίως κεῖται τὸ σὺν τεύχεσιν· ἄοπλος γὰρ ἦν, φησὶ, πρὸς τῷ καὶ νύκτα ἐπιγεγονέναι· διόπερ νῦν ἡμῶν ἀπέσχετο.

270. γνώσεται αὐτὸν πάσχων παρ' αὐτοῦ κακῶς. διὰ τί δὲ μὴ ἰδίᾳ ταῦτα πρὸς Ἕκτορά φησιν; ὅτι τὸ πλῆθος ἐξαίφνης τὸ πολὺ καὶ ταραχῶδες εἰς ἐκκλησίαν συνέρρευσεν.

271. οὐκ ἐν βλασφημίᾳ ταῦτα καὶ εἰρωνείᾳ φησὶν, ἀλλ' ἐκφοβεῖ, ἵνα δέξωνται τὴν συμβουλήν.

272. εἴθε δέ μοι τοῦτο οὐ μόνον μὴ ὀφθείη, ἀλλὰ μηδὲ ἀκουσθείη.

274. νύκτα μέν] διὰ νυκτὸς κρατερῶς βουλευσόμεθα· τὴν δὲ πόλιν οἱ πύργοι σώσουσιν.

σθένος τὴν δύναμιν, ὅ ἐστι τὴν στρατιάν. οὕτω καὶ οἱ συγγραφεῖς δύναμιν καλοῦσι τὸ στράτευμα. φησὶν οὖν ὡς νυκτὸς ἐν ἐκκλησίᾳ βουλευσόμενοι συνάξουσι τὸν στρατόν. ἢ ἰσχυροποιήσομεν ἑαυτοὺς ἠθροισμένοι, ὅ ἐστιν, ἐν τῷ ἠθροῖσθαι φυλαχθησόμεθα· τὸ γὰρ εἰν ἀγορῇ νῦν οὐκ ἐν ἐκκλησίᾳ σημαίνει, ἀλλ' ἐν τῷ ἀθροίσματι.

275. πύλαι] νῦν αἱ δίοδοι· ἀλλαχοῦ δὲ ἐπὶ τῶν πυλῶν· "ἐν χερσὶ πύλας ἔχετε" (Il. 21, 531)· "ἔρρηξε δὲ πύλας καὶ μακρὸν ὀχῆα" (Il. 13, 124).

277. τὸ πρῶϊ καὶ ἕως ἕκτης ὥρας δηλοῖ· διὸ προσέθηκε τὸ ὑπηοῖοι, ὡς καὶ Φιλήμων φησὶν "μεμίσθωνταί με δείλης πρωΐας" ἀντὶ τοῦ ἀρχομένης δείλης.

278. στησόμεθ' ἀμπύργους] ἀναγκαίως τῷ προδεδιδαγμένῳ κινδύνῳ ἐκ τοῦ μένειν ἀντέθηκε τὴν ἐκ τῆς ἀναχωρήσεως ἀσφάλειαν, καὶ ὅτι ὁ πολέμιος μᾶλλον κινδυνεύσει ἢ ἡμεῖς.

281. πλανῶν, παρὰ τὴν ἄλην, ὡς τὸ "ἐμὸν μένος ἀλυσκάζει" (Od. 9, 457). ὑποφαίνει δὲ ἡ λέξις τὸν μετὰ ἀναστροφῆς ἐλαύνοντα τοὺς ἵππους καὶ διαπειρώμενον εἰσελάσαι εἰς τὴν πόλιν.

15. βουλευσόμεθα] Sic B, non βουλευσώμεθα, ut Bekk.

31. ἀλυσκάζει] Vitiose pro ἠλασκάζει.

283. οἷον τεθνήξεται πρότερον ἢ πέρσει, ὡς τὸ "οὐ λύσω πρίν μιν καὶ γῆρας ἔπεισιν" (Il. 1, 29).

284. ὑπόδρα ἰδών] τὸ βλέμμα δηλοῖ ὅτι δυσαρεστεῖ πρὸς τοὺς λόγους.

285. σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα] τυραννικὴ ἡ ἀνταπόκρισις· οὐ γὰρ ὅτι μὴ σύμφορα εἰσηγήσατο, ἀνατρέπει, ἀλλ' ὅτι οὐχ ἡδέα.

286. ὁ μὲν τῆς ἀσφαλείας φροντίζων σεμνοῖς ὀνόμασιν ἐχρήσατο· ὁ δὲ μετατίθησι τὰ ὀνόματα, δυσωπῶν τοὺς ἀκούοντας, ἀλήμεναι λέγων τὸ ἀναχωρῆσαι καὶ "ἐελμένοι ἐνδόθι πύργων."

288. μέροπες] οἱ μερισθεῖσαν καὶ διαρθρωθεῖσαν τὴν ὄπα ἔχοντες. οἱ δὲ τὴν κτῆσιν μερισθέντες.

290. ἐξαπόλωλε δόμων κειμήλια καλά] ὁ τοῦ Ἕκτορος λόγος μετὰ τοῦ καλοῦ καὶ τὸ συμφέρον ἔχει, τουτέστι, συμφέροντος μέρος ἐστὶ καὶ τὰ περὶ τῶν χρημάτων, ἃ πολυχρονίῳ πολέμῳ ἐξαναλῶσθαι λέγει. δείκνυσιν ὅτι μείζων ἡ βλάβη πολιορκουμένων ἢ τῇ συμβολῇ κρίσιν διδόντων.

293. ὅτε πέρ μοι ἔδωκε Κρόνου παῖς] στρατηγικῶς μὲν αὐτοὺς ὑπέμνησε τῆς εὐνοίας τῶν θεῶν, βαρβαρικῶς δὲ καὶ ἀλαζονικῶς τὸ πᾶν εἰς ἑαυτὸν ἀναφέρει.

296. εἰ μέχρι τοῦ ἐπιπείσεται προήγαγε τὸν λόγον, ἔννοιαν ἐδίδου ὡς μὴ πειθομένων ἑκοντὶ Πουλυδάμαντι τῶν Τρώων· ὁ δὲ τυραννικῶς τὴν κρίσιν οὐ τῷ πλήθει κατέλιπεν, ἀλλ' ἐπὶ τὴν ἑαυτοῦ ἐξουσίαν περιέσπασεν ὡς διὰ φόβον Ἕκτορος οὐ πεισομένων αὐτῶν.

298. ὁ πλούσιος δότω τοῖς ἄλλοις, ὅπως αὐτοὺς συμμάχους ἔχοι καὶ φύλακας τῶν ἰδίων. ἐμφαίνει δὲ ὡς ὁ Πολυδάμας πλούσιος ὢν δειλιᾷ προκινδυνεύειν. φησὶ γοῦν, ὅστις τῶν Τρώων λυπεῖ τὸ κοινὸν αὐτὸς ἔχων πλείστην οὐσίαν, ἐκείνην δημευέσθω· καὶ ἔστι τοῦτο προτρεπτικὸν τοῦ πλήθους. ὑπονοεῖ δὲ τοὺς πλουσίους ὀκνεῖν ἐκστρατεύεσθαι δειλιῶντας κινδυνεύειν.

305. εἰ ἐτεόν] καλὸν τὸ διστάζειν καὶ τέως ἔτι μὴ κυρῶσαι ὅτι ἀνέστη. παρὰ ναῦφι δὲ, ἀπὸ τῶν νεῶν.

306. ἄλγιον] ἐπίπονον, ἀδύνατον. εἰς δὲ τὸ ἐθέλῃσι λείπει τὸ μάχεσθαι.

308. πρὸς τὸ δοκοῦν εἶναι ἀναντίρρητον, ὅτι ἀμείνων Ἀχιλλεύς,

ἢ οὐ ἀντέθηκε τὴν ἐν πολέμοις ἀδηλίαν, ὡς τὸ "ἐπιμὶξ δέ τε μαίνεται Ἄρης" (Od. 11, 537). ταῦτα δὲ λεγόμενα πρὸς νέους καταφρονεῖν διδάσκουσιν, ὡς μὴ ἐχόντων τῶν κρεισσόνων κατὰ τῶν ἐλαττόνων ἐλπίδα. προτρεπτικῶς δέ φησιν ἑαυτὸν ἐπιδώσειν τῷ κινδύνῳ. ἅμα δὲ θαρρεῖ τοῖς ὅπλοις καὶ τῷ ἄοπλον εἶναι Ἀχιλλέα.

309. * Πορφυρίου. πρὸς τοὺς ἀδυναμίαν Ὁμήρου κατηγοροῦντας ἐκ τοῦ πολλάκις τὰς αὐτὰς ῥήσεις ποιεῖν ἢ λέγοντας τούς τε ἐκπέμποντας καὶ τοὺς πεμπομένους ἀγγέλους καὶ κήρυκας, ἢ διηγουμένους πράξεις ἢ λόγους ῥηθέντας πρότερον, ἄξιον σημειοῦσθαι ὅτι ποικίλλων αὐτὸς ἑαυτὸν ἄλλως καὶ ἄλλως ἑρμηνεύει διὰ δύναμιν. οἷον εἰπὼν τὸ "ξυνὸς Ἐνυάλιος" καὶ ἐξηγησάμενος πῶς κοινός ("καί τε κτανέοντα κατέκτα"), ἄλλως τοῦτο λέγων φησὶν "ἤ τ' ἔβλητ' ἤ τ' ἔβαλ' ἄλλον" (Il. 11, 410), καὶ πάλιν ἄλλως "ἤ κε φέρησι μέγα κράτος ἤ κε φεροίμην" (308) "ἕλοιμί κεν ἤ κεν ἁλοίην" (Il. 22, 253), καὶ πάλιν "νίκη δ' ἐπαμείβεται ἄνδρας" (Il. 6, 339). πάλιν τὸ τειχίσαι πόλιν καὶ κύκλῳ περιβαλεῖν τὸ τεῖχος ἢ ὅλως τὰ κυκλοτερῶς συνέχοντά τι ἑρμηνεύων λέγει "ἀμφὶ δὲ τεῖχος ἔλασσε πόλει" (Od. 6, 9) καὶ "περὶ δ' ἕρκος ἔλασσε" (564) καὶ "ἤλασε τάφρον ἐπ' αὐτῷ" (Il. 9, 349). εἶτ' ἄλλως ἑρμηνεύων φησὶ "τεῖχος ἐς ἀμφίχυτον" (Il. 20, 145) τὸ πέριξ κεχυμένον. καὶ ἐπ' οἴκου κύκλῳ περιέχοντος "περὶ δὲ κλισίη θέε πάντη" (Od. 24, 208), ὡς τὸ "περὶ δὲ χρύσεος θέε πόρκης" (Il. 6, 320). καὶ ἄλλως "ἐν δὲ μετώπῳ λευκὸν σῆμ' ἐτέτυκτο περίτροχον ἠΰτε μήνη" (Il. 23, 454). ὅρα δὲ ἄλλων ὀνομάτων ἀφθονίαν ἐν ἑνὶ καὶ ταὐτῷ μέρει. "ἄνδρα" φησὶ "βαλὼν," καὶ ἐπάγει "τὸν δὲ σκότος ὄσσε κάλυψεν" (Il. 6, 711). εἶτ' "Ἄξυλον δ' ἄρ' ἔπεφνε," καὶ ἐπιφέρει "ἀλλ' ἄμφω θυμὸν ἀπηῦρα" (ib. 12. 17), ἔπειτ' ἄλλως "Δρῆσόν τ' Εὐρύαλος καὶ Ὀφέλτιον ἐξενάριξεν" (ib. 20), εἶτα "καὶ μὲν τῶν ὑπέλυσε μένος" (ib. 27). αὖθις "Ἀστύαλον δ' ἄρ' ἔπεφνεν" (ib. 29), ἔπειτα "Ἀντίλοχος δ' Ἄβληρον ἐνήρατο" (ib. 32)· μεθ' ἃ ἐπιφέρει "Φύλακον δ' ἕλε Λήϊτος ἥρως" (ib. 35), εἶτα ἀνάπαλιν "Ἄδρηστον δ' ἄρ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος ζωὸν ἕλε" (ib. 37), ἔπειτα

1. ἢ οὐ] δημοκοπικῶς Bekkerus.
7. * Πορφυρίου] om.
13. ἔβαλ'] ἔβαλλ'
25. ταὐτῷ Bekkerus] ταῦτα
31. Ἄβληρον] αὐληρὸν

ἐξ ὑπαρχῆς "τὸν δὲ κρείων Ἀγαμέμνων οὖτα κατὰ λαπάρην" (ib. 63). ἔπειτα ὁ Νέστωρ φησὶν "ἀλλ' ἄνδρας κτείνωμεν" (ib. 70).

311. ἐκ γάρ σφεων] ἡ ἐλπὶς τοῦ δημοβορῆσαι οὐκ ἐᾷ αὐτοὺς προνοῆσαι τὸ μέλλον, καὶ ἡ τοῦ Ἕκτορος ὑπόσχεσις ἐπαγγειλαμένου ὑποστήσεσθαι Ἀχιλλέα. πρός τε τὴν ὅλην ποίησιν πιθανὴν τὴν οἰκονομίαν ὁ ποιητὴς διέθετο. εἰ γὰρ ἔφυγον εἰς τὴν πόλιν, ταὐτὰ τοῖς ἐν ἀρχῇ ἐγένετο, τειχήρεις τε οἱ Τρῶες καὶ πολιορκία· καὶ οὐδ' ἂν ὁ Ἕκτωρ ἀπώλετο, κωλυόμενος ὑπὸ τῶν δημογερόντων προελθεῖν· καὶ κατέστη ἂν ἐξαγώνιον τὸ λοιπὸν μέρος τῆς Ἰλιάδος.

δείκνυσιν ὅτι τῆς ἑαυτοῦ γνώμης αὐτοκράτωρ ἐστὶν οὐδείς.

316. ἀδινοῦ] λεπτοῦ καὶ ἀσθενοῦς, ὡς διὰ τὸ μὴ δύνασθαι μεῖζον λέγειν· τοιοῦτον γὰρ τὸ φθέγμα τοῦ λυπουμένου. οἱ δὲ δαψιλοῦς, παρὰ τὸ ἄδην.

317. χεῖρας] τὰς ἑαυτοῦ χεῖρας ἐπιθεὶς τοῖς στήθεσσι τοῦ ἑταίρου, ἢ τοῖς ἑαυτοῦ στήθεσσιν ἐπιθέμενος τὰς χεῖρας τοῦ ἑταίρου.

318. ἀκολούθως τῷ Ἀχιλλέως ἀξιώματι τὴν εἰκόνα παρέλαβεν, οὐκ ἄλλῳ τινὶ ζῴῳ, ἀλλὰ λέοντι παραβαλών, καὶ τὴν λύπην τῇ λύπῃ ὁμοιώσας· οὐδὲν γὰρ ἂν ἐμφαντικώτερον φανείη πρὸς τὸ δεῖξαι τὴν Πατρόκλου φιλίαν τῆς πρὸς τὰ τέκνα τῶν γεγεννηκότων διαθέσεως. ὅλον δὲ πρὸς ὅλον παραβέβληται· τό τε γὰρ λυπούμενον ἅμα καὶ ὀργιζόμενον διὰ τῆς παραβολῆς ἔδειξε. καὶ ἑκατέρων ἡ λύπη παραπλησία, ἀπολειφθέντων τῆς βοηθείας, καὶ ὁ ζητῶν τὸν ἐλαφηβόλον τῷ παρὰ Ἕκτορος δίκην λαβεῖν ἐπειγομένῳ.

322. δριμύς] ἡ μεταφορὰ ἀπὸ τῶν γευομένων μετείληπται.

324. περιπαθὲς τὸ προοίμιον· μάλιστα γὰρ οἱ ἐν ἀξίᾳ μὴ πληροῦντες τὰς ὑποσχέσεις ἄχθονται.

326. περίκλυτον ἀπάξειν ἀντὶ τοῦ ἔνδοξον γενόμενον ἐκ τῆς νίκης. περιπαθὲς δὲ καὶ τοῦτο, ὅτι φησὶν τοῦ πατρὸς ἀπέσπασα Πάτροκλον, οὐκ ἂν ἐκπέμψαντος αὐτὸν εἰ μὴ διὰ τὰς ἐμὰς ὑποσχέσεις.

327. Ἴλιον ἐκπέρσαντα] ἀνατυπωσάμενος ἑαυτῷ πλείονα ἡδέα ὁ Ἀχιλλεύς, πορθούμενον Ἴλιον καὶ ἑαυτὸν σὺν τῷ φίλῳ ἀπονοστοῦντα καὶ ἀποδιδόντα Μενοιτίῳ τὸν Πάτροκλον, οὐκ ἐπὶ τῷ θανάτῳ μόνον ἀποδύρεται, ἀλλ' ἐπὶ πᾶσι λυπεῖται τοῖς ἀπὸ τῆς ἐλπίδος προσδοκηθεῖσιν. δῆλον δὲ ὡς οὐδὲν αὐτῷ ἐν Φθίᾳ περὶ

τῆς εἱμαρμένης ἡ Θέτις εἶπεν· οὐκ ἂν γὰρ ταῦτα ὑπισχνεῖτο, ἀλλ' οὐδ' αὐτὸς ἐξῆλθεν.

329. * ἐρεῦσαι] φοινῖξαι, ἐκ τοῦ ἐρεύθω τὸ βάπτω, ἐξ οὗ καὶ ἐρυθρός καὶ Ἐρυθραῖον πέλαγος. ἐκλήθη δὲ Ἐρυθραῖον ἀπὸ Ἐρυθροῦ τινὸς βασιλέως· ἀποθανόντος γὰρ αὐτοῦ ἔρριψαν αὐτὸν ἐν τῇ θαλάσσῃ, ἐπιγράψαντες τῷ αὐτοῦ τάφῳ οὕτως "ἐνθάδε τύμβος ἁλὸς παμμεδέοντος Ἐρυθροῦ."

331. ἱππηλάτα] ἱππικός. ἄκρως δὲ ἀντιτίθησι τῷ Μενοιτίῳ τὸν ἑαυτοῦ πατέρα, ὅτι οὐ μόνος αὐτὸς τὰ ὅμοια πείσεται τῷ φίλῳ, ἀλλὰ καὶ οἱ γονεῖς αὐτοῦ ὅμοια Μενοιτίῳ καρτερήσουσιν.

333. Πάτροκλε] περιπαθὲς καὶ ἠθικὸν τὸ πρὸς τοὺς τεθνεῶτας ὡς ζῶντας διαλέγεσθαι· καὶ ἔστι τοῦτο ἔμψυχον εἶδος τῶν λόγων.

334. οὔ σε πρὶν κτεριῶ] πῶς, φησὶν, ἄταφον ἐάσω τὸ σῶμα, τῆς τοῦ Ἕκτορος ἀναιρέσεως ἀδήλου οὔσης; ῥητέον δὲ ὅτι παρὰ τῆς μητρὸς ἐδιδάχθη ὅτι ἐγγὺς αὐτῷ φόνος ἐστί. πῶς δὲ τὰ ἑαυτοῦ ὅπλα Ἕκτορός φησιν; ἢ τοίνυν τὸ Ἕκτορος πρὸς τὸ κεφαλὴν μόνον ἐκληπτέον· ἢ ὅτι καὶ αὐτὰ τοῦ ἀφελομένου κτῆμα γέγονεν.

335. μεγαθύμου] αὔξει τὸν θάνατον τοῦ φίλου καὶ τὴν ἐπικουρίαν ἑαυτοῦ.

336. ἀποδειροτομήσω] κυρίως ἡ τῶν ἀλόγων, παρόσον ἐκεῖθεν ἐκδέρονται· καταχρηστικῶς δὲ νῦν.

341. καμόμεσθα] ἐκ παρεπομένου· οἱ γὰρ κτώμενοι κακοπαθοῦσιν.

342. πιείρας] εὐγείους, ὡς τὸ "ἐπεὶ μάλα πῖαρ ὑπ' οὖδας" (Od. 9, 135). φιλοστόργως δὲ τὸν Πάτροκλον συνεργὸν ὑποφαίνει τῶν κατορθωμάτων, καὶ ἀπὸ τῶν ἑαυτῶν οἰκτίζεται εἰς τὰ κατ' αὐτόν.

346. λοετροχόον] εἰς ὃν τὰ λοετρὰ ἐγχέονται. εἰς ταπεινῶν δὲ πραγμάτων ἀπαγγελίαν ἐμπεσὼν ἐκάλυψεν αὐτὰ τῇ συνθέσει τῶν ἐπιθέτων. τὸ δὲ τὰ μικρὰ καὶ ἄδοξα μεγαλοπρεπῶς ἐξενεγκεῖν καὶ σεμνῶς ἀπαγγεῖλαι θαυμασίας καὶ μεγίστης ἐστὶ δυνάμεως.

349. ἤνοπι] λεπτῷ καὶ καθαρῷ, ἐν ᾧ ἔστι καὶ ἐνοπτρίσασθαι· ἔστι δὲ ὡς τὸ "φαεινὴν ἀμφὶ σελήνην" (Il. 8, 555).

6. οὕτως Vill.] οὗτος 34. ὡς τὸ addidit Bekkerus.

351. συλληπτικῶς καὶ τὴν Εὐφόρβου ὠτειλήν φησι. καλῶς δὲ ὠτειλὰς εἶπε· πλείονες γὰρ ἦσαν, καὶ ὅτι Ἕκτωρ αὐτὸν οὐτάσας ἀναιρεῖ.

ἐννεώροιο] νέου. ξηραντικῷ δὲ ἐλαίῳ χρῆται, ὃ φυλάσσει τοὺς νεκρούς, ὡς τὸ κέδρινον.

352. ἑανῷ] οὐ λαμπρῷ· ἐπάγει γὰρ "καθύπερθε δὲ φάρεϊ λευκῷ." ἔστιν οὖν λεπτῷ, ὡς "ἑανοῦ κασσιτέροιο" (613) τοῦ εἰς λεπτὸν ἐλαθέντος. οἱ δὲ ἑανῷ τῷ ἐνδυτικῷ. οἱ δὲ ἐξ ἀντιφράσεως τῷ ποικίλῳ.

356. Ζεὺς δ' Ἥρην] Ζηνοδώρῳ τῷ συγγράψαντι περὶ τῆς Ὁμήρου συνηθείας τὰ δέκα βιβλία συγγέγραπται καὶ περὶ τούτου τοῦ τόπου· ἐν ᾧ συγγράμματι πειρᾶται ἀποδεικνύναι διεσκευασμένον τοῦτον τὸν τόπον, ἐπῶν ιγ΄. πρῶτον γάρ φησι τὰς εἰσαγομένας τῶν θεῶν ὁμιλίας οὐκ ἐκτὸς τῆς ὑποθέσεως παραλαμβάνεσθαι, ἀλλ' ἢ ὑπὲρ διδαχῆς τινὸς τῶν εἰς τὴν Ἰλιάδα συντελούντων ἢ καὶ ὑπὲρ ἐπιδείξεως ἱστορίας παλαιᾶς, οἷον τὴν Διώνην πρὸς Ἀφροδίτην λέγουσαν "τέτλαθι τέκνον ἐμόν· πολλοὶ γὰρ δὴ τλῆμεν· τλῆ μὲν Ἄρης" (Il. 5, 382)· ἱστορίαν γὰρ παλαιὰν ἐκτίθεται. τὴν δὲ Ἥρας πρὸς Δία ἐπικερτόμησιν· "Ζεῦ πάτερ, ἦ ῥά τί μοι κεχολώσεαι ὅττι κεν εἴπω; ἦ μάλα δή τινα Κύπρις" (ib. 421)· διδάσκει γὰρ ὅτι ὑπὸ Ἀφροδίτης ἠπατήθη Ἑλένη. καὶ τὰς ἄλλας δὲ ὁμιλίας τῶν θεῶν οὐκ εἰκῇ φησὶ παραλαμβάνεσθαι. ταύτην δὲ οὔτε ἱστορίαν φησὶ λέγειν, οὔτε τοῖς ὑποκειμένοις πράγμασι πλέον τι προστιθέναι. ἔπειτα μέλλοντα τὸν Ὅμηρον διατίθεσθαι τὰ περὶ Ἡφαίστου πρὸς Θέτιν, οὐκ ἂν πρὸ αὐτῆς ἄλλην διάλεξιν θεῶν παραλαβεῖν, ποικίλλειν ἀεὶ εἰωθότα τὴν ποίησιν, καὶ ἀπὸ μὲν τῶν ἀνθρωπίνων ἐπὶ τὰ θεῖα, ἀπὸ δὲ τῶν θείων ἐπὶ τὰ ἀνθρώπινα μεταβάλλειν. εἶτα ἀνόητον τὸ λέγειν "ἔπρηξας καὶ ἔπειτα," ὡς ἐκ πείσματος παρηκολουθηκότος τοῦ γενομένου· οὐδὲ γὰρ ῥητῶς δεδήλωκεν ὁ ποιητὴς ὅτι ταῦτα ὕστερον ἔμαθεν ὁ Ζεύς, ὡς ἐν τῇ Α (522) "ἀλλὰ σὺ μὲν αὖτις

10. Huic scholio Πορφυρίου nomen temere praescripserunt Villoisonus et Bekkerus.

Ζηνοδώρῳ] *Ζηνοδότῳ, sed infra recte Ζηνοδώρου.

18. Ἥρας] Ἀθηνᾶς Valcken. Dissert. p. 140.

19. Ζεῦ] ζεὺς

21. ὑπὸ Bekkerus] ἀπὸ

23. ὑποκειμένοις Bekkerus] ἀποκειμένοις. προκειμένοις Valck.

24. περὶ Vill.] παρὰ

25. παραλαβεῖν Bekkerus] λαβεῖν

30. Α] ἄλφαι (sic)

ἀπόστιχε" καὶ (ib. 536) "οὐδέ μιν Ἥρη ἠγνοίησεν." εἶτά φησιν ὅτι ἄλογον τῇ μὲν Ἥρᾳ χαλεπαίνειν αὐτὸν ἐπὶ τῇ τῆς Ἴριδος ἀποστολῇ, τῇ δὲ Ἀθηνᾷ μηδὲ κατὰ βραχὺ, τῇ καὶ συμπραξάσῃ Ἀχιλλεῖ καὶ τὸ πῦρ δειξάσῃ πρὸς κατάπληξιν τῶν πολεμίων, ὁπότε ἔμπροσθεν (Π. 8, 406) τῇ μὲν Ἥρᾳ συγγινώσκειν φησὶ τὸν Δία, τῇ δὲ Ἀθηνᾷ χαλεπαίνειν πλέον. καὶ ὅτι πολλὴ ἡ ἀλογία φαίνεται, εἰ παρὰ καιρὸν ἡλίου δύναντος ὑπὸ Ἥρας (241) οὐδὲν περὶ τούτου ἐγκαλεῖ ὁ Ζεὺς, παρεγχειρουμένης τῆς τοῦ κόσμου τάξεως. πῶς τε οὐκ ἐναντίον φάσκειν περὶ Διὸς (Π. 17, 268) "μίσησε δ' ἄρα μιν δηΐων κυσὶ κύρμα γενέσθαι," νῦν δὲ ἐπὶ τῇ σωτηρίᾳ αὐτοῦ ἀγανακτεῖν; οὐδὲν γὰρ ἄλλο πέπρακται ἐκ τῆς Ἀχιλλέως ἀναστάσεως ἢ τὸ μηδὲν παθεῖν. πῶς τε τὴν ἀπὸ Ἴδης μετάβασιν τοῦ Διὸς οὐ δεδήλωκεν; ἀλλὰ τοῦτο μὲν συγχωρητέον κατὰ τὸ σιωπώμενον γεγενῆσθαι· τὰ δὲ ἄλλα σαθρά ἐστι καὶ ὕποπτα. ἥ γε μὴν ἀπολογία τῆς Ἥρας καὶ ἀνοήτως ἔχει· δέον γὰρ προβαλέσθαι ὅτι κακὸν οὐδὲν εἰργάσατο τοὺς Τρῶας σώσασα Πάτροκλον, ὅπερ καὶ τῷ Διὶ ἐκεχάριστο, ἡ δέ φησιν ὅτι "οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥέξαι." οὐδὲν γὰρ ἄλλο πράττει νῦν ἢ συκοφαντεῖ ἑαυτήν. ταῦτα ὡς ἐν κεφαλαίοις ὑπὸ Ζηνοδώρου συγγέγραπται. ἀφαιρουμένων δὲ τῶν ιγ' στίχων τὸ λοιπὸν ἁρμονίαν ἔχει.

357. περισσὸς ὁ καί· τὸ δὲ ἔπειτα ἀντὶ τοῦ παραυτίκα νῦν. ἠθικῶς δὲ διαλέγεται ὡς ἐπιμεινάσης αὐτῆς τῇ ἐξ ἀρχῆς βουλῇ. ἐμψύχως δὲ τὴν ὑπερβολὴν ἔδειξε τῆς φιλίας.

362. καὶ μὲν δή πού τις] ὀργισθεὶς αὐτῷ ὃ πρόθηται ποιήσειν ποιεῖ.

364. οὔτε ἀρνεῖται τὸ γεγονὸς, οὔτε ὡς δικαίως ἔπραξε παρρησιάζεται· θεραπεύουσα δὲ τὸν Δία ἠθικῶς φησὶν ὅτι δίκαιον ἦν ἐκτελεσθῆναι τὰ τῆς ἐπιθυμίας αὐτῆς, οὔσης καὶ γυναικὸς καὶ ἀδελφῆς.

367. οὐκ ὄφελον] ἀντὶ τοῦ οὐκ ἔμελλον. ἐπερωτηματικὸς δέ ἐστιν ὁ λόγος.

368. ἀγόρευον] κυρίως τὸ ἐν πλήθει λέγειν ἀγορεύειν, καὶ τὸ ἀλλήλους ἐπὶ πλήθους. ταῦτα δὲ ἐπὶ δύο ἔταξε καταχρηστικῶς.

3. μηδὲ Bekkerus] μὴ
5. συγγινώσκειν] δεῖν addit Valcken. Dissert. p. 141.
7. εἰ Bekk.] ἡ
19. κεφαλαίοις] κεφαλαίῳ Vill.

370. ἄφθιτον] ἀκατάλυτον. ἀστερόεντα δὲ τὸν λαμπρὸν, οὐχὶ τὸν ἀστερώδη.

372. τὸν δ' εὗρ' ἱδρώοντα] πρὸ πολλοῦ ταῦτα ᾠκονόμηται ἐπὶ τῆς Α ῥαψῳδίας, καὶ δημιουργὸς οὗτος ὁ θεὸς εἰσῆκται, καὶ τοὺς θαλάμους τοῖς θεοῖς κατασκευάζει καὶ τὸ σκῆπτρον τῷ Διὶ, ἵν' ἐπὶ τῆς μείζονος χρείας μὴ παράδοξος ἡ ταχυτὴς φανῇ. ἑλισσόμενον δὲ ἀντὶ τοῦ εἰλούμενον· καὶ ὅτι ἡ πυρώδης οὐσία εἰλεῖται.

373. σπεύδοντα] οὐκ ἐπὶ τοῦ κακοπαθεῖν νῦν κεῖται τὸ σπεύδειν. ἐργάζεται δὲ οὐ δεόμενος τῶν ἀναγκαίων, ἀλλὰ μὴ ῥᾳθυμεῖν διδάσκει ὁ ποιητὴς, ὅπου καὶ θεοὶ ἐργάζονται. τὰ δὲ ἔμψυχα ἔργα πίστιν τῆς ἀσπιδοποιίας ἔχει. δῆλος δέ ἐστιν εἰδὼς μηχανικήν.

375. ἡ ὑπό πρὸς τὸ ἔθηκε. τινὲς δὲ ὑπόκυκλα ὑφ' ἓν, ὡς ὑποπόδια, κακῶς.

376. * νῦν τὸν ναὸν λέγει. ἀγὼν δὲ σημαίνει ε', τὸν τόπον, ὡς τὸ "λείηναν δὲ χορὸν, καλὸν δ' εὔρυναν ἀγῶνα" (Od. 8, 260)· τὸ ἄθροισμα "ἦλθε μετ' ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη" (Il. 20, 33)· τὸ πλῆθος, ὡς τὸ "λῦτο δ' ἀγών" (Il. 24, 1)· τὸ ἆθλον, ἀγῶνος ἆθλα· τὸν ναὸν, ὡς ἐνταῦθα καὶ "αἵ τέ μοι εὐχόμεναι θεῖον δύσονται ἀγῶνα" (Il. 7, 298).

377. διὰ τῶν τοιούτων προσθηκῶν γίνεται πιστὸς ὁ λόγος· ὁμολογεῖ γὰρ αὐτὸς ὁ ποιητὴς ὅτι θαυμαστά εἰσι καὶ ἐκπλήττοντα.

378. τόσσον] ἀντὶ τοῦ ὅλον· οἱ δὲ, ἐπὶ τοσοῦτον ἔσχον τὸ τέλος ὥστε τῶν ὤτων προσδεῖσθαι. τινὲς δὲ τόσσον τὸ λοιπόν.

379. ἤρτυε] ἡτοίμαζε. κόπτε δὲ ἀντὶ τοῦ ἤλαυνε. δεσμοὺς δὲ τὰς λαβὰς, ἢ τοὺς ἥλους οἷς ἐστήρικται ἡ λαβὴ, ὥστε καταπεῖραι τὰ ὦτα. μείζων δὲ ἡ χάρις τοῦ καταλιπόντος ἡμιτελὲς τὸ ἔργον.

* ἥλους, καθὸ συμβάλλουσι καὶ συνδεσμοῦσι τὰ ὦτα τοῦ τρίποδος.

382. ἴδε προμολοῦσα Χάρις] προϋπαντᾷ τῇ εὐεργετησάσῃ ἡ τοῦ Ἡφαίστου χάρις, ὅτι δεῖ τοὺς εὐεργέτας ἑτοίμως ἀμείβεσθαι. διὰ δὲ τὸ χαρίεντα εἶναι τὰ δημιουργήματα Χάριν αὐτῷ καὶ Ἀφροδίτην συνοικίζουσιν. ἢ ὡς πλουσίῳ συνοικεῖ· τούτοις γὰρ ἕπεται τὸ χαρίζεσθαι. τὸ δὲ καλή, ὅτι οὐδὲν χάριτος ἥδυτερον τῷ διδόντι καὶ τῷ λαμβάνοντι.

383. ὤπυιε] παρὰ τὴν ὄπα, ὅθεν καὶ ὄαροι· ἢ διὰ τὰς πρὸ τῶν

25. * ὥστε καταπεῖραι (cum Eustathio p. 1148, 40)] κατάπειρα γὰρ

γάμων γινομένας ὁμιλίας. ἢ παρὰ τὸ ὀπάζειν ἣν πεποίηται ἐκ μνηστείας.

385. ἡ χρηστὴ προσηγορία τὸ ἦθος ἐνδείκνυται τῆς Ἡφαίστου χάριτος. ἄγαν δὲ ὁ στίχος συντετρόχασται τῇ προθυμίᾳ τῆς ἐρωτήσεως.

386. οὔτι] ἀντὶ τοῦ οὐδαμῶς. ἐν ἤθει δὲ, ὥς φαμεν τί σοὶ πρὸς ἡμᾶς; οὐ γὰρ πυκνῶς εἴωθας ἡμῖν ἥκειν.

387. προτέρω] ἀντὶ τοῦ ἐς τὸ ἔμπροσθεν.

392. ὧδε] οὕτως ὡς ἔχεις σχήματος· τοῦτο γὰρ ἂν σπουδαῖον φαίνοιτο, ὡς Ἀχιλλεὺς "αὐτῇ σὺν φόρμιγγι" (Il. 9, 194). οὐδέποτε δὲ τὸ ὧδε τοπικῶς εὕρηται παρὰ τῷ ποιητῇ. σύντομος δὲ ὁ λόγος καὶ πρέπων Χάριτι σπευδούσῃ πρὸς ἀπόδοσιν.

394. οὐκ ἐμέλλησεν ὁ Ἥφαιστος· οὐδὲ γὰρ προελθὼν καὶ θεασάμενος τὴν Θέτιν ἤρξατο τῶν λόγων, ἀλλ' ἐντὸς ὢν ἀναβοᾷ· διό φησιν ἑξῆς "ἦ καὶ ἀπ' ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέστη." ἄκρως δὲ παιδεύει ὁ λόγος τῶν χαρίτων μὴ ἐπιλανθάνεσθαι.

395. ἥ μ' ἐσάωσ'] καλῶς αὐτὸς μέμνηται τῆς εὐεργεσίας, οὐ Θέτις· ὀνειδιζούσης γὰρ ἦν· ὡς Δημοσθένης "ἐγὼ νομίζω τὸν εὖ παθόντα δεῖν ἀεὶ μεμνῆσθαι πάντα τὸν χρόνον, τὸν ποιήσαντα δ' εὐθὺς ἐπιλελῆσθαι." ὁ δὲ Ζεύς (ἔδει γὰρ αὐτὸν τύραννον ὁμολογεῖσθαι τῷ μέλλειν δεδέσθαι) λόγῳ μὲν οὐχ ὁμολογεῖ, ἔργῳ δὲ ἀποδίδωσι. χρηστὸν οὖν τὸ ἦθος ἐπικουρούσης ἀεὶ τοῖς δεομένοις, Ἡφαίστῳ, Διονύσῳ, Διί. καὶ τῆς ποιήσεως δέ ἐστιν οἰκονομία ἡ τῆς Θέτιδος χρηστοήθεια· Διὶ μὲν ἀμύνει, ἵνα κακώσῃ Ἕλληνας, Ἡφαίστῳ, ἵνα ποιήσῃ Ἀχιλλεῖ πανοπλίαν, Διονύσῳ διὰ τὸν κρατῆρα ὃν ἔχει Ἀχιλλεύς.

οὐ λέγει ὅτι ἄνωθεν ἀπ' οὐρανοῦ ἔρριψεν αὐτὸν ἡ μήτηρ, ἀλλὰ τὸ πεσόντα τεχθέντα ἐστὶν, ὡς τὸ "πέσῃ μετὰ ποσσὶ γυναικός" (Il. 19, 110). τὸ δὲ τῆλε ἀντὶ τοῦ τηλόθι· παρ' Ὠκεανῷ γὰρ ἐγεννήθη.

396. κυνώπιδος] ἐπὶ μνήμην ἐλθὼν τῶν ἀτυχημάτων λοιδορεῖται τῇ μητρί.

ἡ μὲν τοῦ παιδὸς δόξαν προέκρινεν· ἡ δὲ Θέτις τὸν ξένον, εἰ καὶ χωλὸς ἦν, οὐκ ἀπεβάλετο.

399. εὐχάριστος ὁ καὶ τῆς ἀπούσης εὐεργέτιδος μνημονεύων. μᾶλλον δὲ ἦθος ἐμφαίνει ἐπαναληφθὲν τὸ ταύτης ὄνομα.

ἀψορρόου] ταχυρρόου, ἐπειδὴ Ὠκεανός· ἢ παλιρρόου διὰ τὸ κύκλῳ περιθεῖν τὴν γῆν.

400. πολλά] οὐκ ἀναστρεπτέον τὴν παρά, ἐπεὶ πᾶσα πρόθεσις συναληλιμμένη καὶ μὴ ἔχουσα ἀνάπαυσιν οὐκ ἀναστρέφεται. σεσημείωται τὸ "στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν" (191).

δαίδαλα] μικρὰ τορεύματα· οἰκεῖα δὲ ταῦτα καὶ τῇ ἡλικίᾳ τοῦ δημιουργοῦ καὶ ταῖς ὑποδεξαμέναις αὐτὸν θεαῖς.

401. κάλυκας] ἐμφερῆ ῥόδοις ἐνώτια· οἱ δὲ δακτυλίους· οἱ δὲ χρυσᾶς σύριγγας τοὺς πλοκάμους περιεχούσας φασίν.

403. *μορμύρων] ἀναβράσσων, ἢ θηριούμενος, παρὰ τὴν μορμώ.

οὐδέ τις ἄλλος] δεῖγμα χρηστότητος· οὐ γὰρ μόνον ἔλαβον καὶ ἔτρεφον, ἀλλὰ καὶ ἐν ἀρρήτῳ φυλακῇ, ἵνα μὴ λάθοι ἐπιβουλευθεὶς ὑπὸ Κρόνου.

407. ζωάγρια] χαριστήρια τοῦ εἰς τὸ ζῆν ἦχθαι δι' αὐτῆς.

409. ὅπλα] τὰ πρός τι εὔθετα καὶ συνεργοῦντα τῷ τεχνίτῃ.

410. ἀκμοθέτοιο] τοῦ ἐπὶ τῷ ἀκμοθέτῳ ἔργου.

πέλωρ αἴητον] τὸ πέλωρ ἀεὶ ἐπὶ μεγέθους τάσσεται. τὸ δὲ αἴητον ὁ Ἡρωδιανὸς σχηματίζει παρὰ τὸ εἰμί, ἐτόν ἄητον αἴητον, τὸ μέγα καὶ ἀνυπέρβλητον καὶ παρὰ μηδενὶ ὄν. τινὲς δὲ ὁ αἰετηδὸν χωλεύων· τὰ γὰρ γαμψώνυχα τῶν ὀρνέων χωλεύει.

411. ἀραιαί] λεπταί· εἰ δὲ ψιλοῦμεν, βεβλαμμέναι.

415. αὐχένα τε στιβαρόν] ἄνωθεν γὰρ παχεῖς εἰσὶν οἱ τὰ κάτω μέρη πεπηρωμένοι.

λαχνήεντα] ἡ γὰρ πυρώδης οὐσία καὶ ἐν ἡμῖν αἰτία τῆς τριχοφυΐας.

416. χιτῶν'] ὡς ἐργάτης, οὐ φᾶρος.

424. ἐπαινετὸς ὁ ἄρχων τοῦ λόγου καὶ μὴ περιμείνας τὴν αἴτησιν. δείκνυται δὲ καὶ τὸ σύντομον τοῦ ἐπειγομένου ἀποδοῦναι, καὶ τὸ σῶφρον τῆς ἐπαγγελίας ὡς δυνατὰ ἐπαγγελλομένου.

425. πάρος γε μέν] ἐκ τούτου καὶ αὐτὸς ἐπισημαίνεται χρείας ἕνεκεν ἥκειν τὴν Θέτιν, τῷ πρόσθεν οὐκ εἰωθυῖαν τοῦτο πράσσειν.

429. *Ἥλιος] μετὰ τὴν τελευτὴν Ἡφαίστου τοῦ βασιλέως Αἰγύπτου Ἥλιος ὁ υἱὸς αὐτοῦ τὴν ἀρχὴν διεδέξατο, ζήσας ἡμέρας

2. τὴν γῆν Vill.] τῆς γῆς
5. πάρ' οἰσέμεν] παροισέμεν
32. Ἥλιος—στρατιώτην] Haec ad Odyss. 8, 266 referenda esse monuit Heynius.

δ,υοζ', ὡς γίνεσθαι ἔτη ιβ', μῆνας γ', ἡμέρας ε'. οἱ μὲν γὰρ τὰς ἡμέρας ἐνιαυτοὺς ἐψήφιζον, οἱ δὲ τὰς περιόδους τῆς σελήνης, ἕτεροι δὲ τοὺς τέτταρας καιρούς· οἱ γὰρ μετὰ ταῦτα δυναστεύσαντες καὶ ὑποτελεῖς τὰς χώρας ποιήσαντες ἀπὸ τῆς αὐξήσεως τῶν καρπῶν τοὺς χρόνους διέκριναν καὶ ἐνιαυτοὺς κυρίως ἐκάλεσαν. ὁ τοίνυν Ἥλιος τὴν τοῦ πατρὸς φυλάσσων νομοθεσίαν, εὑρηκὼς μοιχευομένην γυναῖκα, ταύτην ἐθριάμβευσεν· ὅπερ μετέβαλε ποιητικῶς ὁ Ὅμηρος, ὅτι ὁ Ἥλιος τὴν Ἀφροδίτην ἔδειξε μιγνυμένην τῷ Ἄρεϊ, Ἀφροδίτην μὲν τὴν ἐπιθυμίαν καλέσας, Ἄρεα δὲ τὸν μετ' αὐτῆς καταληφθέντα στρατιώτην.

ἦ ἄρα δή τις] ἐμιμήσατο ἦθος γυναικεῖον, οὐ περὶ ὧν ἠρώτηται ἀποκρινομένη, ἀλλὰ περὶ ὧν ἐλελύπητο.

431. Ζεὺς ἄλγε' ἔδωκεν] καὶ πῶς φησὶν ἡ Ἥρα (Il. 24, 60) "καὶ ἀνδρὶ πόρον παράκοιτιν;" ἢ ὅτι τῶν συμβαινόντων τῷ Διὶ τὴν αἰτίαν ἀναφέρουσιν ὡς ἄρχοντι· ἢ ὅτι αὐτὸς αὐτῇ αἴτιος τοῦ γάμου.

433. ἔτλην] οἰκεία ἡ λέξις ἐπὶ τῆς ἀκούσης.

435. ἀρημένος] βεβλαμμένος τῇ ταπεινώσει τοῦ γήρως.

ἀπὸ κοινοῦ τὸ "ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν."

437. ἔξοχον ἡρώων] οὐ μόνον υἱοῦ φησὶν, ἀλλὰ καὶ ἀριστέως στερίσκομαι, τὸ δεινότερον.

442. οἰκεῖον μητρὶ τὸ ζώει μοι.

πάντα οὖν δεινὰ, ὅτι καὶ ὠκύμορος καὶ τὸν βραχὺν τοῦτον χρόνον λυπεῖται.

444. ἀνακεφαλαίωσις αὕτη· κακῶς οὖν Ἀρίσταρχος ἀθετεῖ. πῶς γὰρ οὐκ ἄτοπον τὰ μὲν περὶ τοῦ γάμου παλαιά τε ὄντα καὶ πᾶσι δῆλα λέγειν, σιωπᾶν δὲ δι' ὃ ἦλθεν;

457. γούναθ' ἱκάνομαι] ἱκετεύω. ἀπὸ ἐλέου δὲ ἤρξατο καὶ εἰς ἔλεον κατέπαυσε τὸν λόγον, οὐχ ὡς ἀπαιτοῦσα χάριν, ἀλλ' ὡς δεομένη.

458. ἄνευ τοῦ ω̄ τὸ ἐμῷ· ἐκτέθλιπται γάρ. ἔλεον δὲ ἐκίνησε, πρὸς ὀλιγοχρόνιον χρῆσιν αἰτουμένη παρ' αὐτοῦ τὴν τῶν ὅπλων χάριν.

460. τινὲς ἐπὶ τοῦ θώρακος τὸ ὅ· ἀλλὰ πάντα ἀπώλεσε, καὶ οὐκ ἂν περὶ τῆς ἀπωλείας μόνου τοῦ θώρακος εἶπεν. οἱ δὲ ἐπὶ τοῦ ἑταῖρος, ἵνα λίπῃ ταῦτα. τινὲς δὲ, ἃ γὰρ ἦν οἱ ὅπλα. πῶς δὲ ξίφος οὐκ αἰτεῖ; ὅτι καὶ ἄλλα ἴσως εἶχεν ἰσοπαλῆ τῷ ἀπολομένῳ ξίφει.

28. ἐλέου Bekk.] ἐλέους   30. τοῦ ω̄] τοῦ ῑ

463. ταῦτα] τὰ περὶ τῶν ὅπλων, περὶ ὧν καὶ διαλέγεται αὐτῷ.

464. εὔχρηστον ἦθος εὐχομένου δύνασθαι πρὸς ἀπόδοσιν χάριτος οὐ μόνον τὰ αἰτηθέντα ποιεῖν, ἀλλὰ περὶ ὧν ἀδυνάτως ἔχει.

466. παρέσσεται] παρ' αὐτῷ ἔσται. ἑτοίμως δὲ ἐπαγγέλλεται, οὐ τόπον, οὐ χρόνον προβαλλόμενος. καὶ ἡ μὲν ὡς δεομένη μακρηγορεῖ· ὁ δὲ οὐδὲ λόγων αὐτῇ δευτέρων καιρὸν δίδωσι τῇ σπουδῇ, ἐπειδὴ ἄτοπον ἦν ἐν τῇ ἐξόδῳ σπεύδοντος Ἀχιλλέως ἔτι ἐγχρονίζειν τῷ λόγῳ. βούλεται δὲ τὸν τῆς νυκτὸς καιρὸν ἀναλῶσαι τῇ ὁπλοποιίᾳ.

468. * ἐνταῦθα μεγάλῃ τινὶ καὶ κοσμοτόκῳ διανοίᾳ τὴν τῶν ὅλων περιήθροισε γέννησιν· ὅθεν γὰρ αἱ πρῶται τοῦ παντὸς ἔφυσαν ἀρχαί, καὶ τίς ὁ τούτων δημιουργός, καὶ πῶς ἕκαστα πληρωθέντα διεκρίθη, σαφέσι τεκμηρίοις παρέστησε, τὴν Ἀχιλλέως ἀσπίδα τῆς κοσμικῆς περιόδου χαλκευσάμενος εἰκόνα. καὶ τὸ πρῶτον ὑπεστήσατο τῆς παντελοῦς δημιουργίας νύκτα καιρόν, ἐπειδήπερ αὕτη χρόνου πάτρια κεκλήρωται, καὶ πρὶν ἢ διακριθῆναι τὰ νῦν βλεπόμενα νὺξ ἦν τὸ σύμπαν, ὃ δὴ χάος ποιητῶν ὀνομάζουσι παῖδες. οὐ γὰρ οὕτως ἄθλιόν τινα καὶ κακοδαίμονα παρεισάγει τὸν Ἥφαιστον, ὡς μηδὲ νυκτὸς ἀνάπαυσιν ἔχειν τῆς χειρωνακτικῆς ἐργασίας, ὅπου γε καὶ παρ' ἀνθρώποις ἀθλίοις ἄτοπον εἶναι δοκεῖ τὸ μηδὲ τὴν νύκτα τῶν πόνων ἐκεχειρίαν ἄγειν. ἀλλ' οὐκ ἔστι ταῦτα χαλκεύων Ἀχιλλεῖ πανοπλίαν Ἥφαιστος, οὐδ' ἐν οὐρανῷ βουνοὶ χαλκοῦ καὶ κασσιτέρου ἀργύρου τε καὶ χρυσοῦ εἰσίν· ἀμήχανον γὰρ τὰς ἀηδεῖς καὶ φιλαργύρους γῆς νόσους ἐπ' οὐρανὸν ἀναβῆναι· φυσικῶς δὲ τῆς ἀμόρφου ποτὲ καὶ μὴ διακεκριμένης ὕλης τὸν καιρὸν ἀποφηνάμενος εἶναι νύκτα, δημιουργόν, ἡνίκα ἔμελλε τὰ πάντα μορφοῦσθαι, τὸν Ἥφαιστον ἐπέστησε, τουτέστι τὴν θερμὴν οὐσίαν· πυρὸς γὰρ δὴ κατὰ τὸν φυσικὸν Ἡράκλειτον ἀμοιβῇ τὰ πάντα γίνεται. ὅθεν συνοικοῦσαν οὐκ ἀπιθάνως τῷ τῶν ὅλων ἀρχιτέκτονι πεποίηκε τὴν Χάριν· ἔμελλε γὰρ ἤδη τῷ κόσμῳ χαριεῖσθαι τὸν ἴδιον κόσμον. ὗλαι δὲ τίνες αὐτῇ τῆς κατασκευῆς; "χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα κασσίτερόν τε." εἰ μὲν Ἀχιλλεῖ κατεσκεύασε πανοπλίαν, πάντα ἔδει χρυσὸν εἶναι· καὶ γὰρ οἶμαι σχέτλιον

187, 11—191, 22. Ex Heraclito cap. 43–52 multa cum scripturae diversitate, de qua v. Mehler. p. 90–109.

Ἀχιλλέα μηδὲ Γλαύκῳ κατὰ τὴν πολυτέλειαν ἴσον εἶναι. νῦν δὲ τέτταρα στοιχεῖα κίρναται. καὶ χρυσὸν μὲν ὠνόμασε τὴν αἰθερώδη φύσιν, ἄργυρον δὲ τὸν αὐτῇ τῇ χροιᾷ προσωμοιωμένον ἀέρα· χαλκὸς δὲ καὶ κασσίτερος ὕδωρ καὶ γῆ προσαγορεύεται διὰ τὴν ἐν ἀμφοτέροις βαρύτητα. πρῶτον δὲ ἀπὸ τούτων τῶν στοιχείων ἀσπὶς ὑπ᾽ αὐτοῦ χαλκεύεται, σφαιροειδὲς ἔχουσα σχῆμα, δι᾽ οὗ τὸν κόσμον ἡμῖν ἐμφανῶς ἐσήμανεν, ὃν οὐκ ἀπὸ τῆς ὁπλοποιίας μόνον, ἀλλὰ καὶ δι᾽ ἄλλων τεκμηρίων ἐπίσταται κυκλοειδῆ. συντόμως δὲ ἐν παρεκβάσει τὰς ὑπὲρ τούτων φιλοτεχνοῦντες ἀποδείξεις δηλώσομεν. συνεχῶς τοίνυν τὸν ἥλιον ἀκάμαντα καὶ ἀλέκτορα καὶ ὑπερίονα προσαγορεύει, διὰ τῶν ἐπιθέτων οὐκ ἄλλο τι πλὴν τὸ σχῆμα τοῦτο σημαίνων. ὅ τε γὰρ ἀκάμας ὁ μὴ κάμνων ἔοικε καὶ ὅρους ἔχων οὐκ ἀνατολὴν ἢ δύσιν, ἀλλὰ τὴν ἀεὶ περίδρομον ἀνάγκην. ἠλέκτωρ δὲ δυοῖν θάτερον· ἢ ἀλέκτωρ ὁ θεὸς ὀνομάζεται μηδέπω κοίτης ἐπιψαύων, ἢ τάχα πιθανώτερον, ἐπιελίκτωρ τις ὢν καὶ κυκλοτερεῖ φορᾷ δι᾽ ἡμέρας καὶ νυκτὸς τὸν κόσμον ἀναμετρούμενος. ὑπερίονα δὲ νομιστέον αὐτὸν τὸν ὑπεριέμενον ἀεὶ τῆς γῆς, ὥσπερ οἶμαι καὶ Ξενοφάνης ὁ Κολοφώνιός φησιν "ἠέλιος θ᾽ ὑπεριέμενος γαῖάν τ᾽ ἐπιθάλπων." εἰ γὰρ πατρωνυμικῶς αὐτὸν ἠθέλησεν ὀνομάζειν, εἶπεν ἂν Ὑπεριονίδην ὡς Ἀτρείδην τὸν Ἀγαμέμνονα καὶ Πηλείδην τὸν Ἀχιλλέα. ἥ τε θοὴ νὺξ οὐκ ἄλλο τι σημαίνει ἢ τὸ σφαιροειδὲς ὅλου τοῦ πόλου σχῆμα· τὸν γὰρ αὐτὸν ἡλίῳ δρόμον ἡ νὺξ ἀνύει, καὶ πᾶς ὁ καταλειφθεὶς ὑπ᾽ ἐκείνου τόπος ὑπὸ ταύτης εὐθὺς ἐκμελαίνεται. σαφῶς γοῦν ἑτέρωθί που τοῦτο μηνύων φησὶν "ἐν δ᾽ ἔπεσ᾽ Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο, ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν" (Il. 8, 485). ὥσπερ γὰρ ἀπηρτημένην ἑαυτῷ τὴν νύκτα κατόπιν ἐφέλκεται, συγχωροῦσαν τοῖς ἡλίου τάχεσιν. εἰκότως οὖν αὐτὴν Ὅμηρος εἴρηκε θοήν. δύναταί γε μὴν πιθανώτερόν τις ἐπιχειρῶν θοὴν ὀνομάζειν μεταληπτικῶς οὐ τὴν κατὰ κίνησιν ὀξεῖαν, ἀλλὰ τὴν κατὰ σχῆμα· καὶ γὰρ ἑτέρωθί πού φησιν "ἔνθεν δ᾽ αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν" (Od. 15, 299), οὐ τὸ τάχος τῶν ἐρριζωμένων νήσων (ἠλίθιον γάρ) δηλῶσαι ἐσπουδακώς, ἀλλὰ τὸ σχῆμα, ὡς ὀξεῖαν ἀπολήγουσαν ἀποτελεῖν γραμμήν. εἰκότως οὖν νύκτα θοὴν

1. πολυτέλειαν] πολυ^τλ/

21—p. 189, 21. ἡ θοὴ νὺξ — ἀνακυκλοὶ] Haec pars scholii cum aliqua diversitate scripturae repetitur ad 24, 366.

32. δηλῶσαι] δηλώσ´

λέγεσθαι τὴν ἐπ' ὀξὺ τέλος ἀποτερματίζουσαν τῆς ἐσχάτης σκιᾶς. φυσικῶς δὲ περὶ τούτων ὁ λόγος ἀποδείκνυσιν ὅτι σφαιροειδής ἐστιν ὁ κόσμος. τριχῆ γὰρ οἱ μαθηματικοὶ τὰ σχήματα τῶν σκιῶν ἀποπίπτειν φασίν. ἐπειδὰν γὰρ ἔλαττον ᾖ τὸ περιλάμπον τοῦ καταλαμπομένου τόπου, κωνοειδῆ συμβέβηκε γίνεσθαι τὴν σκιάν, ἀπὸ πλατείας τῆς ἀρχῆς εἰς λεπτὸν ἀποστενοῦσθαι πέρας. ἐπειδάν γε μὴν ἴσον ᾖ τὸ καταλάμπον τῷ καταλαμπομένῳ, κυλίνδρου δίκην ἡ σκιὰ πρὸς ἴσον ἐν ταῖς ἑκατέρωθεν ἔχει γραμμαῖς. βουλόμενος οὖν Ὅμηρος τὸν ἥλιον ἄλλως μείζονα τῆς γῆς κατὰ τὴν τῶν πλείστων φιλοσόφων ἔννοιαν ἀποδεῖξαι, εὐλόγως θοὴν τὴν νύκτα προσηγόρευσεν, εἰς ὀξὺ τὸ πρὸς τῷ πέρατι σχῆμα λήγουσαν, ἅτε οἶμαι μήτε κυλινδροειδῶς μήτε καλαθοειδῶς τῆς σκιᾶς πίπτειν δυναμένης, ἀλλὰ τὸν λεγόμενον κῶνον ἀποτελούσης· ὃ δὴ πρῶτος Ὅμηρος ἐκ μιᾶς λέξεως ὑπαινιξάμενος τὰς μυρίας τῶν φιλοσόφων ἁμίλλας ὑποτέτμηκεν. καὶ μὴν αἱ φοραὶ τῶν ἐναντίων ἀνέμων δηλοῦσι τὸ τοῦ κόσμου σφαιροειδές. Βορέας μὲν γὰρ ἀπὸ τῆς ἄρκτου πνέων μετέωρος "μέγα κῦμα κυλίνδει" (Od. 5, 296)· τὴν γὰρ ἀπὸ τοῦ μεταρσίου φορὰν ἐπὶ τὸ ταπεινότερον ἐκ μιᾶς λέξεως κατεκύλισεν ὁ στίχος. τοὔμπαλιν δὲ ἐπὶ τοῦ νότου, πνέοντος ἀπὸ τῶν κατωτάτω τόπων, ἱστόρησεν· "ἔνθα νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ" (Od. 3, 295)· τὴν ἀπὸ τοῦ ταπεινοτέρου κίνησιν εἰς τὸ μετέωρον ἀνακυκλοῖ. ἔτι γε μὴν μετὰ τῶν ἄλλων ἀπείρονα γαῖαν ὀνομάζει. καὶ πάλιν ἐπὶ τῆς Ἥρας "εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης" (Il. 14, 200), οὐδέπω μαχομέναις δόξαις πρὸς αὐτὸν στασιάζων, ἀλλ' ἐπειδὴ πᾶν σφαιροειδὲς σχῆμα ἄπειρόν ἐστι καὶ πεπερασμένον· τὸ δὲ ὅρον τινὰ καὶ περιγραφὴν ἔχον εὐλόγως αὐτὸ πεπεράσθαι νομιστέον, ἄπειρον δ' ἂν ὁ κύκλος ὀνομάζοιτο δικαίως, ἐπειδήπερ ἀμήχανόν ἐστι δεῖξαι πέρας ἐν αὐτῷ τι. τὸ γὰρ νομισθὲν εἶναι τέλος ἐξ ἴσου γένοιτ' ἂν ἀρχή. ταυτὶ μὲν οὖν ἀθρόα τεκμήρια τοῦ σφαιροειδῆ τὸν κόσμον εἶναι παρ' Ὁμήρῳ, τὸ δ' ἐναργέστατόν ἐστι σύμβολον ἡ τῆς Ἀχιλλέως ἀσπίδος κατασκευή· κυκλοτερὲς γὰρ τῷ σχήματι κεχάλκευκεν ὅπλον Ἥφαιστος, ὥσπερ εἰκόνα τῆς κοσμικῆς περιόδου. μυθικῶς μὲν οὖν ἀσπίδα χαλκευομένην ὑποστησάμενος ἁρμόζουσαν Ἀχιλλεῖ τὴν διὰ πάντων ἐχάραξε πορείαν. τίς δὲ ἦν αὕτη; "στησάμενοι δ' ἐμά-

18. κατεκύλισεν] κατεκύκλ^ι (λ cum signo compendii). Correxi ex scholio inferiore.

χοντο μάχην—ἕλκε ποδοῖιν" (533—537). ταῦτα μὲν ἦν ὁ διηνεκὴς Ἀχιλλέως βίος. νῦν δὲ Ὅμηρος ἰδίᾳ τινὶ φιλοσοφίᾳ δημιουργῶν τὸν κόσμον, εὐθὺς τὰ μέγιστα τῆς προνοίας ἔργα μετὰ τὴν ἀδιακρίνητον καὶ κεχυμένην ὕλην ἐχάλκευσεν. "ἐν μὲν γαῖαν—πλήθουσαν" (483, 484). ἡ τῆς κοσμικῆς γενέσεως εἱμαρμένη πρῶτον μὲν θεμελιοῦχον ἐκρότησε τὴν γῆν, εἶτα ἐπὶ ταύτης καθάπερ τινὰ θείαν στέγην τὸν οὐρανὸν ἐπωρόφωσε, καὶ κατὰ τῶν ἀναπεπταμένων αὐτῆς κόλπων ἀθρόαν ἔχεε τὴν θάλατταν, εὐθύς τε ἡλίῳ καὶ σελήνῃ τὰ διακριθέντα τῶν στοιχείων ἀπὸ τοῦ παλαιοῦ χάους ἐφώτισεν. "ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται" (485), δι' οὗ μάλιστα σφαιροειδῆ παραδέδωκεν ἡμῖν τὸν κόσμον· ὥσπερ γὰρ ὁ στέφανος κυκλοτερὴς τῆς κεφαλῆς κόσμος ἐστὶν, οὕτως τὰ διεζωκότα τὴν οὐράνιον ἀψῖδα κατὰ σφαιροειδοῦς ἐπηρμένα σχήματος εἰκότως οὐρανοῦ στέφανον ὠνόμασεν. διακριβολογησάμενος δὲ ὑπὲρ τῶν ὁλοσχερῶν ἀστέρων, καὶ κατὰ μέρος ἐπιφανέστατα δεδήλωκεν· οὐ γὰρ ἠδύνατο πάντα θεολογεῖν, ὥσπερ Εὔδοξος ἢ Ἄρατος, Ἰλιάδα γράφων, ταῦτα ἀντὶ τῶν μὴ φαινομένων ὑποστησάμενος ἑαυτῷ. μεταβέβηκεν οὖν ἀλληγορικῶς ἐπὶ τὰς δύο πόλεις, τὴν μὲν εἰρήνης, τὴν δὲ πολέμου παρεισάγων, ἵνα μηδ' Ἐμπεδοκλῆς ὁ Ἀκραγαντῖνος ἀπ' ἄλλου τινὸς ἢ παρ' Ὁμήρου τὴν Σικελικὴν ἀρύσηται δόξαν. ἅμα γὰρ τοῖς τέσσαρσι στοιχείοις κατὰ τὴν φυσικὴν θεωρίαν παραδέδωκε τὸ νεῖκος καὶ τὴν φιλίαν. τούτων δ' ἑκάτερον Ὅμηρος ὑποσημαίνων πόλεις δύο ἐνεχάλκευσε τῇ ἀσπίδι, τὴν μὲν εἰρήνης, τουτέστι φιλίας, τὴν δὲ πολέμου, τουτέστι νείκους. πτύχας δὲ ὑπεστήσατο τῆς ἀσπίδος πέντε σχεδὸν, οὐκ ἄλλο τι πλὴν τὰς ἐμπεποικιλμένας τῷ κόσμῳ ζώνας ὑπαινιξάμενος. ἡ μὲν γὰρ ἀνωτάτω περὶ τὸν βόρειον εἱλεῖται πόλον, ἀρκτικὴν δὲ αὐτὴν ὀνομάζουσιν· ἡ δὲ ἐφεξῆς εὔκρατός ἐστιν· εἶτα τὴν τρίτην δ ακεκαυμένην καλοῦσιν· ἡ τετάρτη δ' ὁμωνύμως τῇ δευτέρᾳ εὔκρατος ὀνομάζεται· πέμπτη δ' ἐπωνύμως • τοῦ νοτίου μέρους, ἡ νότιός τε καὶ ἀντάρκτιος καλουμένη. τούτων αἱ μὲν δύο τελέως ἀοίκητοι διὰ τὸ κρύος, ἥ τε τὸν βόρειον εἰληχυῖα πόλον καὶ ἡ τὸν ἀπάντικρυ νότιον. ὁμοίως δ' αὐταῖς ἡ διακεκαυμένη καθ' ὑπερβολὴν τῆς πυρώδους οὐσίας οὐδενὶ βατὴ ζῴῳ. δύο δὲ τὰς εὐκράτους

16. ἢ Ἄρατος apud Heracl.] ἀρμᾶ (sic).

29. νοτίου—νότιος ex Heracl. pro νοτείου—νότειος

30. ἀντάρκτιος ex Heracl. pro ἀντέστιος

32. νότιον Heracl.] νότον

φησὶν οἰκεῖσθαι, τὴν μέσην ἐφ' ἑκατέρας ζώνης κρᾶσιν ἐπιδεχομένας. ὁ γοῦν Ἐρατοσθένης καὶ σφοδρότερον ἐν τῷ Ἑρμῇ ταύτας διηκρίβωσεν, εἰπὼν

"πέντε δέ οἱ ζῶναι περιηγέες ἐσπείρηντο,
αἱ δύο μὲν γλαυκοῖο κελαινότεραι κυάνοιο,
ἡ δὲ μία ψαφαρά τε καὶ ἐκ πυρὸς οἷον ἐρυθρὴ,
τυπτομένη φλογμοῖσιν, ἐπεὶ ῥά ἑ μαῦραν ἐπ' αὐτὴν
κεκλιμένην ἀκτῖνες ἀειθερέες πυρόωσιν.
αἱ δὲ δύω ἑκάτερθε πόλοιο περιπεπτηυῖαι,
ἀεὶ βριμαλέαι, αἰεὶ δ' ὕδατι μογέουσαι."

ταύτας οὖν Ὅμηρος πτύχας ὠνόμασεν, ἐξ ὧν φησὶν "ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων, τὰς δύο χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο τὴν δὲ μίαν χρυσῆν" (Il. 20, 270)· τὰς μὲν ἀνωτάτω κατὰ τοὺς ἀλαμπεῖς μυχοὺς τοῦ κόσμου κειμένας δύο ζώνας χαλκῷ προσεικάσας· ψυχρὰ γὰρ ἡ ὕλη καὶ κρύους μεστή. λέγει οὖν ἑτέρωθί που "ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσι," τὴν δὲ μίαν χρυσῆν εἰπὼν, τὴν διακεκαυμένην, ἐπειδήπερ ἡ πυρώδης οὐσία κατὰ τὴν χρόαν ἐμφερεστάτη χρυσῷ· "δύο δ' ἔνδοθι κασσιτέροιο," τὰς εὐκράτους ὑποσημαίνων· ὑγρὰ γὰρ ἡ ὕλη καὶ τελέως εὔθικτος ἡ τοῦ κασσιτέρου, δι' ἧς τὸ περὶ τὰς ζώνας εὐαφὲς ἡμῖν καὶ μαλθακὸν ἐδήλωσεν. τὸ μὲν οὖν ἐν οὐρανῷ σεμνὸν ἐργαστήριον Ἡφαίστου τὴν ἱερὰν φύσιν οὕτως ἐδημιούργησεν.

470. κεκράτηκεν ἀρρήτου πράγματος, ὅτι ὅτε Ἥφαιστος ἔσπευδε, καὶ αὐταὶ ἠπείγοντο καὶ τεχνικῶς ἐφύσων. καὶ τὸ παντοίην δὲ τοιοῦτόν ἐστιν, οἷον ὁτὲ μὲν ἐπηρμένην, ποτὲ δὲ σύμμετρον.

474. ἀτειρέα] τῶν γὰρ ἄλλων χωνευομένων αὐτὸς ἐλαυνόμενος πολὺν εἰς τὸ δημιουργηθῆναι τῷ τεχνίτῃ παρέχει κόπον. κοινὸν δὲ καὶ ἐπὶ τοῦ κασσιτέρου τὸ ἀτειρέα.

477. δαιμονίως τὸν πλάστην αὐτὸς διέπλασεν, ὥσπερ ἐπὶ σκηνῆς ἐκκυκλήσας καὶ δείξας ἡμῖν ἐν φανερῷ τὸ ἐργαστήριον. μεγάλην δὲ καὶ σφῦραν ἔλαβεν· οὔπω γὰρ τοῦ λεπτουργεῖν καιρὸς, ἀλλὰ πρῶτον ἐξελάσαι τὴν ὕλην.

6. ἐκ πυρὸς Heracl.] ἔκπυρος
7. μαῦραν] Corrupte. μοῖραν Heracliti codex optimus. V. Mehler. p. 168.
9. περιπεπτηυῖαι ex Achille Tatio] περιπεπηγυῖαι
10. βριμαλέαι] κρυμαλέαι Heracl.
11. ἐπεὶ Heracl.] ἐπὶ δὲ

* πυράγρην] τὸν χαλκευτικὸν καρκίνον, τὸν ὀξύλαβον, παρὰ τὸ πῦρ ἀγρεύειν.

479. * ἄντυγα] τὸν ἔξωθεν τῆς ἀσπίδος κύκλον.

480. τρίπλακα] τρίπτυχον. μαρμαρέην δὲ διὰ τὸν ἐπικεχυμένον αὐτῇ τέχνῃ τὸν Ὠκεανόν.

481. πτύχες] τὰ ἐλάσματα τῆς ἀσπίδος.

484. τινὲς τήν ποτε πλήθουσαν, ὡς "ἠΰκομος Νιόβη" (Il. 24, 602). οἱ δὲ φυσικοὶ ἀεί φασι τὸ ἡμισφαίριον αὐτῆς, εἰ καὶ μὴ φαίνεται ἡμῖν, πλήθειν. οἱ δὲ τὴν πληρωτικὴν σωμάτων κογχυλίων τε καὶ δένδρων καὶ ποταμῶν καὶ θαλάσσης καὶ τῶν ἄλλων.

* εἴρηται δὲ σελήνη παρὰ τὸ σέλας νέον.

485. * τείρεα] παρὰ τὸ τερατώδη καὶ σημεῖα ταῦτα εἶναι.

488. εἰκότως αὐτὸν ἐπιτηρεῖ, ὅτι καὶ τὴν αὐτὴν κίνησιν αὐτῷ ποιεῖται, ὥσπερ φησὶν ὁ Ἄρατος (226) "ὅς ῥά τε καὶ μήκιστα διωκόμενος περὶ κύκλα οὐδὲν ἀφαυρότερον τροχάει κυνοσουρίδος ἄρκτου." οὐκ ὀνομάζει δὲ τὴν ἄλλην, ἐπειδὴ τῶν ἐμφανεστέρων μέμνηται.

489. τὸ οἴη οὐκ ἔχει τὴν σύγκρισιν πρὸς ἅπαντα τὰ ζῴδια, ἀλλὰ πρὸς μόνα τὰ τῇ ἀσπίδι ἐντετυπωμένα· εἰσὶ γὰρ καὶ ἄλλα μὴ δύνοντα.

* ἀνιστόρητόν ἐστι τοῦτο· κατηγοροῦσι μὲν γὰρ κατὰ τὸν περὶ τῆς ἄρκτου λόγον φάσκοντος "οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο." καθόλου γὰρ πάντα τὰ ἐν τῷ ἀρκτικῷ μὴ δύνειν. λύοιτο δ' ἂν ἐκ τῆς ἀναφορᾶς τῶν πρὸς ἃ εἴρηται διὰ τῆς λέξεως· εἰρημένου γὰρ "Πληϊάδας θ'—Ὠρίωνα δοκεύει" (486—488), τὸ "οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο" πρὸς ταῦτα τὰ ῥηθέντα ἄστρα καὶ τὰ συγκαταλεχθέντα ἔχει τὴν ἀναφοράν. κἂν διαιρῆται δὲ, εἶτα ἡ δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο, κατὰ λέξιν ἡ λύσις ὑπάρχει. ἀπρεπὲς δὲ δοκεῖ τὸ τῶν περὶ θεοὺς τὰ πλεῖστα παρ' Ὁμήρῳ λελέχθαι, ὧν ἡ λύσις κατὰ τὸ πλεῖστον ἀπὸ ἔθους λαμβάνεται· ἐξ ἔθους γάρ τινος τοῖς ποιηταῖς παρακεχώρηται καὶ τοῖς ζωγράφοις καὶ τοῖς πλάσταις ἀνθρωποπαθείας τῶν θεῶν διατυποῦν καὶ μάχας αὐτῶν πρὸς ἀλλήλους καὶ θητείας καὶ ἀλλοιώσεις διαμυθολογεῖν.

490. ἐν δὲ δύω] ἐπὶ τὰ ἐπίγεια φέρεται. διοικουμένου δὲ τοῦ βίου πολέμῳ καὶ εἰρήνῃ, τὰ ἐν ἀμφοτέροις τοῖς καιροῖς συμβαίνοντα πρὸς ἐκλογὴν τοῦ ἀμείνονος παραβέβληται. ἐπειδὴ δὲ ἡ μὲν Ἰλιὰς ὄψιν εἶχε πολέμου, ἀμνημόνευτος δὲ ἦν ἡ εἰρήνη, τοῦ πολέμου πρὸς

1. τὸ πῦρ] * τὸ τὰ ἐκ τοῦ πυρὸς

ὀλίγον ἐμνήσθη, τὸ δὲ περὶ τῶν εἰρηνικῶν ἐμήκυνεν. ἀναγκαίως δὲ τῷ βίῳ τὰ ἐναντία δίδωσι, πόλεμον καὶ εἰρήνην, ἡδονήν τε καὶ πόνους.

492. ὕπο] μετά. Ἀθήνησι δὲ οὕτως τὰς νύμφας ἄγουσι.

493. * πολὺς δ' ὑμέναιος ὀρώρει] τὸν ὑμέναιον ἐτυμολογοῦσι φυσικῶς, ἐπεὶ ὑμήν ἐστιν ὁ ῥηγνύμενος ἐπὶ τῇ διακορήσει τῶν παρθένων. οἱ δὲ, ὅτι Ὑμέναιός τις παραπλέων τὰς Ἀθήνας κατέλαβεν ἁρπαζομένας παρθένους ὑπὸ Πελασγῶν τινῶν, αἷς ἐπιφανεὶς αἴτιος γέγονε τοῦ μὴ βιασθῆναι αὐτάς. διὰ οὖν τοῦτο ὕμνον τινὰ ἔλεγον εἰς αὐτὸν, ὃν ἐκάλεσαν ὑμέναιον.

ὁ ἐπὶ ὁμονοίᾳ ᾀδόμενος· ἢ παρὰ τὸ ὁμοῦ εὐνάζειν αὐτούς.

495. Φρὺξ ὁ αὐλός. ἄρα τῆς τότε εἰρηνευσούσης Ἰλίου παράδειγμα ἡ πόλις· καὶ ὅτε γὰρ νυκτηγρετοῦσι Τρῶες, αὐλοῦσιν, παρὰ δὲ Ἕλλησιν οὐδαμοῦ αὐλός. οὐχ ὡς ἀποτελουμένου δὲ ἤχου τινὸς ἐν τῇ ἀσπίδι τοῦτο ἀναγράφει, ἀλλ' οἷον τὰ εἴδωλα ὡς αὐλοῦντα καὶ κιθαρίζοντα ἦν. τὸ δὲ θαύμαζον ἀντὶ τοῦ ἐθεώρουν.

497. λαοὶ δ' εἰν ἀγορῇ ἔσαν ἀθρόοι] ἀγορὴ ὁ τόπος ἐν ᾧ ἀγείρονται. ἡδονὴν δὲ διαγράψας μέτεισιν ἐπὶ τοὺς τὰ τοιαῦτα τηροῦντας νόμους. ἔστι δὲ ἡ στάσις καταστοχαστικὴ, τοῦ μὲν λέγοντος δεδωκέναι τὴν ποινὴν, τοῦ δὲ ἀρνουμένου εἰληφέναι τὴν ποινὴν, ἣν παρέχοντες ἔφευγον τὸ ἔγκλημα τοῦ φόνου.

498. ποινῆς] προστίμου, ὃ καὶ ὑποφόνιον ἐκάλουν.

499. ἀποφθιμένου] ὁ μὲν διεβεβαιοῦτο λέγων δεδωκέναι τὸ ἀρκοῦν πρὸς ὅλον τὸ ἀδίκημα, ὁ δὲ ἠρνεῖτο.

501. ἄμφω δ' ἱέσθην] ἄμφω δὲ μάρτυρα παρεῖχον τῶν λεγομένων, καὶ ἐπὶ τούτῳ ἔθεντο τὸ πέρας τῆς δίκης· ἀντὶ τοῦ ἤθελον ἄμφω ἐπὶ τῷ μάρτυρι πέρας λαβεῖν τὴν δίκην.

502. ἀμφοτέροισιν ἐπήπυον] ἐπεφώνουν ἀμφοτέρωθεν ὡς βοηθοί.

503. γέροντες] γέροντας ἀξιοῖ δικάζειν ὡς συνέσει καὶ πολυπειρίᾳ πραγμάτων προὔχοντας· τὸν δὲ τόπον αὐτῶν ἱερὸν διὰ τὸ δίκαιον, ὥστε εἰς τὸ θεῖον ἀσεβοῦσιν οἱ παρακρίνοντες καὶ οἱ ἀπειθοῦντες.

505. ἠεροφώνων] ὧν ἡ φωνὴ μέχρι τοῦ ἐμφανοῦς ἱκνεῖται, ὃ ἀλλαχοῦ εἶπε "φωνὴ δέ οἱ αἰθέρ' ἵκανεν" (Il. 15, 686). ἢ τῶν τὸν ἀέρα φωνούντων· ἀὴρ γὰρ πεπληγμένος ἐστὶν ἡ φωνή.

506. συμπεριέφερον τὰ σκῆπτρα τοῖς λεγομένοις, ὡς καὶ οἱ

1. * ἐμήκυνεν] ἐμνήσθη 8. * βιασθῆναι] ἁρπασθῆναι
29. αὐτῶν Bekkerus] αὐτὸν

δημηγοροῦντες· ὅθεν καὶ Ὀδυσσεὺς ἔδοξεν ἀμαθὴς εἶναι μὴ κινῶν ὑπὸ πανουργίας τὸ σκῆπτρον (Il. 3, 218).

οὐ πάντες βουλευσάμενοι μίαν ἐξέφερον γνώμην, ἐναλλὰξ δὲ ἕκαστος τὸ δοκοῦν δίκαιον ἀπέφαινεν. ὁ δὲ Ἀρίσταρχός φησιν ἀντὶ τοῦ κατὰ τάξιν τῆς ἡλικίας.

508. τῷ δόμεν] ἐπὶ δικαιοσύνην παρακαλῶν τοὺς δικαστὰς, ἆθλον δικαιοκρισίας φησὶν αὐτοῖς παρὰ τῶν δικαζομένων δίδοσθαι. ἄδηλον δὲ ὁπότερον πρὸς ἓν ἢ πρὸς δύο ἀπέθεντο, ἵνα ἢ ὁ νικήσας ἢ ὁ ἡττηθεὶς δῷ τῷ δικαστῇ, διὰ τὸ συκοφαντεῖν πολλούς. τοῦτο δὲ καλεῖται συνηγορικὸν τέλος.

509. τὴν δ' ἑτέρην] οὕτως ἐξηγητέον· πόλιν τινὰ περικαθεσθέντες δύο πολεμίων στρατοὶ τὴν λείαν ἀφείλοντο. ἠνάγκαζον δὲ καὶ τὴν κτῆσιν διανείμασθαι τοὺς πολίτας ἐπὶ τῷ παῦσαι τὸν πόλεμον. οἱ δὲ πολῖται οὐκ ἐπείθοντο, ἀλλὰ σκοποὺς πέμψαντες ἐλόχων ὁπότε ἥξουσι τὰ θρέμματα αὐτῶν ἐπὶ νομὴν, ἵνα ἀφέλοιντο τῶν πολεμίων. καὶ δὴ τοῦτο ποιοῦσιν. οἱ δὲ τὸν θόρυβον ἀκούσαντες — ἔτυχον γὰρ περὶ τούτου σκοποῦντες, πότερον ἀρκεσθήσονται τῇ λείᾳ ἢ πολεμήσοιεν — ἐπιβάντες τῶν ἵππων συνῆψαν πόλεμον.

δύω στρατοί] ἢ ὁ πολιορκῶν καὶ πολιορκούμενος, ἢ δύο ἐπὶ διαφόροις ἥκοντες αἰτίαις, ὁμονοήσαντες δὲ κατὰ τῆς πόλεως.

* Πορφυρίου. πολλῆς ταραχῆς πλήρη ἔδοξεν εἶναι τὰ ἔπη ταῦτα "τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύω στρατοὶ εἵατο λαῶν, τεύχεσι λαμπόμενοι, δίχα δέ σφισιν ἥνδανε βουλή" μέχρι τοῦ "ἐν δ' ἐτίθει νειὸν μαλακὴν, πίειραν ἄρουραν" (541). ταράσσει γὰρ τοὺς πολλοὺς οἱ δύο στρατοὶ, ἆρά γε πολέμιοί εἰσι τῶν κατοικούντων καὶ ἀλλήλοις φίλοι, ἢ εἷς μὲν τῶν ἐκ τῆς πόλεως, ὁ δ' ἕτερος πολέμιος· καὶ πρὸς τίνας διχονοοῦσιν, ἆρά γε πρὸς ἀλλήλους ἢ πρὸς τοὺς ἔνδον· καὶ ἐπὶ τίνων τὸ "οἱ δ' οὔπω πείθοντο," ἆρά γε τῶν εἴσω ἢ τοῦ ἑτέρου στρατοῦ. καὶ πάλιν ἐπὶ τίνος τὸ "λόχῳ δ' ὑπεθωρήσσοντο," ἆρά γε ὁ ἕτερος τῶν στρατῶν ἢ οἱ ἔνδον· καὶ τίνων οἱ σκοποί καὶ τίνων ἡ λεία· πῶς τε, εἰ τῶν ἔνδον ἡ λεία, ὁ λόχος παρ' αὐτῶν· καὶ τίνες οἱ ἐπεξιόντες, ἆρα οἱ δύο στρατοὶ ἢ οἱ ἕτεροι· ὅλως τε τίς ἡ διατύπωσις τῆς πλάσεως. ἐν τῷ δευτέρῳ τῶν ἐξηγητικῶν φησὶν Ἀλέξανδρος ὁ

19, 20. Haec in B leguntur infra post longum scholion Porphyrii.

19. * διαφόροις—αἰτίαις] διαφόρους—αἰτίας

21. * Πορφυρίου] om.

Κοτιαεὺς ὅτι δύο στρατοὶ περιεκάθηντο τὴν πόλιν πολέμιοι, ἢ πορθεῖν ἀξιοῦντες αὐτὴν ἢ τὰ ἡμίση λαβόντες ἀπιέναι. οἱ δ' ἔνδον ὄντες οὐκ ἐδέχοντο τὴν πρόκλησιν. οἱ οὖν πολέμιοι, φησὶν, ἐνέδραν τινὰ ἐποιήσαντο τοῖς ποιμνίοις καὶ τοῖς βουκολίοις, ἃ ἦν κτήματα τοῖς ἐν τῇ πόλει. εἶτα ἀξιοῖ τὸ μὲν "οἱ δ' οὔπω πείθοντο" ἀκούειν περὶ τῶν ἐν τῇ πόλει, τὸ δὲ "λόχῳ δ' ὑπεθωρήσσοντο" περὶ τῶν πολεμίων, καὶ τὸ "οἱ δ' ἴσαν" περὶ τῶν πολεμίων τῶν εἰς τὴν ἐνέδραν ἀπιόντων. οἱ δὲ σκοποὶ τῶν πολεμίων εἰσί. τὸ δὲ "οἱ δ' ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσίν" ἐπὶ τῶν ἐν τῇ πόλει ἀκούει· ἐκαθέζοντο γὰρ ἐν ἐκκλησίᾳ βουλευόμενοι, τὰ τείχη φρουρεῖν παραδόντες τῇ ἀπολέμῳ ἡλικίᾳ· τὸ γὰρ "ἱράων προπάροιθε καθήμενοι" σημαίνει ἐκκλησιῶν, ἐν αἷς εἴρουσι καὶ ἐκκλησιάζουσιν. ὅτε δ' αὐτοῖς ἐμηνύθη τὰ κατὰ τὰ ποίμνια, ἐπιτρέχουσι, καὶ ἐξελθόντες συμβάλλουσι μάχην. εἶχε δ' ἂν πιθανότητα ἡ διατύπωσις, εἰ μὴ πρῶτον μὲν βεβιασμένη ἡ ἀπόδοσις ἦν τοῦ τοιούτου στίχου "οἱ δ' οὔπω πείθοντο, λόχῳ δ' ὑπεθωρήσσοντο." τὸ μὲν γὰρ "οἱ δ' οὔπω πείθοντο" ἀξιοῖ περὶ τῶν ἔνδον διακούειν, τὸ δὲ "λόχῳ δ' ὑπεθωρήσσοντο" περὶ τῶν ἐκτὸς, ἵν' ᾖ τὸ "οἱ δ' οὔπω πείθοντο" ἀντὶ τοῦ μὴ πειθομένων αὐτῶν εἰς λόχον ἐθωρήσσοντο οἱ τὰς προκλήσεις ποιούμενοι. τὸ δὲ "οἱ δ' οὔπω πείθοντο" ἂν ἀκούωσιν ἀντὶ τοῦ μὴ πειθομένων αὐτῶν, βίαιον. πάλιν δὲ μεταξὺ τοῦ "λόχῳ δ' ὑπεθωρήσσοντο, οἱ δ' ἴσαν" ἐμβεβλῆσθαι φάσκειν περὶ τῶν ἔνδον, ὅτι οἱ ἀπόλεμοι ἐτειχοφυλάκουν ὑπ' ἀσθενείας, ἔστιν ἐλεγχόντων τὸν ποιητὴν μὴ δυνάμενον φράζειν ἀταράχως. πάντως δὲ λόχος οὐκ ἐκ πάντων ἦν τῶν ἐν τοῖς δύο στρατοπέδοις, ἀλλὰ τινῶν· πῶς οὖν ὑπεξίασιν οἱ ἐν τῇ πόλει φανερῶς τε καὶ ἀδεῶς τῶν πολιορκούντων κωλυόντων; ἀμείνους οὖν οἱ οὕτω διατυπώσαντες τὸ πλάσμα. δύο στρατοὶ ἐπελθόντες πόλει τὴν λείαν περιήλασαν, καὶ τὴν πόλιν πολιορκοῦντες ἀξιοῦσι τῶν ἐν αὐτῇ κτημάτων λαβεῖν τὸ ἥμισυ ἐφ' ᾧ τε καταθέσθαι τὸν πόλεμον. οἱ δ' ἐν τῇ πόλει οὐκ ἐπείθοντο, ἀλλ' ἐνεδρεύσαντες ἐπὶ πότον ἐρχόμενα τὰ τετράποδα ἀπήλασαν. οἱ πολέμιοι δὲ στρατοὶ, καίπερ ἐκκλησιάζοντες, ἐπεὶ ἐπύθοντο τοῦτο, τῶν ἵππων ἐπιβάντες ἐπῆλθον αὐτοῖς· ὅτι γὰρ αὐτοί εἰσι (λέγω δὲ οἱ στρατοί) ἐκκλησιάζοντες, δεδήλωκε περὶ αὐτῶν εἰπὼν "δίχα δέ σφισιν ἥνδανε βουλή."

1 et p. 207, 19. Κοτιαεὺς] κοτυαεὺς περιεκάθηντο τὴν πόλιν Vill.] παρεκάθηντο τῇ π^λ 22. ὅτι οἱ Bekkerus] ὅτι εἰ

ἀκολούθως εἴρηται ἐπὶ τῶν ἐκτὸς, ὅτι οὐκ ἐπείθοντο μέν γε, εἰς δὲ λόχον καθωπλίζοντο, παραδόντες τοῖς ἀστρατεύτοις τὴν φρουρὰν τῶν τειχῶν. καὶ τὸ "οἱ δ' ἴσαν" ἐπὶ τῶν ἐκ τῆς πόλεως ἀκολούθως ἐπῆκται, λάθρα ἐξιόντων αὐτῶν, καὶ ὅθεν οὐκ ἦν προσδοκῆσαι τοῖς ἔξω ἀνοχὰς ἔχουσι τοῦ πολέμου καὶ ἐκκλησιάζουσιν. αὐτῶν τε οἱ σκοποὶ τῶν εἰς τὸν λόχον ἐξελθόντων. καὶ οἱ τερπόμενοι ταῖς σύριγξι νομεῖς εἰ μὲν τῶν πολεμίων εἶεν, ἔχει λόγον, εἰ δὲ τῶν ἐν τῇ πόλει, παράλογον. οὐ γὰρ οἱ τῶν πολιορκουμένων ἐτέρποντο, ἀλλ' οἱ τῶν πολιορκούντων. καὶ λοιπὸν ἀκολούθως ἐπελθόντων τῶν στρατῶν περικάθητο μὲν οὐδεὶς τὴν πόλιν, μάχη δὲ περὶ τὸν λόχον γίνεται. ἄλλοι δὲ ἠξίουν τῶν δύο στρατῶν τὸν μὲν φίλιον εἶναι τῶν ἔνδον, τὸν δὲ πολέμιον· καὶ τὸν μὲν πολέμιον ἑλεῖν βούλεσθαι τὴν πόλιν, τὸν δὲ φίλιον ἀξιοῦν τὰ ἡμίση δοῦναι τῶν ἐν τῇ πόλει κτημάτων· τοὺς δὲ πολεμίους μήπω πείθεσθαι, ἀλλὰ βουλεύεσθαι· ὧν βουλευομένων, λόχον αὐτῶν τῇ πόλει συστῆσαι τοὺς τῶν ἔνδον φίλους στρατιώτας. τετάρακται δὲ καὶ ἡ τοιαύτη ἐκδοχὴ, ὡς ἐπιόντι σοι κατ' αὐτὰ τὰ ἔπη ἔσται δῆλον, ὥστε ἡ δευτέρα ἀπόδοσις ἔχεται τῆς Ὁμηρικῆς διανοίας. ἐκεῖνο μέντοι παρελθεῖν οὐκ ἄξιον, ὅτι οἱ περὶ Παρμενίσκον στίζειν ἠξίουν ἐπὶ τοῦ "τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα ῥύατ' ἐφεσταότες, μετὰ δ' ἀνέρες οὓς ἔχε γῆρας" (514) μετὰ τὸ ῥύατο, εἶτα συνῆπτον τὸ ἑξῆς "ἐφεσταότες, μετὰ δ' ἀνέρες οὓς ἔχε γῆρας." ἐὰν γὰρ τοῖς ἄνω, φασὶ, συνάψωμεν, σολοικισμὸς ἔσται, ἐπεὶ θηλυκὸν πρόκειται καὶ οὐδέτερον, τὸ δὲ ἑ σ τ α ό τ ε ς ἀρσενικόν. ἐδυνάμην οὖν φάναι πρὸς αὐτοὺς ὅτι καὶ οὕτως Ὅμηρος πολλὰ σχηματίζει· καὶ αὐτὸς γὰρ λέγει "κλυτὸς Ἱπποδάμεια" (Il. 2, 742) καὶ "θῆλυς ἀϋτμή" καὶ "ὀλοώτατος ὀδμή" (Od. 4, 442) καὶ "ὄπα χάλκεον" (222) καὶ "ἁλὸς πολιοῖο" (Il. 20, 229), καὶ ἐπὶ δυϊκῶν "οὐκ ἂν ἐφ' ἡμετέρων ὀχέων πληγέντε κεραυνῷ" (Il. 8, 455). ἄλλως τε ἐν τοῖς τέκνοις καὶ οἱ ἀνέρες εἰσί· τί οὖν κωλύει πρὸς τὸ σημαινόμενον ἀπηντηκέναι, ὡς ἐπ' ἄλλων μυρίων, οἷον "νεφέλη δέ μιν ἀμφιβέβηκε κυανέη, τὸ μὲν οὔποτ' ἐρωεῖ" (Od. 12. 74); πρὸς γὰρ τὸ νέφος ἡ ἀπόδοσις. πάλιν "ἠδ' ἐπὶ δεξιὰ ἠδ'

9. περικάθητο Vill.] παρακάθητο
10. τὴν πόλιν] τ̂ πό̂
13. ἀξιοῦν τὰ Vill.] ἀξιοῦντα τὰ
16. αὐτὰ Vill.] αὐτὴν
17. ἔσται Vill.] ἔστι compendio expressum.
ἔχεται Bekkerus] ἔχει τὰ

ἐπ' ἀριστερὰ νωμῆσαι βῶν ἀζαλέην, τό μοί ἐστι ταλαύρινον πολεμίζειν" (Il. 7, 238)· πρὸς γὰρ τὸ σάκος ἡ ἀναφορά. καὶ εἰπὼν "ἐπ' εἰροπόκοις ὀΐεσσιν" ἐπάγει "τὰ δ' ἐρῆμα φοβεῖται" (Il. 5, 137. 140)· πρὸς γὰρ τὰ πρόβατα τὸ σχῆμα. καὶ ἐνταῦθα οὖν πρὸς τοὺς παῖδας φαίη ἄν τις εἶναι τὴν ἀναφοράν. ἐν δὲ τοῖς ὑποκειμένοις καὶ δύο σχήματα ἔμιξεν ἐπὶ τοῦ "διάνδιχα πάντα δάσασθαι, κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει·" τὸ γὰρ ἅπαντα πρὸς τὰ κτήματα ἀναφέρεται, τὸ δὲ ὅσην πρὸς τὴν κτῆσιν. ἐμοὶ δὲ δοκεῖ παραπλήσιόν τι νῦν κἀνθάδε πεπονθέναι τὴν φράσιν τῷ λεγομένῳ Ἀλκμανικῷ σχήματι, ὅπερ ἐστὶ τοιοῦτον· "ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι Κωκυτός τε" (Od. 10, 513), "εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων" (Il. 20, 138). ὥσπερ γὰρ ἐν τούτοις ἐν μέσῳ κεῖται ὃ ἔδει ἐπάγεσθαι, οὕτω καὶ ἐπὶ τῶν νῦν ζητουμένων· εἰ γοῦν τὸ ἐφεσταότες ἐπαγάγωμεν τῷ "μετὰ δ' ἀνέρες οὓς ἔχε γῆρας," οὐδ' ἂν ἔτι ζητοῖτο. μόνῳ δὲ τούτῳ διαφέρει τοῦ Ἀλκμανικοῦ, ᾗ ἐκεῖνο μὲν τοῖς παρ' ἀριθμὸν σχήμασιν ὑποπίπτει, τοῦτο δὲ τοῖς παρὰ γένος. ὑπερβατῷ δὲ ἀμφότερα λύεται.

510. δίχα δέ] τοῖς πολιορκοῦσιν ἐσχισμένη ἦν ἡ γνώμη· ἐὰν μὲν θελήσωσιν οἱ πολιορκούμενοι τὰ οἰκεῖα διανείμασθαι κτήματα, ἀπαλλάττεσθαι τῆς πολιορκίας, εἰ δὲ μὴ, πορθῆσαι τὴν πόλιν.

511. ἔμψυχός ἐστιν ἡ γραφὴ, ὡς καὶ τὰ ἀφανῆ δηλοῦν. τὸ δὲ πάντα πρὸς τὰ σημαινόμενα κτήματα ἀπέδωκεν.

513. οὔπω] παρέλκει τὸ πω, ὡς τὸ "οὐδέπω Ἀτρεΐδεω ὀπὸς ἔκλυον" (Il. 16, 76). λέγει οὖν ὅτι οὐκ ἐπείθοντο οἱ πολῖται. δεῖ δὲ νοεῖν τὴν λείαν ἣν οἱ πολέμιοι ἀφείλοντο, τούτους λοχῆσαι σπεύδειν.

515. τινὲς εἰς τὸ ῥύατο στίζουσιν, ἵνα τῷ ἀνέρες μόνῳ ἁρμόσῃ τὸ ἐφεσταότες, ἵνα ὃ ἔδει ἐπάγεσθαι, τοῦτο ἐν μέσῳ κέηται· ἔδει γὰρ "μετὰ δ' ἀνέρες ἐφεσταότες." ὁ Πλάτων δὲ ἐν τοῖς νόμοις ἀξιοῖ γυμνάζεσθαι γυναῖκας τὰ πολεμικὰ, παρ' Ὁμήρου μαθών. καὶ Σαυροματῶν αἱ γυναῖκες τὴν αὐτὴν τοῖς ἀνδράσιν ἐνδυόμεναι στολὴν πολεμοῦσιν.

516. οἱ δ' ἴσαν] οἱ ἀπὸ τῆς πόλεως ἐξήεσαν εἰς τὸν λόχον. ὡς ἠδικημένοις δὲ καὶ τὸ θεῖον συλλαμβάνει.

518. μεγάλω] δυνάμει, οὐ μεγέθει.

519. ὑπολίζονες] ἥττους τῷ μεγέθει τοῦ σώματος· ὁ δὲ Επα-

6. ἔμιξεν] ἔμ̈ 16. ᾗ scripsi pro ἡ 27. κέηται Vill.] κεῖται

φρόδιτος τῇ δυνάμει. περισσὴ δὲ ἡ ὑπό. φασὶ δὲ Ὅμηρον τὸ ὀλίγον οὐδέποτε ἐπ' ἀριθμοῦ τάσσειν, ἀλλ' ἐπὶ μεγέθους.

520. εἶκε] ἀντὶ τοῦ πρέπον καὶ ἐφικτὸν ἦν.

521. ἐν ποταμῷ] ἀντὶ τοῦ παρὰ τῷ ποταμῷ.

ἀρδμός] ἀρδεία καὶ ἀπάρυσις ὕδατος. καὶ ἐν Ὀδυσσείᾳ "ἐν δ' ἀρδμοὶ ἐπηετανοί" (Od. 13, 247). ἐκτατέον δὲ τὴν ἄργουσαν αὐτοῦ. βοτοῖσι δὲ γραπτέον, ὅθεν καὶ βοτῆρες καὶ βοτάνη.

523. τοῖσι] αὐτοῖς τοῖς ἐνεδρεύουσι.

525. οἱ δέ] οἱ βοῦς καὶ τὰ μῆλα· περὶ ἀμφοτέρων γὰρ ὁ λόγος.

526. δόλον δ' οὔτι προνόησαν] διὰ τὸ ἀπροσδόκητον· οὐ γὰρ εἰκὸς ἦν τοὺς πολιορκουμένους τοῖς πολιορκοῦσιν ἐπελθεῖν.

528. τάμνον] ἀπήλαυνον.

530. δηλονότι οἱ πολιορκοῦντες, ὧν τὰ ποίμνια ἠλαύνετο.

531. ἱράων] τῶν βουλευτηρίων.

535. ἐν δ' Ἔρις] κατὰ τὴν τάξιν τῶν πραγμάτων καὶ τὰς ὀνομασίας ἔθηκεν.

*ἐν τάξει τῶν συμβαινόντων λέγει· ἄρχεται γὰρ Ἔρις, καὶ τελευτᾷ εἰς πόλεμον· ὁ δὲ πόλεμος ἀποτελευτᾷ εἰς κῆρας. αἱ δὲ τοῦ πολέμου κῆρες πολλαί· διὸ "ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον, ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖιν."

536. ἔχουσα] πρὸς τὸ Ἔρις ὑπήντηκεν.

538. φόνου πλῆρες, ὡς τὸ "Ἑκτόρεον δὲ χιτῶνα περὶ στήθεσσι δαΐξαι χαλκῷ ῥωγαλέον" (Il. 2, 416), διερρωγὸς τῷ σιδήρῳ. δηλοῖ δὲ τὸ δαφοινόν τὸ σφόδρα φονικόν. δαφοινοὶ θῶες (Il. 11, 474) καὶ δράκων δαφοινός (Il. 2, 308). ἀλλὰ ταῦτα μὲν ἐνεργητικά· τὸ δὲ αἷμα δαφοινὸν καὶ αὐτὸ σφόδρα φόνου πλῆρες. καὶ ἡ δασπλῆτις δὲ Ἐρινὺς (Od. 15, 234) ἡ σφόδρα προσπελάζουσα, ἀπροσπέλαστος.

539. ὥστε ζωοὶ βροτοί] οὐκ ἄρα ζωὰ ἦν τὰ ἐπιγεγραμμένα, ἀλλ' ὅμοια ζωοῖς ἐκ τῆς ποικιλίας τῶν χρωμάτων.

541. τρίτον ἐστὶ τοῦτο· μετὰ γὰρ τὰ θεῖα καὶ τὰς πόλεις γεώργιόν τι παραλαμβάνει. δαιμονίως δὲ διὰ τῶν ἐπιθέτων ἔδειξεν εἰς ὁποίαν δεῖ γῆν πόνον κατατίθεσθαι, εἰς μαλακὴν καὶ εὔβωλον.

542. εὐρεῖαν] ἀκόλουθόν ἐστι καὶ τοῦτο· ταύτην γὰρ πολλοῖς ζεύγεσί φησιν ἀροῦσθαι ὡς εὐρεῖαν.

5. ἀπάρυσις] ἀπάρρυσις
19. ἄλλον] ἄλλον μὲν
22. στήθεσσι] στήθεσιν
28. ζωὰ—ζωοῖς Bekk.] ζῶα—ζώοις

*τρίπολον] τρὶς ἐστραμμένην καὶ ἠροτριασμένην.

545. δέπας μελιηδέος οἴνου] πλουσίου ὁ ἀγρὸς, παρ' ὃν πονοῦσι μὲν αὐλακίζοντες ἐν βάθει τὴν γῆν, ἀνακτῶνται δὲ αὐτοὺς τῷ πότῳ.

546. ὄγμους] οὔτε τὴν ἐπίστιχον τάξιν φησὶν Ἐπαφρόδιτος, οὔτε παρὰ τὸ οἴγειν· τὰς ἑλκύσεις δέ φησι, παρὰ τὸ ἕλκω, ὄλγμος, ἐξ οὗ καὶ ὄλξ, ἢ τὴν συνέχειαν τῶν αὐλάκων.

547. ἱέμενοι] ἔσπευδον παρὰ τὰ ἔργα διὰ τὸ ἐπὶ χεῖρα αὐτοῖς κεῖσθαι τὴν πόσιν.

548. ἀρηρομένη] ἢ ἐνδεῖ τὸ σίγμα ἀπὸ τοῦ ἀρηροσμένη· ἢ παρὰ τὸ ἀρῶ ἀροτῶ, ἠρότημαι, ἠροτημένη, ἠρομένη· ἢ ἀπὸ τοῦ ἀρῶ ἄρωμι ἀρούς, ἠρομένος, ἠρομένη, Ἀττικῶς ἀρηρομένη.

550. βασιλήϊον] τὸν δεσπότην τοῦ κλήρου βασιλέα φησίν. ἢ βασιλικὸν αὐτῷ περιτίθησι κάλλος, τὸ καλλιστεῦον καὶ ἔντιμον διαγράψαι θέλων.

*οἱ μίσθιοι, οἱ ἐπὶ μισθῷ ἐργαζόμενοι τὴν ἔραν ἢ τὴν γῆν.

551. ἦμων] δαιμονίως πᾶσαν γεωργίας ἰδέαν κατέγραψε τῇ ἀσπίδι, περὶ ἀρότρου, περὶ θερισμοῦ. μετέπειτα δὲ καὶ ἀμπελόφυτον διατυπώσει· τὸ γὰρ ὅλον τοῦ τρόπου διδασκαλικόν ἐστιν.

δρεπάνας] Ἰωνικῶς· οὗτοι γὰρ τρέπουσι πάντα εἰς θηλυκὰ, ὡς τὸ τάφρη καὶ ἀστραγάλη.

552 δράγματα] δραγμάτων γὰρ ἐπιλαβόμενοι θερίζουσι, καὶ τεμόντες ἐῶσι κεῖσθαι· ἄλλοι δὲ δεσμοῦσιν.

*δράγματα δὲ τὰ τῶν χειρῶν πληρώματα.

553. ἀμαλλοδετῆρες] οἱ ἐκ τῶν ἀμαλλῶν δεσμὰ ποιοῦντες. ἐλλεδανοῖσι δὲ τοῖς τῶν ἀσταχύων δεσμοῖς, οὓς οὐλοδέτας καλοῦσιν· οὐλαὶ γὰρ αἱ κριθαί.

557. καὶ τὸ ἐφεστάναι αὐτὸν πιθανόν, καὶ τὸ χαίρειν ἐπὶ τοῖς ἔργοις, καὶ τὸ μὴ κατεπείγοντος αὐτοῦ τὰ ἔργα γίνεσθαι· δεῖ γὰρ μὴ φόβῳ, ἀλλὰ πραότητι τὸν βασιλέα ζητεῖν τὸ ὑπουργεῖσθαι.

560. πάντες οἱ μισθοῦ ἐργαζόμενοι, καὶ μάλιστα οἱ τὴν ἔραν, ἔριθοι λέγονται.

561. σταφυλῇσι μέγα βρίθουσαν ἀλωήν] ὡς ἐν γραφῇ κατακλωμένας βότρυσι δείκνυσι τὰς ἀμπέλους. πάντα δὲ τέλεια ἔγραψε, σελήνην τε πλήθουσαν καὶ τὸ λήϊον βαθὺ καὶ τὴν ἀλωὴν ἤδη κεκαρποφορηκυῖαν, ἵνα περικαλλῆ τὴν φαντασίαν τῶν ἐντετυπωμένων παρεχόντων ὁ δημιουργὸς ἐπαινεθείη.

563. κάμαξι] τοῖς ἀπὸ καλάμων καὶ ξύλων ἀναβαστάγμασι. πολυειδῶς δὲ τὰς ἀμπέλους φράζει. αἱ μὲν γὰρ αὐτῶν χθαμαλαὶ κατ' ὄρχους εἰσὶν, αἱ δὲ σκέπουσαι τὸ σπέος Καλυψοῦς, ἄλλαι δὲ ξύλοις καὶ καλάμοις βασταζόμεναι ὡς νῦν.

564. ἀμφὶ δέ] πρὸς τὸ δυσεπιχείρητον τοῖς κακουργεῖν βουλομένοις εἶναι καὶ ἡ τάφρος ἔσκαπται καὶ τὸ τειχίον προβέβληται· ὅθεν ἐπιφέρει μία δ' οἴη ἀταρπιτός, ὅπως οἱ μὴ δι' αὐτῆς ἰόντες κατάφωροι ὡς κλέπται εἶεν.

567. ἀταλά] καλῶς οἱ θάλλοντες καρποὶ ὑπὸ θαλλόντων σωμάτων φέρονται.

570. Ἀρίσταρχος εἶδος ᾠδῆς τὸν λίνον φησὶν, ὡς παιᾶνα καὶ εἴ τι τοιοῦτον, ἀπὸ Λίνου τοῦ ἥρωος. ἡ δὲ κατὰ τὸν Λίνον ἱστορία παρὰ Φιλοχόρῳ ἱστόρηται. φασὶ γὰρ ὅτι τὸ πρῶτον ἀντὶ χορδῶν λίνῳ ἐχρῶντο πρὸς τὴν κιθάραν. ὁ δὲ ἥρως οὗτος ὁ Λίνος καταλύσας τὸ λίνον πρῶτος χορδαῖς ἐχρήσατο, καὶ διὰ τοῦτο ὑπὸ Ἀπόλλωνος ἀνῃρέθη. φασὶ δὲ αὐτὸν ἐν Θήβαις ταφῆναι καὶ τιμηθῆναι θρηνώδεσιν ᾠδαῖς, ἃς λινῳδίας ἐκάλεσαν. ἔστι δὲ μέλος θρηνητικὸν ὁ λίνος μετ' ἰσχνοφωνίας ᾀδόμενος. ἆρα οὖν ὁ νεανίας διὰ τῆς μιμήσεως ταύτης τὰ κατὰ τὸν Λίνον ᾖδεν; ἐθρηνεῖτο γὰρ οὗτος παρὰ τῶν Μουσῶν οὕτως· "ὦ Λίνε θεοῖσι τετιμημένε, σοὶ γὰρ πρώτῳ μέλος ἔδωκαν ἀθάνατοι ἀνθρώποισι φωναῖς λιγυραῖς ἀεῖσαι· Φοῖβος δέ σε κότῳ ἀναιρεῖ, Μοῦσαι δέ σε θρηνέουσιν." ἡ δὲ ὑπό περιττεύει. τάχα οὖν ᾄδειν τοῖς τρυγῶσι λέγει τὸν νέον πρὸς τέρψιν καὶ ἐπικουφισμὸν τῶν πόνων.

572. τὸ σπαίρειν ὁ ποιητὴς κατὰ Ἀττικοὺς ἀσπαίρειν φησὶ μετὰ τοῦ α, οἷον "ἀσπαίροντα λάων." "ἤσπαιρ' ὥς ὅτε βοῦς" (Il. 13, 571) τὸ δὲ σκαίρειν οὐκέτι. τὸ μὲν οὖν σπαίρειν ἄμουσόν τινα δηλοῖ κίνησιν, ὅ τινες ἐν ἰχθύσι καὶ τῷ δεδεμένῳ βοῒ λαμβάνουσι, τὸ δὲ σκαίρειν ἔμμουσον κίνησιν ὀρχηστικὴν καὶ εὔρυθμον. οἶμαι δὲ ἔγωγε καὶ τῶν ἰχθύων τὸν σπάρον καὶ τὸν σκάρον οὕτω προσηγορεῦσθαι. τῆς κινήσεως οὐχ ὁμοίως ἑκατέρῳ γινομένης, τῷ δὲ σκάρῳ πάντως

1. ἀπὸ Bekkerus] ὑπὸ
8. εἶεν Bekkerus] ἦεν
20. ὦ Λίνε θεοῖσι (sic B, non θεοῖς)—θρηνέουσιν]. De metro et scriptura horum versuum dixit Bergkius in Poetis Lyricis part. 3 p. 1297. Ad veteris huius cantilenae similitudinem compositi sunt quattuor hexametri, qui leguntur in scholio codicis Townleiani et apud Eustath. p. 1163, 59, de quibus v. Bergk. p. 1298.
26. λάων (Od. 19, 229)] λαόν
30. προσηγορεῦσθαι] προσηγορεῦθαι

ὀξυτέρας. καὶ Ὀππιανὸς ἐν τοῖς Ἁλιευτικοῖς (1, 134) φησὶ "καὶ σκάρος, ὃς δὴ μοῦνος ἐν ἰχθύσι φθέγγεται ἰκμαλέην λαλιὴν ἀφείς." καὶ τὴν πολύσκαρθμον Μύριναν (Il. 2, 814) καὶ ὁ Λυκόφρων (243) φησὶ μίαν τῶν Ἀμαζόνων· καὶ εὐσκάρθμους ἵππους ὁ ποιητὴς (Il. 13, 31) καλεῖ.

573. ὀρθοκραιράων] εὔκεροι γὰρ οἱ κάλλιστοι βόες. ὀρθοκραιράων δὲ ὡς πρὸς σύγκρισιν τῶν κριῶν.

574. χρυσοῖο τετεύχατο κασσιτέρου τε] ὑπὲρ τοῦ ἐξαλλαγήν τινα φαίνεσθαι περὶ τὴν χροιὰν τὰς δύο ὕλας παρέλαβεν.

575. μυκηθμῷ] παραδόξως καὶ τὴν φωνὴν ἐμιμήσατο. ὅτε δὲ ἐξίασι τῶν βοοστασίων, ταχεῖς τε καὶ σκιρτῶντές εἰσι· διὸ καὶ τὸ ἐπεσσεύοντο, οἷον μετά τινος ταχυτῆτος καὶ σφοδρότητος ἐπορεύοντο. *κόπρου] βοοστασίου.

576. ῥοδανόν] τὸν ῥᾳδίως ἀναφύοντα, ἢ τὸν εὐκίνητον διὰ λεπτότητα· καὶ ῥοδανίζειν γὰρ αἱ γυναῖκές φασι τὸ συνεχῶς τὴν κρόκην τινάσσειν. οἱ δὲ ῥοανόν ἤτοι ῥευστικόν, κατὰ πλεονασμόν. οἱ δὲ τὸν ἰσχνοκαλαμώδη. Ζηνόδοτος δὲ γράφει κραδαλόν ἀντὶ τοῦ εὐκίνητον, οἱονεὶ κραδανόν τινα ὄντα, παρὰ τὸ κραδαίνεσθαι. λέγει δὲ ὅτι πορεύονται ἐπὶ τὸν καλαμῶνα τὸν δι' ἰσχνότητα καλάμων ἢ ὕψος εὐκράδαντον.

580. ἐρύγμηλον] τὸν τῇ δυνάμει τῶν ἄλλων ἡγούμενον, ἐκ τοῦ ἐρύγω τὸ ὑπερισχύω, ἐξ οὗ καὶ ἐρύγειν τὸ μετὰ βίας ἀνασπᾶν τὸ πνεῦμα· προπαροξύνεται δέ. γίνεται οὖν ἐρύγω ἐρύγηλος καὶ ἐρύγμηλος πλεονασμῷ.

583. λαφύσσετον] ἔδει διὰ τοῦ η̄· ἢ τάχα ἐνεστώς ἐστιν ἀντὶ παρῳχηκότος. δηλοῖ δὲ τὸ ἐπὶ πολὺ κενοῦν.

584. ἐνδίεσαν] ἐδίωκον, παρὰ τὸ δίημι, ὃ δηλοῖ τὸ διώκω.

588. βήσσῃ] οἱ μὲν βόες παρὰ τὸν ποταμόν, αἱ δὲ ὄϊς ἐν βήσσῃ, τουτέστι κοιλώματι γῆς ὥστε βαίνεσθαι, οὐ γεωλόφῳ.

589. σταθμούς] τὰς κατ' ἀγροὺς τῶν θρεμμάτων στάσεις· κλισίας τὰς τῶν ποιμένων οἰκίας, σηκοὺς ἔνθα κοιμῶνται τὰ θρέμματα.

590. χορόν] τὸν πρὸς χορείαν τόπον. δῆλον δὲ ἐκ τοῦ ἐπιφερομένου "ἔνθα μὲν ἠΐθεοι ὠρχεῦντο," ἤτοι ἐν τῷ τόπῳ.

3. Μύριναν καὶ ὁ scripsi pro Μύριννάν ὁ. Scholion totum est Porphyrii, quod paullo aliter scriptum legitur supra p. 23, 7–23. Conf. etiam Epim. Homer. p. 391.

17. κραδαλόν] * ῥαδαλόν recte.

29. * βαίνεσθαι, οὐ] om.

*Θησεὺς παραγενόμενος ἐξ Ἀφιδνῶν εἰς Ἀθήνας νεωστὶ κατέλαβε τὸν δασμὸν ἀποπεμπόμενον Μίνωϊ εἰς Κρήτην, τοὺς δὶς ζʹ ἠϊθέους καὶ παρθένους. ἐτέλουν δὲ τὸν δασμὸν οἱ Ἀθηναῖοι τοῦτον ἐπὶ τῷ δεδολοφονηκέναι Ἀνδρόγεων τὸν παῖδα Μίνωος ἀγωνιζόμενον καὶ νικῶντα παρ' αὐτοῖς τὰ Παναθήναια. ἑκόντα οὖν φασὶν αὐτὸν συγκαταλέξαι τοῖς ἀπιοῦσι, καὶ γενόμενον εἰς Κρήτην ἡδέως ὀφθῆναι ὑπὸ Ἀριάδνης τῆς τοῦ Μίνωος θυγατρὸς, καὶ διὰ τοῦτο τέχνῃ Δαιδάλου σωθῆναι τρόπῳ τοιῷδε. μίτων ἀγαθῖδα ἔδωκε Δαίδαλος τῇ Ἀριάδνῃ, εἰπὼν δοῦναι τῷ Θησεῖ, ὅπως τὴν ἀρχὴν ἐξάψας τῆς εἰσόδου τῆς ἀγαθῖδος, οὕτως ἀνελὼν αὐτὴν εἰσέλθοι εἰς τὸν λαβύρινθον, καὶ περιγενόμενος τοῦ θηρίου πάλιν ἔχοι ῥᾳδίαν τὴν ἔξοδον τοῦ λαβυρίνθου ποικίλως ἐπιπεπλεγμένας ἔχοντος εἰσόδους. ἐξελθὼν δὲ μετὰ τὸ νικῆσαι ὁ Θησεὺς μετὰ τῶν ἠϊθέων καὶ παρθένων, χορὸν τοιοῦτον ἔπλεκεν ἐν κύκλῳ τοῖς θεοῖς, ὁποία καὶ ἡ τοῦ λαβυρίνθου εἴσοδός τε καὶ ἔξοδος ἐγεγόνει, ἧς δὴ χορείας τὴν ἐμπειρίαν ὁ Δαίδαλος αὐτοῖς ὑποδείξας ἐποίησεν. λαβύρινθος δέ ἐστι σπήλαιον δυσέκβατον ἢ τόπος κοχλιώδης.

591. πολυθρύλητον ἐνθάδε τὸ ζήτημα, πῶς ὁ θεὸς τὸν ἄνθρωπον μιμεῖται. καὶ οἱ μὲν ψιλοῦσι τὸ οἷον, συνάπτοντες αὐτὸ τῷ ἴκελον, μιμητὴν τῶν ἔργων Ἡφαίστου ποιοῦντες τὸν Δαίδαλον, ἵν' ᾖ τούτῳ μόνον ὁ Δαίδαλος ἐποίησεν ὅμοιον χορὸν, ὁ δὲ Ἥφαιστος δηλονότι πολλὰ τοιαῦτα εἰργάσατο. ἢ τάχα ἔξεστιν ἐκεῖνο φάσκειν, ὅτι ἐπεὶ πρώην διακεχωρισμένως ἐχόρευον ἄνδρες τε καὶ γυναῖκες. οἱ μετὰ Θησέως σωθέντες ἐκ τοῦ λαβυρίνθου ἠΐθεοι καὶ παρθένοι ἀναμὶξ ἐχόρευσαν, ὅπερ ὁ θεὸς ἐμιμήσατο, οὐ τὴν τέχνην Δαιδάλου. ἴσως δὲ καὶ διδάσκει ὁ ποιητὴς μιμεῖσθαι τὰ χρηστὰ, εἰ καὶ ἐξ εὐτελῶν εἶεν.

593. ἀλφεσίβοιαι] τέλειαι, θρέμματα ἤδη δεξάμεναι παρὰ μνηστήρων.

595. ὀθόνας ἐνδυτηρίους πέπλους, παρὰ τὸ ἔσθος, ἐσθόνη τις οὖσα.

596. ἧκα στίλβοντας ἐλαίῳ] οὐ καταλάμπρους, ἀλλ' ἡσυχῆ ὡς

1. Lemma rubrum ἱστορία.
*Ἀθήνας] θῆβας
4. *Ἀνδρόγεων] ἀνδρόγαιον
5. *φασὶν] φησὶν
8. *μίτων ἀγαθῖδα ἔδωκε] μετ' ἀγαθίδ' δέδωκε

10. ἀγαθῖδος] ἀγαθέτιδος
19–22. *καὶ οἱ μὲν ψιλοῦσι— εἰργάσατο] om.
24. *παρθένοι] παρθένοις
31. οὐ καταλάμπρους] οὐκ ἄγαν λαμπροὺς Vill.

ἔλαιον ἀποστίλβοντας. ὅμοιον δέ ἐστι τῷ "ἡνία λεύκ' ἐλέφαντι" (Il. 5, 583) ἀντὶ τοῦ ἐμφερῆ ἐλέφαντι. λείπει οὖν τὸ ὡς, ὡς ἐλαίῳ.

599. ἐπισταμένοισι] ἐπιστημονικοῖς. τὴν δὲ ὀξύτητα τῆς ἐν κύκλῳ κινήσεως αὐτῶν τροχῷ εἴκασεν· ὀξύτητος γὰρ χάριν τὸ τοῦ κεραμικοῦ τροχοῦ παράδειγμα, ὅς ἐστι τοῦ ἑτέρου τῇ κινήσει ὀξύτερος. καλῶς δὲ καὶ τὸ ἄρμενον· εἴτε γὰρ μείζων εἴτε ἐλάττων γένοιτο, ἐμποδίζει τῇ χρείᾳ. καὶ τὸ πειρήσεται θαυμάσιον· οὐδέπω γὰρ ἐργαζόμενον τὸν τροχὸν ἔλαβεν· ἐν γὰρ τῷ ἐργάζεσθαι ὁ πηλὸς βαρύνων ἐμποδίζει πρὸς τὸ ὀξύ. λέγει δὲ ὅτι ποτὲ μὲν κυκλοτερῆ τὸν δρόμον ἐποιοῦντο, ποτὲ δὲ ἀντιμέτωποι ἀλλήλοις γινόμενοι κατ' ὀρθὸν δι' ἀλλήλων ἔθεον.

604. ἐκ τῆς διαθέσεως τῶν θεωμένων ἐξῆρε τὸ κάλλος καὶ τὴν τέχνην τῶν ὀρχουμένων.

κυβιστητῆρε] οἱ μετὰ κυβιστήσεως ὀρχούμενοι.

609. θώρηκα φαεινότερον πυρὸς αὐγῆς] διὰ τί μὴ πλείονα περὶ τοῦ θώρακος φράζει; φαμὲν ὅτι ἔφθη ἐκφράσαι τὸν Ἀγαμέμνονος θώρακα (Il. 11, 19), ὃς καὶ αὐτὸς ἡφαιστότευκτος ἦν, καὶ νῦν οὐ φράζει, ὡς καὶ τὴν Πατρόκλου πυρὰν δεινολογήσας τὴν Ἕκτορος παρέδραμεν.

612. τῇ μαλακῇ ὕλῃ διὰ τὸ εὐποίητον χρῆται. ἑανοῦ δὲ μαλακοῦ, λεπτοῦ, λαμπροῦ.

613. τὰ πολεμιστήρια ὅπλα ἐκάλεσεν ὁμοίως ἡμῖν. διὰ δὲ τὴν ὑπερβολὴν τῶν κατασκευασμάτων τῷ κάμεν ἐχρήσατο.

615. ἴρηξ ὥς] ὀξεῖαν αὐτῆς τὴν ἀπαλλαγὴν πεποίηκε σπευδούσης τελειῶσαι τὴν ὑπόσχεσιν τῷ παιδί.

ΕΙΣ ΤΗΝ Τ.

1. ῥοάων] Βοιώτιος ἡ φωνή· ποιοῦσι δὲ καὶ ἀπὸ τῶν εἰς ες ἀρσενικῶν· "Ἄρτεμι Κρητάων πότνια·" καὶ ἀπὸ τῶν εἰς ος·

2. τὸ ὡς] ὡς om.
6. κεραμικοῦ Vill.] κεραμεικοῦ
14. ὀρχουμένων Bekkerus] θεωμένων
29. πότνια"] Plenius in cod. Townleiano πότνια τοξοφόρων·" "λαοῦ τοξοχίτωνος ἀκούετε Σειρηνάων" Ἐπίχαρμος. De quo dixit Ahrens. de dial. vol. 2 p. 229.

"καλοὶ νησάων ἀστέρες." καὶ ἀπὸ οὐδετέρων· "βλεφάρων τ᾽ ἄπο κυανεάων."

3. θεοῦ πάρα δῶρα] τὰ παρὰ θεοῦ δωρηθέντα. διὸ ἀναστρεπτέον, ὡς καὶ τὸ "Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο" (10).

4. περικείμενον] περιπεπλεγμένον· διὸ οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν, ὥς φησιν Ἡρωδιανός. μόνον οὐχὶ δὲ διὰ τῆς μεταφορᾶς τὸν τῷ νεκρῷ προσηλωμένον ἐδήλωσεν. ἐπὶ δὲ τῆς γυναικὸς "ἀμφ᾽ αὐτῷ χυμένη" φησί (284). δαιμονίως δὲ ἀμφότερα καὶ λίαν μιμητικῶς.

5. κλαίοντα] πάντας τοὺς ἥρωας ἁπλότητος χάριν εὐχερῶς ἄγει ἐπὶ τὰ δάκρυα. λιγέως δὲ ἡδέως, ὀξέως· "μετὰ γάρ τε καὶ ἄλγεσιν ἥδεται ἀνήρ" (Od. 15, 399).

7, 8. ἔν τ᾽ ἄρα οἱ φῦ χειρί] διὰ μὲν τῆς λέξεως ταύτης δηλοῖ ὅτι μάταιόν τι καὶ περιττὸν ποιεῖ νεκρῷ συμπεπλεγμένος, διὰ δὲ τοῦ ἐάσομεν ὡς συμπάσχουσα ὑπάγεται τὸν παῖδα.

8. πρῶτα] ἅπαξ. ἰότητι δὲ ὁρμῇ, παρὰ τὸ ἰέναι. πάντα δὲ πρὸς τὸ θεῖον ἀναφέρουσι, καὶ μᾶλλον οἱ ἀτυχεῖς.

11. οἷ᾽ οὔ πώ τις ἀνὴρ] νῦν γὰρ φιλοτιμησάμενος Ἥφαιστος κρείττονα τῶν πρώτων εἴργασται. ὁ δὲ τῶν ὅπλων ἔπαινος χρήσιμος εἰς τὸ διεγεῖραι τὸν φιλότιμον Ἀχιλλέα.

13. ἀνέβραχε] ἀντὶ τοῦ φωνὴν ἀφῆκεν. ἔστι δὲ ἡ λέξις πεποιημένη, ὡς τὸ "ἔβραχε δὲ θύρετρα" (Od. 21, 49) καὶ "ἔκλαγξαν ὀϊστοί" (Il. 1, 56). οὐκ ἄρα οὖν ἔμψυχα ἦν. ἀλλ᾽ ἤχησαν. οἱ δὲ Μυρμιδόνες τὸ κάλλος ἐκπλήττονται, ἀντοφθαλμεῖν μὴ δυνάμενοι.

16. ὥς μιν μᾶλλον ἔδυ χόλος] πολλὴ ἡ τῶν ἄλλων ὑπεροχή· οὐ μόνον γὰρ παραμένει, ἀλλὰ καὶ θυμοῦται ὑπὲρ τῆς τῶν Τρώων ἀφαιρέσεως· ἠρέθισται γὰρ τῇ ὁμοιότητι. ἢ ὅτι "αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος" (Od. 16, 294).

17. ὡσεὶ σέλας ἐξεφαάνθη] ὡς πῦρ ἐφάνησαν ὑπὸ τοῦ θυμοῦ. σέλας δὲ κυρίως τὸ νυκτερινὸν φῶς, ἀφ᾽ οὗ καὶ σελήνη· ἢ πᾶν πῦρ, παρὰ τὸ σαλεύεσθαι.

18. ἐν χείρεσσιν ἔχων] ψηλαφῶν· οὐ γὰρ εἰς χεῖρας αὐτῷ ταῦτα ἀνετίθετο.

30. ὑπὸ τοῦ θυμοῦ] * ὑπό τε θυμοῦ καὶ τῆς ἀνταυγάσεως τῶν ὅπλων. 34. ἀνετίθετο Vill.] ἀνέθετο

21. ὅπλα μὲν πάντα κοινῶς τὰ συντελοῦντα εἰς χρείαν τινά· νῦν δὲ τὰ πολεμικά φησιν.

ἐν ἑαυτῷ τὸ πρᾶγμα τὴν ὑπερβολὴν ἔχον ὑπεροχὴν οὐκ ἐπιδέχεται μείζονα.

24. ἄλκιμον υἱόν] τὸν τότε, οὐ τὸν νῦν· ἁρμόζει δὲ τῇ συμπαθείᾳ ἡ τῆς ἀλκῆς ὑπόμνησις, καὶ τῆς αἰκίας αὐτὸν ἐλεεῖ. καὶ τὸ "μή μοι" δὲ πολλῆς ἐστὶ φιλίας καὶ συμπαθείας.

25. μυῖαι καδδῦσαι] ἐντίκτουσι γὰρ αἱ μυῖαί τι ταῖς σαρξὶν, ἐξ ὧν οἱ σκώληκες γίνονται. χαλκότυπος δὲ ἡ χαλκῷ τετυπωμένη. συλληπτικῶς δὲ εἶπε πάσας ὠτειλάς· πεσόντα γὰρ πολλοὶ ἔτρωσαν, ὡς καὶ Ἕκτορα· "οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη" (Il. 22, 371). ὀξυτόνως δὲ τὰς εὐλάς, ὅπερ ἀπὸ τῆς εἰλήσεως παρῆκται.

27. *ἀπογυμνωθῇ δὲ καὶ φανερωθῇ ὁ αἰὼν, ἤγουν ὁ νωτιαῖος μυελός.

κατὰ δὲ χρόα πάντα σαπήῃ] ὁ νεκρὸς κατασαπῇ τὸν χρόα· Ἀττικῶς δὲ ἔχει ἡ σύνταξις.

30. ἄγρια νῦν τὰ θρασέα καὶ ἀναιδῆ καλεῖ. ἀρηϊφάτους δὲ τοὺς ὑπὸ σιδήρου πεφονευμένους.

32. τελεσφόρον] τὸν εἰς τέλος φέροντα τὰ φυόμενα.

36. ἀλκήν] τινὲς τὴν πανοπλίαν· ἔστι δὲ ὅμοιον τῷ "ἀναιδείην ἐπιειμένε" (Il. 1, 149).

44. σίτοιο] σῖτος μὲν καλεῖται καὶ ὁ κατειργασμένος καὶ ὁ ἀκατέργαστος, πυρὸς δὲ μόνος ὁ ἀκατέργαστος. ἔνδειξιν δὲ τῆς ἀρετῆς Ἀχιλλέως ἔχει ἡ τοῦ τοσούτου πλήθους σύνοδος.

46. ἐξεφάνη] αἰφνιδίως ὤφθη. ὁ δὲ δέ ἀντὶ τοῦ γάρ.

49. ἔγχει] ἑκάτερος τῷ ἰδίῳ, ὡς τὸ "φεύγωμεν φίλην ἐς πατρίδα γαῖαν" (Il. 2, 140).

56. ἆρά σοι δοκεῖ τὰ τῆς ἔριδος καλῶς ἡμῖν προκεχωρηκέναι; ὁ γὰρ Ἡρωδιανὸς τὸν ἦ σύνδεσμον περισπᾷ· ἔστι γάρ, φησὶν, ἀρκτικὸς, τῆς κλητικῆς ἀνάπαυσιν δεχομένης. τινὲς δὲ καθ' ὑπερβατὸν αὐτὸν ποιοῦντες συντάσσουσι τῷ ὅτε νῶΐ περ, ἵνα τὸ ὅλον τοιοῦτον ᾖ· ἄρτι τοῦτο ἀμφοτέροις ἔπλετο ἄρειον ἤπερ ὅτε ἡμεῖς ἀχνύμενοι μενεήναμεν.

58. ἔριδι μενεήναμεν] ὡς τὸ "ἔριδι συνέηκε" (Il. 1, 8). πιθανῶς

8. * τι] om.

δὲ ἐπ' ἄμφω τὴν αἰτίαν ἤγαγε, καὶ κούρην, οὐ γέρας αὐτὴν καλεῖ, ταῖς διαλλαγαῖς πρεπόντως τὰς ἀληθείας ἐκτιθείς.

59. ἐν νήεσσι] παραυτὰ ὅτε ἐνέβη ἐπὶ τῆς νεὼς μετὰ τῆς ἄλλης λείας. δεινοποιεῖ δὲ τὸν λόγον διὰ τὴν Πατρόκλου τελευτήν.

62. ὑφ' ἓν τὸ ἀπομηνίσαντος. ἡ δὲ ἀπό ἀντὶ τῆς ἐπί, ὡς τὸ "Πριάμῳ ἐπεμήνιε δίῳ" (Il. 13, 460). ἢ παντελῶς μηνίσαντος.

63. Ἕκτορι] ὁ μὲν Νέστωρ ἔλεγεν "ἦ κεν γηθήσαι Πρίαμος" (Il. 1, 255)· ὁ δὲ παρωξυμμένος ἀντὶ τοῦ Πριάμου τὸν Ἕκτορα λαμβάνει.

64. δηρόν] τῶν γὰρ κακῶν μόλις ἐπιλανθανόμεθα· διὸ καὶ ἄλαστα καλοῦνται.

65. προτετύχθαι] προγενέσθαι αὐτὰ λογισώμεθα καὶ μὴ νῦν εἶναι.

68. *ἀσκελέως] ἀντὶ τοῦ ἄγαν σκληρῶς· σκέλλειν γάρ ἐστι τὸ σκληροποιεῖν, καὶ ὁ σκέλετος κατεσκληκὼς διὰ τὴν ἀσαρκίαν, καὶ Ἀσκληπιὸς κατὰ στέρησιν ἠπιότητος ὁ διὰ ἰατρικῆς μὴ ἐῶν σκέλλεσθαι. οἱ δὲ ἀπέδωκαν ἀσκελέως ἀδιαλείπτως κατὰ μέμψιν. τὸ γὰρ ἀσκελὲς ἄβατον, ἀπόρευτον.

69. ὄτρυνον πόλεμόνδε] τὴν ἐξουσίαν τῆς ἐξόδου τῷ βασιλεῖ ἀναφέρει.

71. ἰαύειν] παραυλίζεσθαι. σαρκαστικὸς δὲ ὁ λόγος.

72. ἀσπασίως] ἡδέως, ἢ ἀπροσδοκήτως. τοῦτο δὲ διὰ τὴν σύντονον φυγήν.

*Πορφυρίου. γόνυ κάμψειν] οἱ φεύγοντες τεταμένον ἔχουσι τὸ γόνυ, οἱ δὲ καθήμενοι κεκαμμένον. ἀσπασίως οὖν, φησὶ, καθεδεῖταί τις τῶν φευγόντων ἐκ τοῦ πολέμου, ὃς καὶ ἀναπαύσει αὐτὸν καὶ τὰ σκέλη, ἐκ τοῦ συντόνου τῆς φυγῆς δρόμου καθίσας.

76. τοῖσι] τούτοις οἷς Ἀχιλλεὺς ἐδημηγόρησεν.

77. αὐτόθεν ἐξ ἕδρης] μὴ ἀναστάς· φησὶ γοῦν ἑξῆς "ἂν δ' Ἀγαμέμνων ἵστατο" (249). ἢ οὐ προελθὼν εἰς μέσην τὴν ἐκκλησίαν, ἵν' ᾖ, ἀναστὰς ἐδημηγόρει οὐκ ἐν μέσοις, ἀλλ' ἐκ τῆς ἕδρας τῶν βασιλέων. Ἐπαφρόδιτος δέ φησιν ὅτι καθεζόμενος ἐδημηγόρει, ὅπως μὴ ἔκπυστοι οἱ μῦθοι γένωνται ταπεινοὶ ὄντες· ἢ ὅτι τὸ τραῦμα αὐτὸν ἵστασθαι οὐκ ἐᾷ.

79. *ἑσταότος μὲν — ἐῶν ἀγορητής] Ἀρίσταρχος οὖν ᾤήθη

3. νεὼς] νεὸς 24. *Πορφυρίου] om.

παραίτησιν εἶναι τὸν λόγον, ὡς διὰ τὸ τετρῶσθαι τοῦ Ἀγαμέμνονος συγχωρεῖν ἀξιοῦντος εἰ καθήμενος λέγει· καί φησι, διὰ τοῦτο ἐνέθηκε τὸ "αὐτόθεν ἐξ ἕδρης οὐδ' ἐν μέσσοισιν ἀναστάς." ἄτοπος δὲ ἡ παραίτησις· οὐ γὰρ τὸν πόδα, ἀλλὰ τὴν χεῖρα τέτρωται, καὶ τὴν χεῖρα δὲ οὕτως ἔρρωτο ὥστε ὀλίγον ὕστερον αὐτὸς τὸν κάπρον ἀποσφάττει. κἂν προσκείμενον δὲ τῷ στίχῳ ᾖ τὸ "αὐτόθεν ἐξ ἕδρης," ἀκουσόμεθα ἐκ τοῦ τῶν ἀριστέων συνεδρίου, ὥστ' ἐν ἐκείνοις ὄντα λέγειν αὐτὸν καὶ οὐκ ἐν μέσῳ τῷ πλήθει. Ἀπολλώνιος μὲν οὖν ὁ διδάσκαλος ἡμῶν, καὶ αὐτὸς συγκαταθέμενος ὅτι ἕστηκεν ὁ Ἀγαμέμνων, παραιτεῖται, φησὶ, τὸν ὑποβολέα ὡς ἂν ἐκ τοῦ αὐτοσχεδίου λέγειν μέλλων· ἐμοῦ γάρ φησιν ἀκούσατε, καὶ μηδείς μοι ὑποβαλλέτω, ἵν' εἴπω· χαλεπὸν γὰρ τὸ ὑποβαλλόντων ἀκούειν τῷ ἐπιστήμονι τοῦ λέγειν. καὶ πῶς γὰρ ἄν τις ἐν πολλῷ ὁμάδῳ ἀκούσειε τοῦ ὑποβάλλοντος, ἢ ὁ ἀκούσας εἴποι; ὥστε καὶ λιγὺν ὄντα δημηγόρον, καὶ δύναμιν ἔχοντα τοῦ αὐτοσχεδιάζειν, βλάπτεσθαι ἐμποδιζόμενον τῷ ἐξ ὑποβολῆς λέγειν ἐν πολλῷ θορύβῳ. εἶχε δ' ἄν τινα λόγον ἡ ἐξήγησις, εἰ ἐγίνωσκεν Ὅμηρος τὸ τοιοῦτον εἶδος τῆς δημηγορίας, λέγω δὲ τὸ ἐξ ἀναγνώσεως καὶ γραφῆς ὑποβαλλόμενον. Ἀλέξανδρος δὲ ὁ Κοτιαεύς φησι λέγων· καλῶς ἔχει τὸ ἑστῶτος τοῦ δημηγοροῦντος ἀκούειν, καὶ μὴ ὑποκρούειν αὐτὸν καὶ ἐμποδίζειν· τοῦτο γὰρ σημαίνει τὸ ὑββάλλειν· χαλεπὸν γὰρ καὶ τῷ πάνυ δεινῷ ἐν ταραχῇ εἰπεῖν. τὸ γὰρ "χαλεπὸν ἐπιστάμενόν περ ἐόντα" κατὰ Ἀττικὴν συνήθειαν πλεονάζει τὸ ἐόντα· ἐκείνοις γὰρ ἦν σύνηθες λέγειν "μὴ προδοὺς ἡμᾶς γένῃ" ἀντὶ τοῦ μὴ προδῷς καὶ "παίζεις ἔχων" ἀντὶ τοῦ διαπαίζεις. καὶ ἐνταῦθα χαλεπὸν γὰρ ἐπιστάμενόν περ ἐόντα, ἀντὶ τοῦ τὸν ἐπιστάμενον θορυβεῖσθαι χαλεπὸν, ὡς καὶ τοῦ ἐπιστήμονος ῥήτορος ἐν θορύβῳ χαλεπῶς δημηγοροῦντος. ἐμοὶ δὲ δοκεῖ δύνασθαί τινα οὕτως ἀποδιδόναι τὴν διάνοιαν. ἐκκλησίας ἀθροισθείσης ὁ Ἀγαμέμνων παύει προοιμιαζόμενος τὸν θόρυβον, λέγων ὡς ἡ ἐκκλησία οὐ πρὸς αὐτοὺς ἔχει τὴν ἀπότασιν, οὐδὲ δεῖν νῦν ὑποκρούειν, ζητοῦντας μαθεῖν τίνος ἕνεκα συνεληλύθασιν· χαλεπὸν γὰρ θορυβεῖν τὸν ἐπιστάμενον τὰ ὄντα. τίνα δὲ ἦν τὰ ὄντα πάντες που ἐγίνωσκον, ὅτι ἐμήνισαν πρὸς ἀλλήλους Ἀχιλλεὺς καὶ Ἀγαμέμνων

10. παραιτεῖται Bekkerus] παραιτεῖσθα
11. ὑποβαλλέτω] ὑποβα^λέτω
13. ἀκούσειε] ἀκοῦ'
23. μὴ—γένῃ] Soph. Ai. 588.
25. γὰρ] περ
30. δεῖν Vill.] δεῖ

καὶ ὅτι νῦν κατηλλάγησαν, καὶ ὅτι ἡ σύνοδος διὰ τοῦτο· τὸ οὖν ἐπιστάμενόν περ ἐόντα τὰ ὄντα λέγει καὶ ἐνεστῶτα τὸν καθ' ἕκαστον αὐτῶν ἐπίστασθαι, ὡς ἔφη που "ὃς ἤδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα" (Il. 1, 70). χαλεπὸν οὖν καὶ δεινὸν πρᾶγμά ἐστι τὸ ἐπιστάμενον τὰ ὄντα καὶ ἐνεστηκότα θορυβεῖν, πυνθανόμενον καὶ ἀγνοοῦντα, ἢ ζητοῦντα περὶ ὧν οἶδεν ἀκούειν. καὶ ὅτι τοῦτο νοεῖ, δῆλον δι' ὧν ἐπάγει "Πηλείδῃ μὲν ἐγὼν ἐνδείξομαι, αὐτὰρ οἱ ἄλλοι σύνθεσθ' Ἀργεῖοι ἠμὲν νέοι ἠδὲ γέροντες." λέγει γὰρ ὅτι ἡ ἀπότασις μὲν τοῦ λόγου πρὸς τὸν Ἀχιλλέα ἐστὶν, οὐ πρὸς ὑμᾶς τοὺς εἰδότας δι' ἃ συνεληλύθαμεν. ἔστιν οὖν ὁ νοῦς· μὴ θορυβεῖτε, ὦ ἄνδρες, ὑποκρούοντες διὰ τί συνεληλύθαμεν· ἐπίστασθε γὰρ τὰ πάντα, καὶ ὁ λόγος μοι τὰ νῦν οὐ πρὸς ὑμᾶς, ἀλλὰ πρὸς τὸν Ἀχιλλέα ἔχει τὴν ἀπότασιν· χαλεπὸν γὰρ τοὺς εἰδότας τὴν αἰτίαν τῆς συνόδου ὡς μὴ εἰδότας θορυβεῖν, καὶ διὰ τοῦτο ἐμποδίζειν καὶ τῷ λέγοντι καὶ τῷ ἀκούοντι, πρὸς ὃν ὁ λόγος ὁ παρὼν ἕστηκε. πολλὰ δὲ τοιαῦτα καὶ παρὰ τοῖς ῥήτορσι προοίμια ἐπιγράφεται πρὸς τοὺς θορύβους.

* εἰδὼς ὁ Ἀγαμέμνων ὅτι μέλλει θορυβεῖσθαι ὡς αἴτιος γεγονὼς φθορᾶς τῇ Ἑλληνικῇ στρατιᾷ, ἡσυχίαν ἑαυτῷ προκατασκευάζει λέγων δύσκολον εἶναι ἐν πολλῷ θορύβῳ διαλέγεσθαι. ἔνιοι δὲ καθεζόμενον τὸν Ἀχιλλέα ὑπενόησαν δημηγορεῖν.

τινὲς ἑσταότως ἀντὶ τοῦ εὐσταθῶς, ἡσύχως, ἀρκούντως, ἐθελόντως. οἱ δέ φασι τοὺς φιλαχιλλεῖς κραυγάζειν καὶ ὑποκρούεσθαι τὸν λόγον, ὡς τὸ "τὸν δ' ἄρ' ὑποβλήδην ἠμείβετο δῖος Ἀχιλλεύς" (Il. 1, 292). καλὸν οὖν, φησὶ, σιωπῇ τοῦ ἑσταότος ἀκούειν, καὶ μὴ διακόπτειν ἐξ ὑποβολῆς τὸν λόγον· ὑββάλλειν γὰρ τὸ ὑποκρούεσθαι θορύβῳ τὸν λέγοντα.

82. βλάβεται] βλάπτω βλάβω ὡς κρύπτω κρύβω. λέγει δὲ ὅτι κἂν λίαν τίς ἐστι σοφὸς, οἱ δὲ λαοὶ μὴ γλωσσοκρατοῖεν, βλάπτεται καὶ οἷον ἐπιλήσμων τῶν λόγων γίνεται.

83. ἐνδείξομαι] οἷον τὴν ἀπότασιν τῶν λόγων πρὸς Ἀχιλλέα ποιήσομαι φανερῶς.

οἷον διαλέξομαι καὶ πρὸς αὐτὸν ἀπερείσω τὸν λόγον· ὅθεν καὶ ἀριδείκετος, πρὸς ὅν τις δι' ἀξίωμα τὸν λόγον ἀπερείδει. τὸ δὲ σύνθεσθε δηλοῖ τὸ κατὰ νοῦν λάβετε. βούλεται δὲ αὐτὸν ταπεινοῖς εὐμενίσασθαι λόγοις, καὶ οὐχ ὑψηγορεῖ.

11. ὑποκρούοντες] ἀκούοντες Vill. 25. ὑββάλλειν] ὑβάλλειν

85. τοῦτον] ποῖον τοῦτον; τὸν "ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον" (56). εὔνοιαν δὲ αὐτοῖς παρ' Ἀχιλλέως πορίζεται ὡς ἀγανακτήσασιν ἐπὶ τῇ ὕβρει αὐτοῦ· ἐλελύπητο γὰρ καὶ εἰς Ἕλληνας ὡς μὴ ἐπαμύναντας τῷ δι' αὐτοὺς ὑβρισθέντι.

86. καί τέ με νεικείεσκον] ὁ γὰρ Νέστωρ φησὶ "σὺ δὲ σῷ μεγαλήτορι θυμῷ εἴξας, ὃν ἀθάνατοί περ ἔτισαν, ἠτίμησας" (Il. 9, 109). Θερσίτης "ὃς καὶ νῦν Ἀχιλῆα, ἕο μέγ' ἀμείνονα φῶτα, ἠτίμησεν" (Il. 2, 240). πιθανῶς δὲ οὐκ ἐπὶ ὁπότερον αὐτῶν ἄγει τὴν αἰτίαν. καὶ νῦν γὰρ οἱ ἀδυνατοῦντες ἀπ' αὐτῆς τῆς ἀληθείας ἀπολογεῖσθαι τῇ τύχῃ τῆς εἱμαρμένης τὸ ὅλον ἀναφέρουσιν αἴτιον.

87. τινὲς τὸ η̄ ἄρθρον ἐδέξαντο, ἵν' ᾖ ἡ ἐροφοῖτις, παρὰ τὴν ἔραν, ἡ ἐν τῇ γῇ φοιτῶσα ἢ οἷον ἐρεβοφοῖτις. ἄμεινον δὲ γράφειν ἠεροφοῖτις, ὅ ἐστιν ἡ ἐξ ἀφανοῦς φοιτῶσα. οὕτως Ἡρωδιανός.

89. Ἀχιλλῆος γέρας] ἐκ τοῦ πρὸς αὐτὸν εἰς τὸν περὶ αὐτοῦ.

90. στικτέον εἰς τὸ ῥέξαιμι καὶ εἰς τὸ τέλος τοῦ στίχου, ἵν' ᾖ οὗτος μὲν καθολικὸς ὁ λόγος, θεὸς τὸ πάντων ἔχει τέλος, τὸ δὲ ἑξῆς ἀπὸ ἄλλης ἀρχῆς, ἵνα λείπῃ τὸ ἐστίν, ὡς ἔθος. τὴν δὲ διά ὁ μὲν Ἀσκαλωνίτης περισσὴν ἡγεῖται, ὁ δὲ Δίδυμος σημαίνειν τὸ διόλου, ὡς καὶ διαλείτης ὁ διόλου ἁμαρτάνων, ἢ δι' ἑαυτῆς πάντα τελεῖ. Λεσβοκλῆς δὲ διαιρεῖ εἰς τὸν δή σύνδεσμον καὶ τὸ ἴα ὄνομα, ἵν' ᾖ μία δὴ θεὸς ἡ Ἄτη τὸ πάντων ἔχει τέλος.

91. πρέσβα Διὸς θυγάτηρ] κατ' εὐφημισμὸν ὁ λόγος, οἷον καθὸ θεὸς, πρέσβα πᾶσι καὶ τιμία, ἐπεὶ πῶς αὐτὴν οὐλομένην καλεῖ; τὸ δὲ πρέσβα ἀπὸ τοῦ πρέσβεια συγκέκοπται. συγγνώμην δὲ ἑαυτῷ πορίζόμενος ὡς θεοβλαβεῖ αὔξει τὴν δαίμονα, ὡς ὑπὸ μεγίστης θεοῦ βλαπτόμενος, καὶ ἵνα τοὺς ἁμαρτάνοντας μὴ μέμφοιτό τις.

92. ἁπαλοὶ πόδες] λανθάνει γὰρ ἐπιφοιτῶσα· ἢ ὅτι αἱ πρῶται τῆς Ἄτης ἀρχαὶ ἁπαλαί. ὅταν δὲ εἴπῃ "ἡ δ' Ἄτη σθεναρή τε καὶ ἀρτίπους" (Il. 9, 505), τὴν τοὺς ὑβρίσαντας ἱκέτην μετερχομένην δηλοῖ.

93. κατ' ἀνδρῶν κράατα] οὐ γὰρ πίπτει βλάβη οὐδεμία χαμαὶ, ἀλλ' εἰς κεφαλήν τινος ἀποσκήπτει τὴν ἀτυχίαν, καὶ ἐπὶ κράατα βαίνει τὸν νοῦν βλάπτουσα, ὅς ἐστιν ἐν τῇ κεφαλῇ· ἢ ὅτι ταπει-

7. * ἕο] om.
14. αὐτοῦ] αὐτόν. Conf. ad 16, 787.
18. περισσὴν] περισσὸν
20. εἰς addidit Bekkerus.
22. εὐφημισμὸν] εὐφημησμὸν

νοῦσα αὐτοὺς ταῖς κεφαλαῖς ἐπίκειται καὶ ἐπικαταθλᾷ αὐτάς. ἡ δὲ κατά ἀντὶ τῆς ἐπί, ἵν' ᾖ ἐπὶ ἀνδρῶν κράατα.

94. ἕτερον] τὸν ἕνα τῶν παροργισάντων. ἢ οὐκ ἐμὲ μόνον, ἀλλὰ καὶ ἕτερον.

95. ἐν οἷς ἐλεεινολογεῖται ὑψοῖ ἑαυτὸν, εἰκάζων τῷ μεγίστῳ θεῷ· μακρολογεῖ δὲ, θεραπεύων Ἀχιλλέα, ὡς οὐκ αὐτὸς αὐτῷ τῆς ἀπωλείας αἴτιος Πατρόκλου· καλῶς δὲ καὶ ἐκ Πελοποννήσου τὸ παράδειγμα ἔλαβεν.

96. φάσ'] ἄδηλα γὰρ τὰ περὶ θεῶν. ἢ φασιν ὅτι καὶ τὸν Ζῆν' ἄσατο, ὅ ἐστιν ἔβλαψεν.

97. διὰ τοῦ θῆλυς οὐ μόνον τὴν φύσιν, ἀλλὰ καὶ τὸ ἀσθενὲς παρέστησεν αὐτῆς τὸ πρὸς τὸν Δία.

100. διαβεβαιούμενος· δεόντως δὲ εἰς τοῦτο ἦλθε τὸ διήγημα· ὡς γὰρ ἠνιᾶτο Ζεὺς ὁρῶν τὸν Ἡρακλέα ὑποτασσόμενον, οὕτω κἀγώ. πῶς δὲ τὰ παρὰ θεοῖς οἶδε γινόμενα; ῥητέον δὲ ὅτι κοινὸν ὄντα τὸν μῦθον παρείληφεν.

103. μογοστόκος] ἡ παραιρουμένη τὸν μόγον τῶν τοκετῶν.

104. ἐκφανεῖ] ἐξαγάγῃ πρὸς τὸ φῶς καὶ φανερώσει, ὅ ἐστι γεννηθῆναι ποιήσει.

105. τῶν] τούτων· λείπει δὲ τὸ τῶν ἄρθρον, ὡς τὸ "εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν" (Od. 2, 206), ἵν' ᾖ τῆς γενεῆς τούτων τῶν ἀνδρῶν. μεγάλη δὲ παραίνεσις πρὸς τὸ μὴ ἐπιορκεῖν, εἴ γε καὶ ἀμφιβόλου ὄντος τοῦ "ἐξ ἐμεῦ αἵματος"—δηλοῖ γὰρ καὶ υἱοὺς καὶ ἀπογόνους—οὐ παρέβη ὁ Ζεὺς τὸ ἐπάγγελμα.

αἵματος] μεταφορικῶς ἀντὶ τοῦ γένους, ὡς καὶ παρ' ἡμῖν ἔτι λέγεται, ὁ γὰρ παῖς οὗτος αἷμά μού ἐστιν.

107. εἰκότως ψεύδεσθαι αὐτόν φησιν, ἐρεθίζουσα ἐπὶ τὸν ὅρκον.

108. διὰ τί μὴ νεῦσαι αὐτὸν κελεύει; ἢ τάχα φοβουμένη μὴ μετατεθῇ, ἐπὶ τὸ ἰσχυρότερον ἔρχεται.

110. μετὰ ποσσὶ γυναικός] μεταξὺ τῶν τῆς γυναικὸς ποδῶν. εὐσχημόνως δὲ καὶ σοφῶς ἀνήνεγκε τὴν λοχείαν.

115. ἤδη] ᾔδεεν ἡ Ἥρα.

116. Περσηϊάδαο] πέντε γὰρ παῖδες γεγόνασι Περσέως, Ἀλκαῖος Ἠλεκτρύων, Μήστωρ, Ἕλειος, Σθένελος, οὗ Εὐρυσθεύς.

117. μείς] Ἰωνικόν ἐστι, καὶ κλίνεται τῷ μήν ὁμοίως.

118. *ἡ πρό δηλοῖ τὸ πρὸ τοῦ δέοντος. καὶ ἠλιτόμηνον δὲ καλεῖ τὸν ἡμαρτηκότα τῶν δεόντων μηνῶν.

*ἠλιτόμηνον] ἤγουν τῶν θ̄. ἑπταμηνιαῖος γὰρ ὁ Εὐρυσθεὺς ἦν. ἀλιτεῖν οὖν τὸ ἀποτυχεῖν.

119. Εἰλειθυίας] ὠδῖνας κατὰ μετωνυμίαν, ὡς Ἄρης ὁ σίδηρος καὶ τὸ πῦρ Ἥφαιστος.

*Ζεὺς μιγεὶς τῇ Ἠλεκτρύονος Ἀλκμήνῃ (ὃν τρόπον, εἴρηται ἐν τῇ Ξ) ἔγκυον κατέστησε, μελλούσης δὲ τίκτειν ὤμοσεν ἐν θεοῖς τὸν ἐκείνῃ τῇ ἡμέρᾳ γεννηθέντα τῶν ἐξ αὐτοῦ βασιλεύσειν. Ἥρα δὲ ζηλοτύπως διατεθεῖσα τὰς μὲν Ἀλκμήνης ὠδῖνας ἐπέσχεν, Ἀντιβίαν δέ, ἥν τινες Νικίππην εἶπον, τὴν Σθενέλου γυναῖκα, κυοφοροῦσαν Εὐρυσθέα ἑπτάμηνον τεκεῖν ἐποίησεν· ὅθεν καὶ τὰ ἑπτάμηνα γεννώμενα ζωῆς μοῖραν εἴληχε. βασιλεύων δὲ Εὐρυσθεὺς Ἡρακλεῖ τοὺς ἄθλους ἐπέτασσεν, οὓς τελειώσας κατὰ τὰς Ἀθηνᾶς καὶ Ἀπόλλωνος ὑποσχέσεις ἀθανασίας μετέλαβεν. ἡ ἱστορία παρὰ Ῥιανῷ.

120. ἀγγελέουσα] μέλλουσα ἀπαγγέλλειν τὰ γεγονότα.

123. βέλτιον στίζειν εἰς τὸ Περσηϊάδαο, καὶ καθ' ἑαυτὸ τὸ σὸν γένος ἐᾶν, ἵνα λείπῃ τὸ ἐστίν.

126. *λιπαροπλοκάμοιο] εὐτρίχου.

οἱ μέν, ἀπὸ τῆς ἑαυτοῦ κεφαλῆς τῆς λιπαροπλοκάμου εἷλε τὴν Ἄτην· φησὶ γὰρ (93) „ἀνδρῶν καὶ θεῶν κράατα βαίνει.“ ἀλλ' οὐδέποτε πλοκάμους ἐπὶ ἀνδρὸς εἶπε. τί οὖν ἐστὶ τὸ „πλοχμοί θ' οἳ χρυσῷ τε καὶ ἀργύρῳ“ (Il. 17, 52); οἱ δὲ τὸ κεφαλῆς λιπαροπλοκάμου ἐπὶ τῆς Ἄτης ἤκουσαν· ἀλλ' οὐδέποτε κεφαλῆς ῥιπτοῦνται παρ' Ὁμήρῳ, ἀλλ' ἢ ποδός, ὡς Ἥφαιστος (Il. 1, 591), ἢ χειρός, ὡς Ἀστυάναξ (Il. 24, 735) „ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου.“ ἐροῦμεν δὲ ὅτι ἐκεῖνοι ἄρρενες ἦσαν· ἄτοπον δὲ γυναικὶ ῥίπτεσθαι ποδός. λιπαροπλόκαμος δ' ἡ Ἄτη, ὅτι ξηρασίας αἰτία τοῖς βλαπτομένοις, ὡς καὶ Ὕπνος γρηγορῶν τοὺς ἄλλους ὑπνοῦν ποιεῖ.

131. ἔργ' ἀνθρώπων] τὴν γῆν· ταύτην γὰρ ἐργάζονται οἱ ἄνθρωποι. εἰς Ἴλιον δὲ ἠνέχθαι φασίν, ἀφ' οὗ καὶ Ἄτης λόφος.

9. * βασιλεύσειν] βασιλεύειν

10. * Ἀντιβίαν] ἀντίβειαν

15. * ἡ ἱστορία παρὰ Ῥιανῷ (sic Heynius pro ἀριανῷ)] om.

32. καὶ Ἄτης Bekkerus] καί τις. V. Heyn. ad Apollod. 3, 12, 3.

132. τήν] δι' ἥν. ἐπαινετέον δὲ τὸ ἀψευδὲς Διός· οὐ γὰρ εἶπεν ὡς Εὐριπίδης (Hippol. 611) "ἡ γλῶσσ' ὀμώμοκεν."

139. ἄλλους] ἢ σύμπαντας (ἀποδίδωσι γὰρ αὐτῷ πάλιν τὴν στρατηγίαν) ἢ τοὺς Μυρμιδόνας πάντας.

140. παρασχεῖν] ἀντὶ τοῦ παράσχω· ἢ λείπει τὸ ἕτοιμός εἰμι. μεγαλοφρόνως δὲ καίτοι αὐτοματίζοντι Ἀχιλλεῖ δῶρα δίδωσιν.

141. χθιζός] τῇ νυκτὶ τῆς χθὲς ἡμέρας· οὐ γὰρ ἄλλως τὸ χθὲς συμφωνήσει. φαίνεται οὖν εἰδὼς προϋποστᾶσαν τὴν νύκτα τῆς ἡμέρας.

142. Ἄρηος] ἀπὸ τοῦ πολέμου εἰς τὸν πόλεμον.

143. οὐδαμοῦ τῆς Ἰλιάδος θεράποντας καλεῖ τοὺς δούλους, ἀλλὰ τοὺς ὑποδεεστέρους καὶ ὑπηρετικοὺς τῶν φίλων. τὸ δὲ οἴσουσι συλληπτικῶς· τὰ γὰρ ἔμψυχα οὐ φέρονται, ἀλλὰ ἄγονται.

147. ὑποστικτέον εἰς τὸ ἐθέλησθα, τοῦ παρασχέμεν ἀντὶ τοῦ πάρασχε κειμένου καὶ τοῦ ἐχέμεν ἀντὶ τοῦ ἔχε. ἡ δὲ ἔπειτα συλλαβὴ παροξυνομένη (148) σημαίνει τὸ πάρεστιν.

148. ὑποστικτέον εἰς τὸ ἐχέμεν· καλῶς δὲ καὶ δέχεσθαί φησι τὰ δῶρα, ἵνα μὴ εὐτελίζειν αὐτὰ δοκῇ, καὶ συγχωρεῖν, ὅπως μὴ ἐπὶ μισθῷ πολεμοίη, ἀλλ' ἐπὶ ἐκδικήσει τοῦ φίλου.

149. κλοτοπεύειν] τινὲς καλολογεῖν, οἱονεὶ κλυτεπεύειν. ἢ κλέπτειν τὴν μάχην.

*ἢ ὡς ἔνιοι, στρατεύεσθαι· τουτέστιν οὐ χρὴ ἐνταῦθα ὄντας στρατεύεσθαι, ἀλλ' ἐν τῷ πολέμῳ.

150. μέγα ἔργον] τὸ ἀναιρεθῆναι Ἕκτορα καὶ δίκην ὑπὲρ Πατρόκλου λαβεῖν.

151. ὥς κέ τις αὖτ' Ἀχιλῆα] ὅπως ἂν ἐμέ. ἠθικῶς δὲ ἑαυτὸν ὀνομάζει· ἐμὲ, φησὶν, Ἀχιλλέα, ὃν οὐ προσεδόκων οἱ Τρῶες φανήσεσθαι.

152. ὑποστικτέον εἰς τὸ φάλαγγας. ὁ δὲ λόγος οὕτως· οὕτως δέ τις ὑμῶν μαχέσθω, ὡς ἂν ἐμὲ Ἀχιλλέα ἴδοι Τρώων ὀλέκοντα φάλαγγας, μεμνημένος τοῦ μιμεῖσθαί με.

154. Ὀδυσσεύς] Νέστωρ σιωπᾷ· ὕποπτος γάρ ἐστι τῷ Ἀχιλλεῖ διὰ τὸν θάνατον Πατρόκλου.

156. νήστιας] οὐ δι' ἑαυτὸν, ἀλλὰ τοὺς συμπαρόντας ἀσίτους λέγει. ἐπαίρει δὲ Ἀχιλλέα, προτάσσων τὸν ἔπαινον. καὶ ὁ μὲν ὡς

14. ἡ δὲ Bekk.] εἰ δὲ 18. πολεμοίη Bekk.] πολεμεῖν
28. λ. οὕτως Bekkerus] λ. οὗτος

ὀργιζόμενος οὐ συνορᾷ, ὁ δὲ σκοπεῖ τὸ εὖ ἔχον. ἐπαγωγῶς δὲ συμβουλεύει τῇ προθυμίᾳ τοῦ σπεύδοντος, καὶ ὃν νῦν δοκεῖ καταργεῖν χρόνον, ὕστερον ἀπολήψεσθαι φάσκει αὐτὸν ἐν τῇ παρατάσει τῆς μάχης. ἔστι δὲ παρρησιαστικὸς καὶ φίλος αὐτῷ.

160. ἀλλὰ πάσασθαι ἄνωχθι] τοῦτο εὐπρεπῶς· οὐ γὰρ ἀντιλέγει καθάπαξ, ἀλλὰ τὰ τοῦ συμβούλου πράττει, τὴν μὲν ἐξουσίαν τοῦ παντὸς ἀπονέμων Ἀχιλλεῖ, παρακαλῶν δὲ ἐπιμεληθῆναι ἐπιτρέψαι τοὺς στρατιώτας.

163. ἄκμηνος σίτοιο] ἄγευστος, παρὰ τὴν ἀκμήν· οὕτω δὲ Αἰολεῖς τὴν ἀσιτίαν λέγουσιν. οἱ δὲ, μὴ παραβαλὼν ἐν ἀκμῇ ἀρίστου.-οἱ δὲ, ἀκμάζων ἐν ἀσιτίᾳ. ἢ ὁ χωρὶς ἰκμάδος ὁ ξηρός.

165. λάθρη] ἀντὶ τοῦ κατὰ μικρόν.

166. Ἴωνες δίψα, Ἀττικοὶ δίψος.

167. ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος] καὶ Πλάτων ἐν τοῖς νόμοις φησὶ πιόντα τὸν ἄνθρωπον ἱλεώτερον ἢ πρότερον γίνεσθαι, ἀγαθῶν τε ἐλπίδων καὶ δυνάμεως πληροῦσθαι· παρρησίας γὰρ μεστοῦται καὶ ἐλευθερίας πάσης καὶ ἀφοβίας, ὡς πρᾶξαί τι ἀόκνως ἔχει· ὅθεν Λακεδαιμόνιοι ἀκρατοποτοῦντες ὁπλίζονται.

170. πρὶν πάντας ἐρωῆσαι πολέμοιο] πρὶν παύσασθαι τῆς μάχης. οἱ δὲ παροξύνουσι τὸ ἐρωῆσαι ἀντὶ τοῦ ἐρωήσειεν.

171. ἄνωχθι] πάλιν ἠθικῶς ἐπ' ἐκείνῳ τὴν ἐξουσίαν καταλείπει τοῦ κελεῦσαι, ὡς ἂν μὴ δοκοίη ἐξ ἐπιτάγματος τούτου ταῦτα συγχωρεῖν, ἀλλ' ἑκουσίως πεισθεὶς ὁ Ἀχιλλεύς.

172. ὅπλεσθαι] ἐκ τοῦ ὁπλέεσθαι συγκέκοπται· φησὶ γὰρ "ὤπλεον" (Od. 6, 73) ἀντὶ τοῦ ἡτοίμαζον.

τὰ δὲ δῶρα] εἰκότως περὶ τῶν δώρων ὑφηγεῖται, τὸ κεκρυμμένον σαφηνίσαι βουλόμενος· αὐτὸς γὰρ πρεσβευσάμενος σπεύδει δι' ἑαυτοῦ ἀποδοθῆναι αὐτά. καὶ εἰδὼς αὐτὸν φιλοῦντα Βρισηΐδα διὰ προφάσεως αὐτὴν ἄγει.

174. σὺ δὲ φρεσὶ σῇσιν ἰανθῇς] γενναίως χρῆται τῷ διανοήματι· οὐ γὰρ ἔφη ὡς ἂν πλουσιώτερος γένῃ, ἀλλὰ τὸ τῆς τιμῆς προβάλλεται. ἰανθῇς ἤτοι διαχυθεὶς εὐφρανθῇς διὰ τὴν τιμήν. τούτῳ τῷ διανοήματι ἁρμόττει καὶ τὸ ἵνα πάντες Ἀχαιοὶ ὀφθαλμοῖσιν ἴδωσιν· ἡδὺ γὰρ τὸ ἐπὶ πολλῶν φαίνεσθαι τιμώμενον.

15. ἱλεώτερον Cobetus] ἵλεω τότε γίνεσθαι] γενέσθαι

16. δυνάμεως Bekk.] δυνάμεων

33. * ἁρμόττει] om.

175. ὀμνυέτω δέ τοι] καὶ τὸ τὸν Ἀγαμέμνονα ἀρχόμενον τοῦ λόγου τοῦτο προσθεῖναι μειρακιῶδες ἂν ἐφάνη, καὶ τὸ τὸν Ἀχιλλέα τοῦτο ἀπαιτεῖν πάνυ ἀναίσχυντον καὶ τῷ καιρῷ οὐχ ἁρμόττον, κειμένου Πάτροκλου περὶ τῆς παλλακίδος ἀκριβολογεῖσθαι. ἄκρως οὖν ὁ διαλλακτὴς τὸ παρ' ἀμφοτέρων σιωπηθὲν ἐξελέγχει, ὅλως πεῖσαι τὸν Ἀχιλλέα σπουδάζων ἀποθέσθαι τὴν πρὸς Ἀγαμέμνονα μῆνιν· μέμνηται γὰρ ὧν παρὰ τὴν πρεσβείαν ἔλεγε "τῇ παριαύων τερπέσθω" (Il. 9, 336). ὅτι δὲ καὶ Ἀγαμέμνων ἑτοίμως εἶχεν ὀμόσαι δῆλον ἐξ ὧν ὑπισχνεῖται τοὺς πρέσβεις ἐκπέμπων "καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι μήποτε τῆς εὐνῆς ἐπιβήμεναι" (ib. 132). καλῶς οὖν συνιστὰς αὐτοῦ τὴν σωφροσύνην ἐπὶ τοῦ στρατοῦ φησὶν "ὀμνυέτω δέ τοι ὅρκον." ὅθεν καὶ ὁ βασιλεύς φησι "χαίρω σεῦ, Λαερτιάδη, τὸν μῦθον ἀκούσας" (185).

179. δαιτί] πρὸς τὸ μὴ ἄσιτον αὐτὸν ἐξελθεῖν. σεμνοποιεῖ δὲ τὴν τροφὴν, βασιλικὴν ἑστίασιν αὐτὴν καλῶν.

180. δίκης] τοῦ δικαίου, ἵνα μηδὲν δέῃ σοι τοῦ δικαίου. τὰ δῶρα διὰ τὴν ἄμυναν, ὅρκον διὰ τὴν ἐρωμένην, ἑστίασιν διὰ τὴν ὕβριν.

181. σὺ δ' ἔπειτα] ἐπειδὴ μικροπρεπῆ καὶ ἀγανάκτησιν φέροντα ἐπέταξε τὸ ὀμόσαι περὶ τοῦ παλλακιδίου, ἄκρως αὐτὸν ἐπάγεται, ὅτι καὶ αὐτῷ συμφέροντα συνεβούλευσεν· ὑφιστάμενος γὰρ τὴν ἐπὶ τῇ ἀναιρέσει τοῦ ἠδικημένου ἐπακολουθήσασαν αἰσχύνην ἀποσχήσῃ καὶ εἰς τὸ ἑξῆς τῆς πλημμελείας. νῦν οὖν, φησὶ, τὰ δίκαια ποιήσας καὶ περὶ ἄλλον ἔσῃ δικαιότερος.

183. *ἄνδρ' ἀπαρέσσασθαι] ἀμφίβολον διὰ τὴν αἰτιατικήν. ἔστι δὲ ὁ λόγος περὶ τοῦ βασιλέως, ὅτι οὐκ ἔστι νεμεσητὸν, εἰ βασιλεὺς ἄνδρα βλάψας καὶ τῆς ἀδικίας προϋπάρξας ἀπαρέσεται αὐτόν. ἔστι δὲ τὸ ἀπαρέσσασθαι τὸ τῆς ἀρᾶς ἀπᾶραι, τουτέστι τῆς βλάβης ἀπαλλάξασθαι καὶ ἐξιλάσασθαι.

χαλεπήνῃ] χαλεπότητος καὶ ἀδικίας ἄρξῃ. θαρρούντως δὲ ταῦτά φησιν Ὀδυσσεὺς, ὅτι πολλάκις ἀκήκοεν Ἀγαμέμνονος (Il. 2, 378) "ἐγὼ δ' ἦρχον χαλεπαίνων."

189. τέως] ἐν τοσούτῳ, ἐν ὀλίγῳ, δίχα τοῦ πέρ. καὶ βραχὺ διασταλτέον ἐπὶ τὸ τέως πρὸς τὸ σαφὲς, καὶ ἵνα διὰ τῆς σιωπῆς τοῦ χρόνου τὸ μέρος σώζηται. ἐν δὲ ταῖς εἰκαιοτέραις μετὰ τοῦ πέρ.

190. μίμνετε δ' ἄλλοι πάντες] φιλοδοξῆσαι γὰρ θέλει, ὑπὲρ πάντων τὰ δῶρα ἐπὶ πάντων διδούς.

197. περὶ ἀφροδισίων ὀμνὺς κάπρον θύει, ἢ ὡς μὴ ἐγνωσμένου τοῖς Ἕλλησι τοῦ περὶ Ἀδώνιδος μύθου, ἢ ὅτι περὶ τοῦ μὴ συγγεγονέναι ὄμνυσι, τὸ ἐναντίον θύων. πρὸς δὲ τὰ ὁρκία τρισὶν ἐχρῶντο Ἀττικοὶ, κάπρῳ, κριῷ, ταύρῳ.

ταμέειν] λείπει τὸ ὥστε. τῶν δὲ ὁρκίων ἐτέμνοντο τοὺς λαιμούς· ὅθεν καὶ ὁρκιοτομεῖν ἔλεγον.

201. μεταπαυσωλή] ἡ μετὰ ταῦτα ἀνάπαυσις.

202. μένος] ἡ κατὰ τῶν πολεμίων ὀργή. τὸ δὲ ᾖσιν ἀντὶ τοῦ ὑπάρχῃ.

203. οἱ μέν] ἵνα μὴ δοκῇ διὰ Πάτροκλον μόνον πολεμεῖν, ἀλλὰ καὶ τοὺς λοιποὺς, κοινοποιεῖ τὸν λόγον.

205. ὑμεῖς] πρὸς Ὀδυσσέα καὶ Ἀγαμέμνονα.

207. νήστιας ἀκμήνους] νῆστις μὲν ὁ οὐ πάντως λιμώσσων, ἄκμηνος δὲ ὁ εἰς ἀκμὴν ἥκων τοῦ πεινῆν καὶ δεόμενος τοῦ φαγεῖν.

208. ἡ μετά τὸ μετὰ εὐφροσύνης καὶ χαρᾶς τῆς ἐκ τῆς ἥσσης τῶν πολεμίων γενησομένης.

τισαίμεθα] ἐκπράξαιμεν, ἀπαιτήσαιμεν.

209. ὅπως ἂν ἔμοιγε] εἰ καὶ ὑμῖν, ἀλλ' οὐκ ἐμοί.

212. *κεῖται ἀνὰ πρόθυρον] κεῖται ἐπὶ τὴν θύραν ὁρῶν, ὅ ἐστι τετραμμένους ἐν αὐτῇ ἔχων τοὺς πόδας. οὕτω γὰρ τίθενται οἱ νεκροὶ διὰ τὸ ἐξερχομένους τοῦ ἀνθρωπίνου βίου μηκέτι ἀναστρέφειν εἰς τοὺς οἴκους.

πρὸς τὴν θύραν ὁρῶν, ὡς ἔθους ὄντος τούτου. προὐτίθεσαν δὲ αὐτοὺς, εἶτα ἔθαπτον, εἶτα ἐτυμβοχόουν, εἶτα ἐκτέριζον.

216. ὦ Ἀχιλεῦ] ἤρξατο μὲν ὡς ἄν τις μάλιστα θεραπεύσειε νέον φιλότιμον, προεπαινέσας δὲ ἀνεπιφθόνως ἑαυτῷ ἀποδίδωσι τὰ τῆς φρονήσεως, διὰ γῆρας τοῦτο φάσκων ἔχειν, ᾧ εἶξέ γε ὁ νεώτερος ἐλπίδι τοῦ ἔσεσθαι συνετώτερος γεγηρακώς.

218. θαυμασία καὶ διαβόητος ἡ στιγμὴ ἡ εἰς τὸ προβαλοίμην, καὶ ἀναφέρεται εἰς Ἀριστοκλέα· ἀπρεπὲς γὰρ δοκεῖ αὐτῷ τὸ πολλόν τοῖς ἡγουμένοις συνάπτειν. ἐμοὶ μέντοι οὐδεμίαν ἀπρέπειαν ἐμφαίνειν δοκεῖ· τὴν γὰρ ἐναντίαν ἀρετὴν ἀπένειμεν Ὀδυσσεὺς Ἀχιλλεῖ. ὡς γὰρ τῷ "κρείσσων εἶς ἐμέθεν καὶ φέρτερος" πρόσκειται τὸ "οὐκ ὀλίγον περ," οὕτως κἀνθάδε τὸ πολλόν. βέλτιον οὖν

27. φάσκων Vill.] φάσκειν γε ὁ νεώτερος Bekkerus] γενναιότερος

τοῖς ἄλλοις συνάπτειν αὐτὸ, ἵν' ᾖ ὅμοιον τῷ "ἀλλ' ὁ μὲν ἂρ μύθοισιν, ὁ δ' ἔγχεϊ πολλὸν ἐνίκα" (Il. 18, 252)· ἀπὸ κοινοῦ γὰρ τὸ πολλόν. ἀλλά τινες πολλὸν ἐπεὶ πρότερος, ἀντὶ τοῦ ἐπειδὴ πολὺ πρότερος ἐγενόμην, ἵνα μὴ παροξύνηται Ἀχιλλεύς. ἀλλ' ἀεὶ ἄρχει τὸ ἐπεί παρ' Ὁμήρῳ, τὸ δὲ πολλόν ὑποτάσσεται· "ἐπεὶ πολλὸν ἐκείνων ἐπιδεύεαι ἀνδρῶν" (Il. 5, 636).

220. μύθοισιν] τοῖς ἀπὸ τῶν λόγων προστασσομένοις ἔργοις.

222. ὁ τρόπος μικτὴ ἀλληγορία· εἰ γὰρ εἶπε "ταμίης καρποῖο τέτυκται," τελεία ἦν ἀλληγορία. ἄμητος δὲ ὁ καιρὸς τοῦ ἀμᾶν προπαροξυτόνως, ὡς καὶ παρ' Ἡσιόδῳ "ἄρχεσθ' ἀμήτοιο" (O. 382)· ὀξύνεται δὲ αὐτὸς ὁ καρπός· ὁ δὲ νοῦς ὅλος οὕτως· ὅταν κλῖμα καὶ τροπὴ τῆς μάχης γένηται, ἐν ὀλίγῳ διώξαντες χρόνῳ πολλὰ καταβαλοῦμεν τῶν πολεμίων σώματα.

*Πορφυρίου. ζητοῦσι τίνα νοῦν ἔχει τὰ ἔπη ταῦτα ᾐνιγμένα ὑπὸ τοῦ Ὀδυσσέως "αἶψά τε φυλόπιδος—τέτυκται" ἐπεὶ ἡ ἄμητος λέξις σημαίνει καὶ τὸν χρόνον ἐν ᾧ ἀμῶσι, τουτέστι τὸν θερισμὸν, σημαίνει δὲ καὶ τὸν ἀμώμενον καρπὸν, καθ' ἑκάτερα τῶν δύο σημαινομένων ἐκδεξάμενοι πειραθῶμεν τῶν δύο σαφῆ ποιῆσαι τὴν διάνοιαν. ἔσται τοίνυν ἐκ τοῦ σημαινομένου δῆλον ὡς καλάμη μὲν λέγεται τὸ τῶν ἀποθνησκόντων πλῆθος, ἀμητὸς δὲ καὶ καρπὸς οἱ σωζόμενοι. φησὶν οὖν ταχέως κόρον γίνεσθαι ἐκείνης τῆς μάχης, ἐν ᾗ πολὺς μὲν ὁ πίπτων, ὀλίγοι δὲ οἱ σωζόμενοι· ἐξ οὗ δηλοῦται ὅτι τῆς σφοδροτάτης μάχης ἐν ταύτῃ ταχὺς ὁ κόρος, καὶ μάλιστα ὅταν τύχῃ τις διὰ λιμὸν ἠσθενηκώς· ἐν ᾧ δ' ἂν οὖν πολέμῳ κλίναντος τοῦ Διὸς τὴν νίκην καὶ ἑτερορρεποῦς τῆς μάχης γεγονυίας πολὺς μὲν ᾖ ὁ ἀναιρούμενος, ὀλίγος δὲ ὁ περισωζόμενος, κόρος ἐνταῦθα ταχέως γίνεται, τῶν μὲν καλάμην πολλὴν ἐκλεγόντων, ἀμητὸν δὲ καὶ καρπὸν ὀλίγον ἐόντων. τὴν δὲ καλάμην καὶ τὸν καρπὸν ἐπὶ τῶν τραπέντων ἀκουσόμεθα, ὧν πολὺς μὲν ὁ ἀποθνήσκων, ὃς τέτακται ἐπὶ τῆς καλάμης, ὀλίγος δὲ ὁ διασωζόμενος, ὃς τέτακται ἐπὶ τοῦ καρποῦ· τὸν δὲ κόρον ἴσχειν ταχὺν τοὺς ταῦτα δρῶντας καὶ νικῶντας, οἳ τοῖς ἀμηταῖς εἶεν ἂν ἀνάλογοι. οὕτως ἄρα δὴ ἐπὶ τῶν αὐτῶν τὸ ἀμητὸς ὀλίγιστος ἀκουστέον· οὐκέτι γὰρ ἑτερορρεπὴς ἔσται ἡ μάχη. οὐδ' οἱ μὲν νικῶντες, οἱ δὲ ἡττώμενοι, ἀλλ' ἐπ' ἴσης ἀμφοῖν πολλὴ μὲν ἡ καλάμη, ὀλίγος δὲ ὁ καρπὸς, καὶ οἱ ἀμῶντες ζητηθήσονται. κἂν ἄμητον δὲ ἐπὶ τοῦ

14. * Πορφυρίου] om.

θερισμοῦ ἀκούσωμεν καὶ τοῦ χρόνου καθ᾽ ὃν ἀμῶσιν, ἔσται μὲν ἄμητος ἡ πρώτη τῶν στρατοπέδων συμβολὴ πρὸ τῆς τῶν ἑτέρων τροπῆς, πλείστη δὲ ἡ καλάμη τὸ πλῆθος τὸ μετὰ τὴν τροπὴν τῶν πιπτόντων. λογιζόμενος οὖν ὁ Ὀδυσσεὺς ὡς οὐκ ἂν ὑποσταῖεν οἱ Τρῶες τὴν Ἀχιλλέως συμβολὴν, τραπήσονται δὲ εὐθὺς, πολὺν τὸν κάματον ἔσεσθαί φησι τοῖς διώκουσιν ἅμα καὶ παίουσι καὶ φονεύουσι, καὶ κόρον αὐτίκα λήψεσθαι νήστις ὄντας. ἐνδείξασθαι δὲ ταῦτα μᾶλλον καὶ αἰνίξασθαι βούλεται ἢ φανερῶς λέγων δόξαν κολακείας ἀπενέγκασθαι. λέγει οὖν, ἐν ὀλίγῳ χρόνῳ τροπῆς γενομένης τῶν πολεμίων, πολλῶν ἀναιρουμένων ἐκ πρώτης καὶ βραχείας τῆς συμβολῆς, αἶψα κόρος ἡμῖν γίνεται, ἐὰν μὴ τύχωμεν τὸν μέλλοντα κάματον διὰ τῆς τροφῆς προανακτησάμενοι. πεποίηται δὲ τὴν ἀλληγορίαν ὁ ποιητὴς ἐκ τῆς παραβολῆς ἐκείνης "οἱ δ᾽ ὥστ᾽ ἀμητῆρες ἐναντίοι ἀλλήλοισιν ὄγμον ἐλαύνωσιν ἀνδρὸς μάκαρος κατ᾽ ἄρουραν πυρῶν ἢ κριθῶν, τὰ δὲ δράγματα ταρφέα πίπτει" (Il. 11, 67). εἶτ᾽ ἀνταποδίδωσιν "ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ᾽ ἀλλήλοισι θορόντες δῄουν, οἱ δ᾽ ἕτεροι μνώοντ᾽ ὀλοοῖο φόβοιο" (ib. 70). ἀλλ᾽ οὗτοι μὲν τὸν ἄμητον παρέτειναν ἰσόπαλοι ὄντες· ἐφ᾽ ἧς δ᾽ ἂν μάχης τροπὴ γένηται ἐκ μικρᾶς συμβολῆς καὶ ὀλίγου ἀμήτου, ταχὺς ὁ κόρος τοῖς ἀναιροῦσι καὶ τὴν καλάμην πολλὴν ποιοῦσιν, εἰ μὴ τύχωσι τὴν ἰσχὺν διὰ τῆς τροφῆς αὐταρκῆ παρασκευάσαντες. μήποτε δὲ ὁ ἄμητος οὐ τὴν ἐπικαρπίαν, ἀλλὰ τὸν χρόνον τῆς ἐνεργείας δηλοῖ· αὐτὸς γὰρ ὁ Ὀδυσσεὺς πρὸς τὸν Ἀχιλλέα ταῦτα προεῖπεν· "οὐ γὰρ ἀνὴρ — ἐρωῆσαι πολέμοιο" (162–170). ὀλίγος οὖν ἄμητος καὶ ὁ χρόνος ὁ τοῦ ἀμᾶν γίνεται καὶ τοῦ πλείστην καλάμην ἔχειν καὶ πολλοὺς ἀναιρεῖν, τροπὴν τοῦ Διὸς ἐμβαλόντος τοῖς πολεμίοις, ἐὰν μὴ τύχωσιν οἱ ἀναιροῦντες τροφῆς μετειληφότες, ἵν᾽ ᾖ ὁ λόγος, ἐν ᾗ δ᾽ ἂν μάχῃ ἐν ὀλίγῳ χρόνῳ πολὺς ᾖ ὁ ἀναιρούμενος τροπῆς γενομένης, εὐθέως ἐν ταύτῃ ὁ κόρος. διὸ δεῖ ἰσχύειν τοὺ βουλομένους ἐπὶ πλέον τυχεῖν τῆς νίκης.

καλάμην τοὺς νεκρούς.

226. ἐπήτριμοι] ἀπὸ τῶν ἐν τοῖς ὕφεσιν ἐπαλλήλων στημόνων ἡ μεταφορὰ, ἃ ἤτρια καλοῦνται καὶ ἕτερα ἐφ᾽ ἑτέροις ἐστίν.

12. προανακτησάμενοι] προσανακτησάμενοι

20. εἰ μή] Recte paullo post ἐὰν μή.

27. μετειληφότες Bekkerus] μετειληχότες

227. πόνοιο] τοῦ ἐν πολέμῳ ἔργου.

228. καταθάπτειν] ἀντὶ τοῦ καίειν. καὶ ἡ Πατρόκλου ψυχὴ ὅτε φησὶ "θάπτε μ' ὅττι τάχιστα" (Il. 23, 71), ἀντὶ τοῦ καῖέ με. οὐ πάντα δὲ λέγει νεκρὸν, ἀλλὰ τοὺς ἐν πολέμῳ.

229. ἐπ' ἤματι] ἐπ' αὐτῇ τῇ τῆς ταφῆς ἡμέρᾳ. ταῦτα δὲ πρὸς παραμυθίαν τὴν ἐπὶ Πατρόκλῳ φησί. βραχὺ δὲ διασταλτέον εἰς τὸ ἔχοντας.

230. πολέμοιο] λείπει ἡ ἔκ. ἡ δὲ περί πρὸς τὸ λίπωνται.

231. ὄφρ' ἔτι μᾶλλον] τοσοῦτον εἰς ἀρετὴν ὁ ποιητὴς ὁρᾷ, ὅτι καὶ τὴν ἀναγκαίαν τροφὴν ταύτης ἕνεκα δεῖν προσφέρεσθαί φησι.

233. μηδέ τις] μή τις τῶν λαῶν τὴν ἐξ ἑτέρου ὀτρυντὺν ἐκδεχέσθω, ἀλλ' αὐτοκέλευστος ἐξίτω. ἔστι δὲ ἡ λέξις Ἀντιμάχειος· χαίρει δὲ καὶ Ἐρατοσθένης ταῖς τοιαύταις ἐκφοραῖς, ὡς τὸ "πολλὴ ἀντιμαχητύς."

235. κακὸν ἐκείνῳ τῷ περιμένοντι.

238. ὀπάσσατο] διὰ φωνῆς ἐπεσπάσατο τὴν ὄπα. ἢ ὀπαδοὺς ἔλαβεν. ἢ δι' ὀφθαλμῶν προσελάβετο, παρὰ τοὺς ὦπας.

245. ἀμύμονα] κρεῖσσον τῶν ἔργων ἐστὶ τὸ ἐπίθετον.

252. χείρεσσι] τῇ μὲν γὰρ λαιᾷ ἀντελάβετο τοῦ κουλεοῦ, τῇ δὲ δεξιᾷ τῆς λαβῆς. μάχαιραν δὲ τὴν παραξιφίδα, ἣν νῦν ζωνομάχαιραν καλοῦσιν.

254. ἀπὸ τρίχας ἀρξάμενος] ἀπήρχοντο τῶν τριχῶν τοῖς θεοῖς, ὅτι κοσμοῦσιν ἡμᾶς αἱ τρίχες καθ' ὅλου τοῦ σώματος, ἢ ὅτι ἐπὶ ἐσθῆτος τετριχωμένοις οὐκ ἐχρῶντο δέρμασιν.

257. εὐξάμενος] εὐχόμενος· εὔχετο γὰρ, οὐκ ἤδη εὔξατο.

258. ἴστω] μαρτυρείτω, ὅθεν καὶ ἵστωρ ὁ μάρτυς. φοβεραὶ δὲ αἱ ἀραὶ, ζῶντι μὲν κινδύνους ἐπάγουσαι ἐκ Διὸς καὶ Ἡλίου, τεθνεῶτι δὲ κολασμὸν ἐξ Ἐρινύων. δείκνυσι δὲ ὅτι δεινὸν στρατηγοῖς ἀκολασίας ψόγος.

262. οὔτ' εὐνῆς] οὔτε κοίτης χάριν, τουτέστι τοῦ στρῶσαι ὑπερβολικῶς· οὐ γὰρ περὶ μίξεως λέγει.

263. ἀπροτίμαστος] ἀνέπαφος· μάσασθαι γὰρ τὸ ἐφάψασθαι·

5. τῇ Bekk.] om.
12. *Ἀντιμάχειος] ἀττικὴ
14. ἀντιμαχητύς Bekk.] ἀντιμαχιστύς
20. παραξιφίδα Cobetus] περιξιφίδα
32. μάσασθαι] μάσσασθαι

καὶ Εὐφορίων φησὶν "ἀπροτίμαστος Ὅμηρος," οὗ δυσχερὲς λαβέσθαι τῆς δυνάμεως.

265. ὅτις σφ' ἀλίτηται ὀμόσσας] ὃς ὀμόσας εἰς αὐτοὺς ἁμαρτήσει.

267. πολιῆς ἁλός] πλοΐμης, ἢ λευκῆς, ἢ τιμίας, ἢ πολλῆς· ὡς γὰρ παρὰ τὸ ἔσχατος ἐσχάτη ἐσχατιά καὶ σκοπή σκοπιά, οὕτως καὶ παρὰ τὸ πολλός πολλή πολιή, τὸ διὰ πολλοῦ χρόνου ἐρχόμενον, καὶ πολιά. μήποτε οὖν ἀπὸ τοῦ συμβεβηκότος ἐπὶ λευκῆς ἐστίν· ἐκεῖνο μὲν γὰρ εἴρηται, ἐπεὶ πολλῷ χρόνῳ ἥκει, τοῦτο δὲ ἐπὶ μόνης εἴρηται τῆς λευκότητος.

λαῖτμα] λάταμα λέγεται τὸ μέγα ἔκταμα· μήποτε οὖν ἐξ αὐτοῦ ἐστὶ κατὰ συγκοπὴν, καὶ δηλοῖ τὸ μέγα κῦμα.

268. *βόσιν ἰχθύσιν] σημειωτέον ὅτι τὰ ἀπὸ τῶν ὅρκων ἱερεῖα οὐκ ἤσθιον, ἀλλ' ἔρριπτον ἢ ἔκαιον.

ὡς ποτὸν πόσις, δοτὸν δόσις, οὕτω βοτὸν βόσις· παρὰ τὸν αἰγιαλὸν δὲ ἄρα ἡ ἐκκλησία.

270. Ζεῦ πάτερ] διὰ τὸ τοῦ ὅρκου μέγεθος πιστεύσας τῇ σωφροσύνῃ τοῦ βασιλέως ἐπὶ θεὸν ἄγει τὴν αἰτίαν τῆς μήνιδος.

δίδοισθα] οἱ μὲν βαρύνουσιν ὡς Αἰολικὸν, ἀπὸ τοῦ δίδοιμι, δίδοις δίδοισθα, ὡς τίθησθα· οἱ δὲ περισπῶσιν, ἐπέκτασιν εἶναι οἰόμενοι ἀπὸ τοῦ διδοῖς.

273. τὸ ἀμήχανος τῷ ἑξῆς συναπτέον, ἵνα ἐπὶ τοῦ Διὸς ᾖ, πρὸς ὃν οὐδείς τι δύναται μηχανήσασθαι· ἀμήχανον γὰρ τὸ ἀδύνατον καλεῖται.

276. λῦσεν δ' ἀγορὴν] καὶ γὰρ αὐτὸς ἤγειρεν αὐτήν. αἰψηρήν δὲ ἐπίρρημα ἀντὶ τοῦ ταχέως, ὡς τὸ "θοὴν ἀλεγύνετε δαῖτα" (Od. 8, 38) ἀντὶ τοῦ θοῶς. λαιψηρὸν δὲ τὸ ἐν καιρῷ γινόμενον σύντομον.

281. ἀγέλην φησὶ τὸ συναχθὲν πλῆθος αὐτῷ· οὐ φορβάδων δὲ ἵππων, ἀλλὰ πολεμιστηρίων, ὧν τοὺς ἡνιόχους ἀνεῖλεν. ἀζεύκτους δὲ ἵππους οὐκ εἶχεν. οὐ γὰρ δεδαμασμένους ἤδη μετὰ φορβάδων ἔβαλλον.

282. Βρισηΐς] ἐνθάδε μόνον αὐτὴν καὶ ἐν τῇ Α Ἀγαμέμνων ἐξ ὀνόματος παρέλαβεν. ἔστι δὲ φίλανδρος, ὡς ἀπὸ τῶν ῥηθησομένων καὶ τοῦ "ἡ δ' ἀέκουσ' ἅμα τοῖσι γυνὴ κίε" (Il. 1, 348). καὶ οἱ μὲν δημογέροντες περὶ Ἑλένης φασὶν "αἰνῶς ἀθανάτῃσι

6. ἐσχάτη] ἐσχατιή σκοπή] σκοπιή 11. *λάταμα] λάτωμα

θεαῖς" (Il. 3, 158)· ὁ δὲ ποιητὴς τῇ καλλιστευούσῃ τῶν θεῶν ταύτην εἰκάζει. ἐπεὶ γὰρ ἐπ' ἀλλοδαπῆς τέθνηκε Πάτροκλος, ἔνθα μὴ πάρεισι συγγενεῖς γυναῖκες, αἳ μάλιστα κινεῖν δάκρυα φιλοῦσι, χορὸν αἰχμαλωτίδων πεποίηκε θρηνοῦντα, ἐξάρχοντος ἐνδόξου προσώπου. ὁ δὲ τόπος μέσου χαρακτῆρος ὑπάρχων τῷ μὲν διηγηματικῷ σεμνῶς πέφρασται καὶ λίαν ἐστὶ γραφικὸς, τῷ δὲ μιμητικῷ συμπαθὴς καὶ γοερός· τὸ γὰρ τοιοῦτον πρόσωπον τὸ θεαῖς ἐοικὸς, περὶ οὗ ὁ Ἀχιλλεὺς τοσούτοις κακοῖς ἐνέβαλε τοὺς ὁμοφύλους, οὗ χάριν ἀρνεῖται γάμον βασιλίδος, ποῖον οὐκ ἂν οἶκτον κινήσειεν ἐλεεινὰς προϊέμενον φωνὰς καὶ πηγὰς δακρύων, τά τε κάλλιστα τοῦ σώματος αἰκιζόμενον μέλη;

χρυσῇ] ἀπὸ τῆς παρ' ἡμῖν τιμίας ὕλης τὴν ἔντιμόν φησι.

283. χαλκῷ] παλαιὰ ἡ χρῆσις τοῦ χαλκὸν ὀνομάζειν τὸν σίδηρον. ἀμέλει καὶ χαλκέας λέγομεν τοὺς τὸν σίδηρον ἐργαζομένους. δεδαϊγμένον δὲ τὸν λελωβημένον.

284. χυμένη] πρὸς τὸ ἁπαλὸν τοῦ γυναικείου σώματος. ἡ συντομία τῆς φράσεως τὸ περιπαθὲς αὐτῆς καὶ σπουδαῖον ἐμφαίνει.

λίγ' ἐκώκυε] εἰς ἡδονὴν προκαλουμένη τοὺς ἀκούοντας, ὡς καὶ Θέτις· "μέγα γάρ τε καὶ ἄλγεσι τέρπεται ἀνήρ" (Od. 15, 400).

285. ἁπαλὴν δειρήν] ἐπέτεινε τὸν οἶκτον ἡ ἁπαλὴ δειρὴ καὶ τὸ καλὸν πρόσωπον. δοκεῖ δὲ καὶ αὐτὸς συνάχθεσθαι αἰκιζομένῃ αὐτῇ, ὡς ἀνοίκειον ἀμύσσεσθαι τὰ καλὰ μέλη.

288. ζωὸν μέν σε ἔλειπον] ἀξιοπίστως ἔχει τὰ τοῦ θρήνου· οὐ γὰρ τὰ ἐπ' αὐτῷ ἀπολοφύρεται μόνον, ἀλλὰ καὶ τὰ αὐτῇ ἐπακολουθήσαντα· ἐκπλήττει γὰρ αὐτὴν τὸ μεταξὺ τῆς ζωῆς καὶ τοῦ θανάτου βράχιστον ὄν. παρατατικῇ δὲ φωνῇ ἐχρήσατο ὡς μόγις ἄκουσα πεπορευμένη καὶ πάλιν βραδέως ὑποστρέψασα διὰ τὸ μὴ ἡδέως θεάσασθαι τὸ πτῶμα Πατρόκλου. διὸ καὶ ἐπήγαγε κακὸν ἐκ κακοῦ· τῆς γὰρ παρ' Ἀγαμέμνονι διατριβῆς, φησὶ, τοῦτό μοι χεῖρον.

291. ᾧ ἔδοσάν με] ᾧ με ἠγγύησαν καὶ ἐμνήστευσαν· παρθένος γὰρ ἦν, διὸ καὶ κούρη λέγεται. τὸ τοῦ πατρὸς δὲ ὄνομα πρόκειται τοῦ τῆς μητρὸς ὡς τὸ πρῶτον αἴτιον αὐτοῦ ἔχοντος. σωφροσύνης δέ ἐστι δεῖγμα ὁ παρὰ γονέων νυμφίος. φιλάνδρου δὲ γυναικὸς τὸ προθεῖναι τῆς τῶν ἀδελφῶν τὴν τοῦ ἀνδρὸς ἀπώλειαν· τοιαύτη δὲ καὶ Ἀνδρομάχη. οἰκεῖον δὲ τοῖς πενθοῦσι καταφέρεσθαι ἐπὶ τὴν μνήμην τῶν οἰκείων κακῶν.

292. εἶδον] ἐπιτείνεται τῇ ὄψει τὰ παθήματα. καὶ Σοφοκλῆς (Oed. R. 1278) "ἡ γὰρ ὄψις οὐ πάρα." ὄψις γὰρ ὤτων κριτικωτέρα πᾶσιν.

294. κηδείους] προσφιλεῖς, πεφροντισμένους μοι· ἢ ἀνίαν μοι παρασχόντας. ἀπαραμύθητον δὲ τὸ ἅμα πάντας ἀποθανεῖν· εἰ γὰρ καθεὶς ἦν, τῇ ἐλπίδι τῶν περιλειπομένων ἐκουφίζετο τὸ πένθος. τὸ δὲ ἐπέσπον τὸ πρόθυμον τῶν ὑπερμαχούντων τῆς πατρίδος δηλοῖ· οὐ γάρ φησιν ὅτι ἐπῆλθεν αὐτοῖς θάνατος, ἀλλ' αὐτοὶ ηὐτομόλησαν.

295. ἄνδρ' ἐμόν] ἔμφασιν φιλανδρίας ἔχει τὸ δεύτερον ἐπιμνησθῆναι τοῦ ἀνδρός. ποικίλως δὲ αὐτοῦ ἐμνήσθη κοινῇ τε καὶ εἰδικῇ προσηγορίᾳ, καὶ μετὰ ταῦτα θεῖον αὐτὸν ἐκάλεσεν.

297. Ἀχιλλῆος θείοιο] πρὸς σύστασιν Ἀχιλλέως καὶ αὐτὴ λέγει, Πατρόκλου θεῖον αὐτὸν ἀκούουσα λέγοντος· ἢ πειραθεῖσα διαθέσεως αὐτοῦ θεῖον καλεῖ. ἐπίτασιν δὲ ἔχει ταῦτα· οὐ γὰρ μόνον ἄχρι τῆς ἐν Ἰλίῳ διατριβῆς ἔλεγεν ἔχειν αὐτὴν ὅμευνον, ἀλλὰ καὶ ναυτικῷ στόλῳ πολυτελῶς εἰς Φθίαν ἄξειν κἀκεῖ τὸν γάμον ἐπιτελέσαι. ὡς πρᾶος δὲ πολλὴν ὑπέφαινεν αὐτῇ ἐλπίδα. εἰς δὲ τὸ κουριδίην λείπει τὸ ὡς.

300. μείλιχον ἀεί] ἐπεὶ ἐδόκει τοῖς θρήνοις ὑπερεκπίπτειν, ἀλλότριον τῷ γένει ἄνθρωπον οὕτως ὀλοφυρομένη, δαιμονίως ἄμφω ὁ ποιητὴς τετήρηκε, καὶ πάθος ἐπαγόμενος διὰ τοῦ προσώπου τῆς Βρισηΐδος, καὶ ὑπὲρ τοῦ πιθανὸν τὸν λόγον καταστῆναι αἰτίαν θεὶς τῆς τοιαύτης εὐνοίας τὴν ἀπὸ τοῦ Πατρόκλου κηδεμονίαν πρὸς τὴν γυναῖκα. διδάσκει δὲ ἀντιποιεῖσθαι πραότητος, εἴγε καὶ μετὰ θάνατον εὔνοιαν πορίζεται τοῖς ἔχουσιν.

310. Ἀτρείδα μενέτην] εἰκότως Ἀγαμέμνων ὡς ἂν βασιλεύς, καὶ Ὀδυσσεύς· διαλλακτὴς γὰρ γέγονεν. ἀλλὰ καὶ Νέστωρ διὰ τὴν ἡλικίαν, καὶ Ἰδομενεὺς ὁμοίως. Φοῖνιξ δὲ οὐ μόνον διὰ τὴν ἡλικίαν, ἀλλὰ καὶ ὡς διδάσκαλος Ἀχιλλέως. πῶς δὲ Αἴας συγγενὴς ὢν οὐ συμπάρεστιν; ὀργίζεται διὰ τὴν πρεσβείαν. βαρύμηνις γάρ. καὶ πῶς τὸν ἐπιτάφιον ἀγωνίζεται; ἀρετῆς χάριν καὶ φιλίας τοῦ ἠπιωτάτου Πατρόκλου.

312. τέρποντες] πειρώμενοι τέρπειν, ἢ ἀποτρέποντες τῆς λύπης. οἶδε δὲ καὶ τὸ παραμυθητικὸν μέρος φιλοσοφίας ὁ ποιητής.

2. * ἡ γὰρ ὄψις οὐ πάρα] om. 10. εἰδικῇ] ἰδικῇ 22. καταστῆναι] καταστῆσαι Bekkerus.

313. πολέμου στόμα] τὸ τομώτατον καὶ ἀναλωτικώτατον μέρος τοῦ πολέμου.

314. ἀνενείκατο] κάτωθεν τὴν φωνὴν ἀθρόαν ἐκ βάθους ἀνήνεγκεν.

316. παρὰ δεῖπνον ἔθηκας] ἀπὸ τῶν γινομένων ὁ θρῆνος· ἐπεὶ γὰρ ᾔτουν αὐτὸν φαγεῖν, ὑπομιμνήσκεται τραπέζης ἣν ὁ φίλος αὐτῷ παρετίθει πολλάκις. ἠθικὸν δὲ τὸ ὡς ζῶντι διαλέγεσθαι τῷ νεκρῷ. καὶ λαρὸν δεῖπνόν φησι τὸ ὑπὸ τῶν τοῦ φίλου χειρῶν παρατιθέμενον, τουτέστιν ἡδύ.

317. ὀτραλέως] διεγερτικῶς. ἤτοι καὶ τοὺς ἄλλους ὑπηρέτας εἰς τοῦτο παροτρύνων. σημειωτέον δὲ ὅτι καὶ πρὸ τῆς μήνιδος παρατάξεις ἦσαν.

322. τοῦ πατρός] ἡ προσθήκη τοῦ ἄρθρου τὴν ἐξοχὴν παρίστησι. τοῦτο δὲ ὅτι ὁ μὲν εὔχετο πρὸ τοῦ παιδὸς ἀποθανεῖν, τῷ δὲ ὤφείλετο τὸ ζῆν· καὶ ὅτι τὸ πρόσφατον πάθος τοῦ μέλλοντος ἐπικρατεῖ. καὶ ἄλλως δὲ ἐπὶ νεότητος οὐκ ἔστι νεμεσητὸν τὸ λέγειν.

323. τέρεν θαλερὸν, νέον· ἀεὶ γὰρ ἐπιμιμνησκόμενος καθ' ἑκάστην νεάζει δακρύων. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν θαλλόντων φυτῶν· ταῦτα γὰρ μαλακὰ ἔχει φύλλα.

325. ῥιγεδανῆς] στυγητῆς· τὰ γὰρ λύπην τῇ ψυχῇ περιβάλλοντα καὶ λυπηρὰ καλοῦνται καὶ μισητὰ διὰ τὸ βλάπτειν.

326. φασὶν Ἀχιλλέα ἀπὸ τῆς πρὸς Τήλεφον ἀναζευγνύντα μάχης προσορμισθῆναι ἐκεῖ· "Πηλείδην δ' Ἀχιλῆα φέρε Σκῦρόνδε θύελλα. ἔστι δὲ ἐν τῇ Εὐβοίᾳ νῆσος, λιμένας ἔχουσα Ἀχίλλειον καὶ Κρήσιον. Νεοπτόλεμος δὲ ἀπὸ τοῦ πατρὸς ὠνόμασται, ὅτι νέος ὢν ἐπολέμησεν. ἔστι δὲ, ὥς τινες, ἐξ Ἰφιγενείας· φησὶ γὰρ Δοῦρις ὅτι κλαπεῖσα εἰς Σκῦρον ἐξετέθη ὑπ' αὐτοῦ.

ἡ δὲ ἑτέρα ἱστορία διαψεύδεται. ὅρα δε πῶς ἀπὸ γενικῆς εἰς αἰτιατικὴν ἡ μετάβασις γέγονεν. ὀδύρεται δὲ τὴν ἰδίαν ἀτυχίαν ὡς ἴσως αὐτὸν καὶ υἱοῦ στερήσουσαν. * ἡ δὲ ἑτέρα ἱστορία ἔχει οὕτως. Ἀλεξάνδρου Ἑλένην ἁρπάσαντος Ἀγαμέμνων καὶ Μενέλαος τοὺς Ἕλληνας κατὰ τῶν Τρώων ἐστρατολόγησαν. Πηλεὺς δὲ προγινώσκων ὅτι μοιρίδιον ἦν ἐν Τροίᾳ θανεῖν Ἀχιλλέα, παραγενόμενος εἰς Σκῦρον πρὸς Λυκομήδην τὸν βασιλέα παρέθετο τὸν Ἀχιλλέα. ὁ δὲ γυναικείαν ἐσθῆτα ἀμφιάσας αὐτὸν ὡς κόρην ἀνέτρεφε μετὰ

8. τουτέστιν ἡδύ] Hoc a m. sec.
29. * ἡ δὲ —] Haec usque ad finem a m. sec.

τῶν θυγατέρων. χρησμοῦ δὲ δοθέντος μὴ ἁλώσεσθαι τὴν Ἴλιον χωρὶς Ἀχιλλέως, ἐπέμφθησαν ὑφ' Ἑλλήνων πρὸς Πηλέα Ὀδυσσεὺς Φοῖνιξ καὶ Νέστωρ. τοῦ δὲ Πηλέως ἀρνουμένου παρ' αὐτῷ παῖδα μὴ τυγχάνειν, πορευθέντες εἰς Σκῦρον καὶ ὑπονοήσαντες μετὰ τῶν παρθένων τὸν Ἀχιλλέα τρέφεσθαι, ταῖς Ὀδυσσέως ὑποθήκαις ὅπλα καὶ ταλάρους ἔρριψαν σὺν ἱστουργικοῖς ἐργαλείοις ἔμπροσθεν τοῦ παρθενῶνος. αἱ μὲν οὖν κόραι ἐπὶ τοὺς ταλάρους ὥρμησαν καὶ τὰ λοιπὰ, ὁ δ' Ἀχιλλεὺς ἀνελόμενος τὰ ὅπλα κατάφωρος γέγονε καὶ συνεστρατεύσατο. πρότερον δὲ ταῖς παρθένοις συνδιατρίβων ἔφθειρε Δηϊδάμειαν τὴν Λυκομήδους, ἥτις ἐξ αὐτοῦ ἐγέννησε Πύρρον τὸν ὕστερον Νεοπτόλεμον κληθέντα, ὅστις τοῖς Ἕλλησι νέος ὢν συνεστρατεύσατο μετὰ θάνατον τοῦ πατρός. ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς.

333. ἀρσενικῶς τὸ δμῶας· συνυπακούεται δὲ αὐτῷ καὶ τὸ θηλυκόν.

342. ἀποίχεαι] κεχώρισαι. ἐῆος δὲ τοῦ ἀγαθοῦ, ἀπὸ τοῦ ἠῶ. ὅθεν καὶ τὸ "ἠοίη προλιποῦσα δόμους" (Hesiod. Scut. 1).

*ἀμβροσίην ἐρατεινήν] εὐωχίας αἰτίαν· αὕτη γὰρ ἐρατεινή· "δαιτὸς ἐπηράτου ἔργα μέμηλεν" (Il. 9, 228). ἄσιτον μὲν οὖν αὐτὸν ποιεῖ διὰ τὸ πάθος τοῦ φίλου· διὰ δὲ τὸ πιστὸν εἰς θεοὺς ἀνάγει τὴν αἰτίαν.

350. ἅρπῃ] τῷ ἰκτίνῳ. οἱ δὲ, ζῷον θαλάσσιον πολεμοῦν λάρῳ, ὃ φιλεῖ τὴν τροφὴν ἣν ἂν συνάγῃ φυλάττειν ἐπὶ τοῖς γάμφεσι, καὶ τοῖς νεοσσοῖς ἐπιχορηγεῖν· ᾧ νῦν εἴκασε τὴν Ἀθηνᾶν οἰκείως. οἱ δὲ τὸν ἰκτῖνον, ὅτι ἐφ' ὕψους ἱπτάμενος ὅπου θέλει καταρράσσει.

358. αἰθρηγενέος] τοῦ αἰθρίας αἰτίου καὶ γεννητικοῦ, τουτέστι τοῦ ψύχους· ψῦχος γὰρ ὁ Βορρᾶς ἐπιφέρει.

362. γέλασσε δὲ πᾶσα περὶ χθών] περιήστραψεν· ἀπὸ γὰρ τῶν τοιούτων περιστίλψεων διάχυσις γίνεται τοῦ περὶ γῆν ἀέρος. τινὲς δὲ τὸ περί ἀντὶ τοῦ περισσῶς.

374. ἠΰτε μήνης] καλῶς οὐχ ἡλίῳ εἴκασται διὰ τὴν τῶν ὑλῶν μελανότητα· παρέπονται γὰρ καὶ τῇ σελήνῃ τινὲς μελανότητες.

5. Ὀδυσσέως Vill.] ἀχιλλέως
12. *ἡ ἱστοριά παρὰ τοῖς κυκλικοῖς] om.
32. ὑλῶν Bekk.] ἄλλων

377. τοὺς δ' οὐκ ἐθέλοντας] οὐκ ἐῶνται, φησὶν, ὑπὸ τῶν πνοῶν πλησιάσαι τῇ γῇ, ἀλλ' ἄκοντες πελαγίζονται.

381. ἀστὴρ ὥς] πιθανὴ ἡ ὁμοίωσις· τὴν μὲν γὰρ ἀσπίδα σελήνῃ, τὸ δὲ κράνος ἀστέρι, τὸν δὲ Ἀχιλλέα ἡλίῳ παραβάλλει.

382. ἵππουρις] καταχρηστικῶς· οὐ γὰρ τοιαύτη ἦν. ἔθειραι δὲ αἱ τημεληθεῖσαι τρίχες.

384. πειρήθη] ἐπειρήθη ὅπως εἰδῇ πότερον ἔσφιγκται ἢ σαλεύεται περὶ τῷ σώματι. τὸ δὲ ἐντρέχοι, εἰ συνάλλεσθαι τοῖς ὅπλοις δύναιτο καὶ μὴ ἐμποδίζοιτο.

386. Πορφυρίου. τινές φασιν ὅτι ἐμετεώριζεν αὐτὸν ὁ κόσμος καὶ γαυριᾶν ἐποίει. ἢ τάχα ἡ συμμετρία τῶν ὅπλων καὶ κουφότητα ἐνεποίει, ὡς μὴ δοκεῖν αὐτὸν φέρειν ταῦτα, ἀλλ' αὐτὸν τοῦτον. εἰ δὲ μείζονα ἦν, βαρύτερα ἂν ὑπῆρχε. καὶ τὰ πτερὰ δὲ πολλὴν ἁρμονίαν ἔχει. ὁ δὲ λόγος ὑπερβολή· τὰ ὅπλα γοῦν, φησὶ, κοῦφα γεγόνασιν ὡς πτερὰ, καὶ ἦρε καὶ ἐκούφιζε τὸν Ἀχιλλέα, ὡς ὄρνιθας τὰ πτερά· τὸ γὰρ ἄειρεν ἐπὶ τοῦ ἐκούφιζε· "Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρε" (Il. 11, 637)· "ἤ μ' ἀνάειρ' ἢ ἐγὼ σέ" (Il. 23, 724). τετόλμηται γοῦν ὁ λόγος ὡς τῶν ὅπλων βασταζόντων τὸν Ἀχιλλέα, οὐ βασταζομένων.

388—391. οὗτοι καὶ ἐπὶ Πατρόκλου κεῖνται, ἵνα γνῶμεν διὰ τί παρέλιπεν αὐτὸ, καὶ ἐνταῦθα πρὸς αὔξησιν Ἀχιλλέως, ὅτι τὸ ἄλλοις μὴ φορητὸν εὐκόλως οὗτος περιῆγε. βριθὺ δὲ τὸ ἐπώδυνον· τὸ γὰρ βάρος ἐπὶ τῶν δοράτων ἄχρηστον.

389. *Πορφυρίου. τὸ "ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς" ἐξηγοῦνται ἀντὶ τοῦ ἠδύνατο· προειπὼν γάρ φησι "τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν πάλλειν." πλανῶνται δέ· τῇ γὰρ ἐπιστήμῃ καὶ τὴν δύναμιν προσάπτει, ὥς πού φησιν "ἐπεὶ οὐδ' ἐμὲ νήϊδά γ' οὕτως ἔλπομαι ἐν Σαλαμῖνι γενέσθαι τε τραφέμεν τε" (Il. 7, 198) καὶ "φῶθ' Ἡρακλῆα μεγάλων ἐπιίστορα ἔργων" (Od. 21, 26), τουτέστιν ἐπιγνώμονα καὶ ἐπιστήμονα, ὡς τὸ "ἴστορα δ' Ἀτρείδην Ἀγαμέμνονα θείομεν ἄμφω" (Il. 23, 486) καὶ "ἄμφω δ' ἱέσθην ἐπὶ ἵστορι πεῖραρ ἑλέσθαι" (Il. 18, 501), τουτέστιν ἐπὶ ἐπιστήμονι δικῶν κρίσεως.

393. λέπαδν'] τοὺς καθιεμένους κατὰ τῶν ἱππείων τραχήλων περιστηθίους ἱμάντας πρὸς τὸ δεσμεῖν.

14. τὰ ὅπλα—βασταζομένων] Haec ab secunda manu addita.

396. χειρὶ λαβὼν ἀραρυῖαν] τῇ χειρὶ ἀραρυῖαν, οἷον οὐκ ἐξολισθαίνουσαν τῆς χειρός.

398. ἠλέκτωρ] ὁ εἰς λέκτρον μὴ ἐρχόμενος. ἢ παρὰ τὸ μὴ κοιμᾶσθαι εἰλούμενον, διὸ καὶ ἵππους αὐτῷ οὐχ ὑποζεύγνυσι, τὸν δὲ οὐρανὸν ὄχημα αὐτοῦ φησίν. ἢ μᾶλλον ὁ μὴ κοιμίζων· τὰ γὰρ εἰς τωρ κατ' ἐνεργείας τάσσει, σημάντωρ κοσμήτωρ. λέγω δὲ τὸ κοιμίζω, ὅθεν καὶ λέχος· ὑπερίων δὲ ὅτι καὶ ὅτε αὐτὸν δοκοῦμεν ἡμεῖς κάτω φέρεσθαι, καὶ τότε τὴν γῆν κυκλοῖ καὶ ὑπεράνω ἡμῶν ἐστίν. εἰκότως δὲ πυρὸς αὐγῇ τὸν θώρακα (Il. 18, 610), τὸ δὲ σάκος σελήνῃ (374), τὸ δὲ κράνος ἀστέρι εἰκάσας (381), τὸν ἐκ πάντων τούτων καταλαμπόμενον ἡλίῳ μάλιστα εἰκάζει τῷ λαμπροτάτῳ.

*συνεχῶς τοίνυν τὸν ἥλιον ἀκάμαντα καὶ ἠλέκτορα καὶ ὑπερίονα προσαγορεύει, διὰ τῶν ἐπιθέτων οὐκ ἄλλο τι πλὴν τοῦτο τὸ σχῆμα σημαίνων. ὅ τε γὰρ ἀκάμας, ὁ μὴ κάμνων, ἔοικεν ὅρους ἔχειν οὐκ ἀνατολὴν καὶ δύσιν, ἀλλὰ τὴν ἀεὶ περίδρομον ἀνάγκην. ἠλέκτωρ δὲ δυοῖν θάτερον, ἢ ἤλεκτρος ὁ θεὸς ὀνομάζεται μηδέποτε κοίτης ἐπιψαύων, ἢ τάχα πιθανώτερον, ἐπιελίκτωρ τις ὢν καὶ κυκλοτερεῖ φορᾷ δι' ἡμέρας καὶ νυκτὸς ἀναμετρούμενος τὸν κόσμον. ὑπερίονα δὲ νομιστέον αὐτὸν ὡς ὑπεριέμενον ἀεὶ τῆς γῆς, ὥσπερ, οἶμαι, καὶ Ξενοφάνης ὁ Κολοφώνιός φησιν "ἠέλιός θ' ὑπεριέμενος γαῖάν τ' ἐπιθάλπων." εἰ γὰρ πατρωνυμικῶς αὐτὸν ἠθέλησεν ὀνομάζειν, εἶπεν ἂν Ὑπεριονίδην, ὡς Ἀτρείδην εἶπε τὸν Ἀγαμέμνονα καὶ Πηλείδην τὸν Ἀχιλλέα.

401. ἄλλως] μὴ ὡς ἐπὶ Πατρόκλῳ. ἔστι δὲ ὁ μὲν Αὐτομέδων θνητός, οἱ δὲ ἵπποι ἀθάνατοι· διὸ μᾶλλον ἐγκαλεῖ τοῖς σώζειν δυναμένοις. ἢ ὅτι διὰ τῶν ἵππων καὶ τῷ ἡνιόχῳ ἐπιπλήττει.

405. παρέκλινε τὴν κεφαλήν, ἐπιστρέφων ἑαυτὸν ὥστε ἐναντίος τῷ Ἀχιλλεῖ γενέσθαι καὶ πρὸς αὐτὸν λαλῆσαι.

406. ζεύγλης] ζεύγλη τὸ ὑπὸ τὸν ζυγὸν μέρος, εἰς ὃ ὁ τράχηλος ἐντίθεται.

407. αὐδήεντα] λογικοῦ ζῴου φωνὴν ἔχοντα. οὐκ εὐπρεπὲς δέ, φασί, τὴν Ἥραν παραιτίαν λύπης γενέσθαι τῷ Ἀχιλλεῖ. ῥητέον δὲ ὅτι εἰς πρᾶγμα τολμηρὸν καταβαίνων ὁ ποιητής, τὸ φωνῆς μετέ-

5. * μὴ] ἡμᾶς
13–24. Eadem Heracliti verba supra p. 188, 10–21 levi cum diversitate scripturae.

χοντας ἵππους εἰσάγειν, θεῷ τὴν αἰτίαν ἀνατίθησι, καὶ Ἥρᾳ, ἐπεὶ φωνή ἐστιν ἀὴρ πεπληγμένος. τί δὲ ἄτοπον, ὅπου γε καὶ Θέτις προεῖπεν (Π. 18, 96) "αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος;"

τὸ "αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη" οὐκ ἔστι φωνὴν ἔχοντα, ἀλλ' ἀνθρωπείᾳ φθεγγόμενον ὀπὶ ὡς οἱ ἄνθρωποι, καὶ ὡς παράδοξον ἐπεσημήνατο. καὶ τὸ "Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα" (Od. 10, 136) σημαίνει τὸ ἀνθρωπίνως φθεγγομένη, οὐχ ὡς θεός. διὰ σημείων γὰρ, οἰωνῶν καὶ ἱερείων καὶ θυσιῶν, καὶ δι' ὀνείρων καὶ ἐφετμῶν, καὶ οὐκ αὐδῆς φθέγγονται οἱ θεοί. καὶ ἀλλαχόθι "οἵ τ' αἰεὶ βούλοντο θεοὶ μεμνῆσθαι ἐφετμέων" (Od. 4, 353), τῶν θεοπροπίων λέγει. ἡ δὲ Κίρκη "καλὸν ἀοιδιάει" (Od. 10, 227) ὡς ἄνθρωπος.

411. νωχελίῃ] νωχελία παρὰ τὸ μὴ δύνασθαι κέλλειν· ὅθεν παρῆκται καὶ χελώνη.

413. θεῶν ὤριστος] ἥλιος γάρ ἐστιν ὁ μείζων πάντων τῶν ἄστρων.

417. θεῷ τε καὶ ἀνέρι] φασὶ γὰρ ὅτι ἐν σχήματι Πάριδος ὁ Ἀπόλλων αὐτὸν ἐτόξευσεν διὰ τὸν Πολυξένης ἔρωτα.

418. Ἐρινύες ἔσχεθον αὐδήν] ἐπίσκοποι γάρ εἰσι τῶν παρὰ φύσιν. ἢ τὸν περὶ θανάτου λόγον ἀνεγράψαντο.

423. ἄδην ἐλάσαι] ἀθρόως κορέσαι καὶ πληρῶσαι. μεγαλοφυῶς δὲ οὐδὲ πλησίον τοῦ κινδύνου γενόμενος ἀποτρέπεται τῆς ὁρμήσεως, βουλόμενος καὶ ἐν αὐτῇ τῇ τελευτῇ ἀνδραγαθίαις ἐνθανεῖν.

ΕΙΣ ΤΗΝ Υ.

2. ἀμφὶ σὲ, Πηλέος υἱέ] ὅτι πάσης τῆς στρατείας ἡγεμὼν αὐτὸς ἐγένετο καὶ αὐτῶν τῶν ἡγεμόνων. ὀρθοτονητέον δὲ τὴν ἀντωνυμίαν διὰ τὴν πρόθεσιν. προσφωνεῖ δὲ ὁ ποιητὴς ἡρωϊκοῖς μὲν προσώποις πέντε, Ἀχιλλεῖ Μελανίππῳ Πατρόκλῳ Εὐμαίῳ Μενελάῳ, θεῶν δὲ Ἀπόλλωνι· "ἀμφὶ σὲ ἤϊε Φοῖβε" (152).

5. τὸ αὐδήεντα—ὡς ἄνθρωπος] Est prior pars scholii Porphyriani, cuius pars altera servata est in scholiis Odysseae ad 5, 334 p. 278, 15—279, 9. De quo dixit Rosius in Aristotele pseudepigrapho p. 171, 172.

εἰ μὲν πληθυντικῶς εἴπωμεν, ἡ στιγμὴ εἰς τὸ υἱέ· εἰ δὲ ἑνικῶς, ἐπὶ Ἀχιλλέως, διαστολὴ εἰς τὸ ἀκόρητον.

3. * θρωσμῷ πεδίοιο] ὑψηλῷ τόπῳ, ὅθεν ἔστι καταθορεῖν καὶ πηδῆσαι. γίνεται δὲ ἐκ τοῦ θορῶ θρῶ. ἔνθα καὶ τὰς θεὰς κριθῆναι λέγουσι περὶ κάλλους.

4. πρὸς μὲν τὰς ψιλὰς ἀγγελίας Ἴριδι χρῆται· ὅταν δὲ μεῖζόν δέῃ διοικῆσαι, τὸν Ἑρμῆν ἀποστέλλει· νῦν δὲ, ὡς νομιμωτάτης ἐσομένης τῆς ἀγορᾶς καὶ τέλος ἐπιθεῖναι μελλούσης τοῖς πράγμασι, πρὸς τὴν σύγκλησιν τῇ Θέμιδι χρῆται, οὐχ ὡς κήρυκι, ἀλλ᾽ ὅτι καὶ τὰς τῶν "ἀνδρῶν ἀγορὰς ἠμὲν λύει ἠδὲ καθίζει" (Od. 2, 69), διὰ τὸ κατὰ νόμους ἐγχειρεῖν τοῖς πρακτέοις. τὸ δὲ Θέμιστα Ἀττικῶς ἀντὶ τοῦ Θέμιστι. μεγαλοφυὴς δὲ ἡ ἔξοδος Ἀχιλλέως, ὅπου γε ἐκκλησία θεῶν δι᾽ αὐτὸν γίνεται καὶ θεομαχία.

5. κρατὸς ἄπ᾽ Οὐλύμποιο] ἐκεῖσε γὰρ ὁ οἶκος τοῦ Διὸς, καὶ αὐτόθεν αὐτὴν παρακελεύεται εἰς τοῦτο. πολυπτύχου δὲ πολλὰς ἀνακλίσεις ἔχοντος· ἢ ἰσχυροῦ, ἀπὸ τῶν πολυπτύχων ἀσπίδων.

7. οὔτε τις οὖν ποταμῶν ἀπέην] τὴν γῆν παρῆκε, μὴ διορισάμενος εἴτε παραγέγονεν εἴτε καὶ οὔ. τάχα οὖν ὡς ὡμολογημένον αὐτὸ παρῆκεν ὁ ποιητής· ἀνάγκη γὰρ μένοντος τοῦ Ὠκεανοῦ καὶ τὴν γῆν μένειν· περὶ γὰρ ταύτην τὸ ὕδωρ. οὐκ ἔδει δὲ τῶν ἐξ αὐτῶν κινουμένων καὶ ταῦτα κινεῖσθαι· ὡς γὰρ πρόγονοι πάντων ἀκίνητοι μένουσιν. * ἢ ἵνα μὴ κωλύῃ αὐτοὺς τῆς πρὸς ἀλλήλους μάχης πρεσβύτης ὤν.

8. * αἵ τ᾽ ἄλσεα καλὰ νέμονται] αἱ τὰ ἄλση κατοικοῦσαι νύμφαι ἀλσηΐδες καλοῦνται, αἱ δὲ ἐπὶ τῶν δένδρων ἁμαδρυάδες, αἱ δὲ τὰ νάματα τῶν ὑδάτων ναΐδες καὶ ὑδριάδες. αἱ δὲ ἐπὶ τῶν βοσκημάτων ἐπιμηλίδες, αἱ δὲ ἐπὶ τῶν ὀρῶν ὀρειάδες, καὶ ὅσαι ταύταις ὅμοιαι. ὁμοίως δὲ καὶ αἱ ἐπὶ τῶν ἑλῶν ἑλειονόμοι. πείσεα δὲ τὰ βοτανώδη καὶ ὑδρηλὰ χωρία· ὅθεν ἔστι πεῖσαι ἤγουν ποτίσαι.

πίω πίσω πεῖσος, πλεονασμῷ τοῦ ε̄, ὡς μύω μύσω μύσος· τοῖς γὰρ μιαιφόνοις οὐκ ἐξῆν προσβλέπειν τινί.

11. αἴθουσαί εἰσι τόποι πρόστῳοι, ὑφ᾽ ἡλίου καταλαμπόμενοι.

13. ἐπεὶ πρότερον ἐξελαθῆναί φησιν αὐτὸν τῆς μάχης ὑπὸ τοῦ

7. * δέῃ] δέοι
9. * σύγκλησιν] σύγκλητον
22. ἢ—ὤν] Scholion manus secundae.
28. πείσεα—ποτίσαι] Haec alio atramento scripta.

Διός, ὥσπερ τι παράδοξον εἰσάγει ὅτι οὐκ ἐμνησικάκησε τῆς ὕβρεως, ἀλλὰ πειθαρχῶν φαίνεται, καὶ οὐ μόνον συνῆλθεν, ἀλλὰ καὶ τοῦ λέγειν ἄρχεται.

16. τίπτ' αὖτ'] ἀξίωμα ἐμφαίνει αὐτοῦ ὡς προλαμβάνοντος τοὺς λόγους τοῦ Διός. τὸ δὲ αὖτε παραπληροῖ, ἢ σημαίνει τὸ πάλιν, ἵνα φαίνηται ἀπομνημονεύων ἠθικῶς τῶν πρόσθεν, ὅτε αὐτοῖς ἀπηγόρευε μάχεσθαι.

21. ὧν] ἤτοι ἀνδρῶν. μέλουσι δὲ αὐτῷ ὡς πατέρι θεῶν καὶ ἀνδρῶν. ὁ δὲ πέρ περιττεύει.

23. βέλτιον τὸ ἥμενος τοῖς ἄνω συνάπτειν, ἵνα μὴ δύο μετοχαὶ ἀσυνδέτως κέωνται. τέρψεται δὲ διὰ τὸ σώζεσθαι τὸ μοιρίδιον, ἢ ἁλισκομένης τῆς Ἰλίου. ἐπάγει γοῦν "εἰ γὰρ Ἀχιλλεὺς οἶος Τρωσὶ μαχεῖται, οὐδὲ μίνυνθ' ἕξουσιν."

25. ἀμφοτέροισι δ' ἀρήγεθ'] τοῖς μὲν Ἀχαιοῖς, μὴ νῦν ἀπὸ τοῦ Ἀπόλλωνος Ἀχιλλεὺς τοξευθῇ, τοῖς δὲ Τρωσὶ, μὴ ὑπ' Ἀχιλλέως πάντες ἀπόλωνται. ἐκτραγῳδῶν δὲ τὰς ποιήσεις, θεῶν παρατάξεις συμμίσγει αὐταῖς.

26. εἰ γὰρ Ἀχιλλεὺς οἶος] δόξειεν ἂν τοὐναντίον ἢ ὁ Ζεὺς βούλεται γίνεσθαι, τῶν θεῶν ἐκπεμπομένων ἐπὶ τὴν μάχην. ὁ μὲν γάρ φησιν, εἰ μὴ παραγένοιντο, οὐδὲ πρὸς ὀλίγον ἀνθέξουσιν οἱ Τρῶες μαχόμενοι τῷ Ἀχιλλεῖ, ἐκ δὲ τοῦ ἀφικνεῖσθαι αὐτοὺς μᾶλλον ἰσχυρότερος γίνεται τῷ εἶναι τοὺς Ἑλληνικοὺς θεοὺς ἰσχυροτέρους τῶν Τρωϊκῶν· ἐὰν γὰρ δύο ἀνίσοις ἴσα προστεθῇ, τὰ ὅπλα ἐστὶν ἄνισα· ἡ γὰρ αὐτὴ ὑπεροχὴ τῶν ἐξ ἀρχῆς ὑπερεχόντων μένει. εἰ δὲ καὶ ἴσοι ἦσαν, περιττὴ ἦν ἡ ἐπικουρία τῶν θεῶν. ἐροῦμεν δὲ ὡς οὐ διὰ τὴν μάχην τῶν θεῶν ἡ κάθοδος γέγονεν, ἀλλ' ἵνα πρόφασις Ἀχιλλεῖ τῆς ἀπάτης Ἀπόλλωνος γένηται (Il. 21, 599), δυνηθῇ δὲ καὶ Σκάμανδρος παρεμποδίσαι Ἀχιλλεῖ.

29. ἑταίρου χώεται] λείπει ἡ περί· τὸ δὲ αἰνῶς δύναται ἑκατέροις συνάπτεσθαι.

30. Ἀριστοφάνης καὶ οἱ πλείους ὑφ' ἓν προήνεγκαν τὸ ὑπέρμορον, ὡς ὑπέρβιον, ἵνα ἀντὶ τοῦ ὑπερμόρως κέηται· δύναται μέντοι καὶ ὑπὲρ μόρον κατὰ διάλυσιν λέγεσθαι.

4. προλαμβάνοντος Bekkerus] παραλαμβάνοντος
10. * ἄνω] ἄλλοις
11. * κέωνται] κεῖνται
25. εἰ δὲ καὶ—τῶν θεῶν] Haec in B supra lecta post τῶν Τρωϊκῶν huic transposuit Bekkerus.
32. κέηται scripsi pro κεῖται

33. Ἥρη μέν] Ἥρα εἰς νόμιμον γάμον ἀδικηθέντι Μενελάῳ βοηθεῖ, Ἀθηνᾶ δὲ τοῖς δικαίως καὶ φρονίμως μαχομένοις. Ἐριούνης δὲ ὁ ἐρευνητικός (λόγος γάρ ἐστιν) ἢ ὁ μέγιστα ὠφελῶν, πλεονάζοντος τοῦ ῡ. Ποσειδῶν δὲ, ὅτι ἀπὸ θαλάσσης πρὸς τοὺς ἐν τῇ ξηρᾷ πολεμοῦσιν· Ἥφαιστος δὲ διὰ τὸ φρόνιμος καὶ μηχανικὸς καὶ τεχνίτης εἶναι, οἷοι καὶ Ἕλληνες.

37. ῥώοντο] ἐρρωμένως ἐπειρῶντο βί ζειν.

38. ἐς δὲ Τρῶας Ἄρης] ὁ μὲν Ἄρης ἁρπαγῆς καὶ βίας δεσπόζει ὡς οἱ Τρῶες, ὁ δὲ Φοῖβος καὶ Ἄρτεμις χορῶν δεσπόζουσι καὶ παιγνίων· καὶ οἱ Τρῶες δὲ "χοροιτυπίῃσιν ἄριστοι" (ib. 261)· ἅμα δὲ ὅτι καὶ τοξόται εἰσὶ τοῖς Τρωσὶν ὁμοίως. Λητὼ δὲ, ὅτι ἐπιλήσμονες ἐξ ἀφροσύνης ἦσαν. ὁ δὲ Ξάνθος, ὅτι δίκην ὕδατος πρὸς τὰς αἰσχρότητας ἐφέροντο. ὅτι δὲ πορνικοὶ καὶ θηλυδρίαι, καὶ ἡ Ἀφροδίτη συνέπεται. ὁ μέντοι Ἅιδης οὐ βοηθεῖ, ὅτι ἀπωλείαις ἥδεται, ὁ Ἥλιος, ὅτι πάντας ἂν ὁμοίως ἔβλαψε σκοτοποιῶν. Δημήτηρ δὲ καὶ Διόνυσος καρποφόροι ὄντες ἄχθονται τῷ πολέμῳ δῃοῦντι τοὺς καρπούς.

39. ἀκερσεκόμης] ἐπεὶ κουροτρόφος· ἐπὶ δὲ τοῖς πένθεσιν ἐκείροντο. δηλοῖ τοίνυν τὸν ᾧ εὔχοντο ἀπενθεῖς τηρεῖσθαι.

*ἢ ἀκερσεκόμης ὁ μὴ κειρόμενος τὴν κόμην, ἀλλ' ἀεὶ κομῶν, διὰ τὰς ἀκτῖνας· ἴσος γὰρ ἡλίῳ ὁ Ἀπόλλων.

48. λαοσσόος] πῶς λαοσσόον τὴν Ἔριν προσηγόρευσεν; οὐ γὰρ σώζουσα φαίνεται, ἀλλὰ φθείρουσα μᾶλλον τὰ πλήθη. ῥητέον δὲ ὅτι ἔριν νῦν τὴν τῶν Ἑλληνικῶν καὶ Τρωϊκῶν θεῶν φιλονεικίαν φησίν· ἡ γὰρ τούτων πρὸς ἀλλήλους ἔρις σωστικὴ ἐγένετο τῶν ἀνδρῶν.

4. τοῦ ῡ] *τοῦ ῡ. οἱ δὲ τραγικοὶ τὸν καταχθόνιον. ἐπεὶ οὖν μετὰ λόγου ποιοῦνται τὴν μάχην οἱ Ἕλληνες, βοηθεῖ αὐτοῖς. ἅμα δὲ καὶ διὰ Κυλλή . . .

6. Post hoc scholion sequitur in B excerptum ex Suida (s. v. Ἑρμείας) *τοῦτον Διὸς λέγουσιν υἱὸν εἶναι καὶ Μαίας, οἷον τοῦ νοῦ καὶ τῆς φρονήσεως· ἐκ νοῦ γὰρ καὶ φρονήσεως ὁ λόγος γεννᾶται. διὰ τοῦτο καὶ πτερωτὸν αὐτὸν ποιοῦσιν ὡς ταχύν. οὐδὲν γὰρ λόγου ταχύτερον. καὶ Ὅμηρος ἔπεα πτερόεντα. πάντων δὲ νεώτατον αὐτὸν ἐργάζονται διὰ τὸ μὴ γηράσκειν τὸν λόγον. ἀλλὰ καὶ τετράγωνον αὐτὸν ποιοῦσι διὰ τὴν στερεότητα τοῦ ἀληθοῦς λόγου. λέγουσι δὲ αὐτὸν καὶ κέρδους αἴτιον καὶ τῶν ἐμπορίων ἔφορον. ὅθεν καὶ τὸ ἄγαλμα αὐτοῦ ἱστῶσι βαστάζοντα μάρσιπον. ἀλλὰ καὶ οἱ Φοίνικες τοὺς θεοὺς αὐτῶν πλάττουσιν ἐπιφέροντας βαλάντια ὡς τοῦ χρυσοῦ συμβόλου ὄντος δυναστείας, οἱ δὲ Ἕλληνες σιδηροφοροῦντας αὐτοὺς πλάττουσιν ὡς τοῖς ὅπλοις ὑποταττομένων τῶν ἀνθρώπων.

16. *δῃοῦντι] διὰ

ἢ τὸ λαοσσόος δηλοῖ τὴν τὸν λαὸν σεύουσαν καὶ παρορμῶσαν· δύναται δὲ καὶ εἰς τὸ κρατερὴ στιγμὴ γενέσθαι, τὸ δὲ λαοσσόος τοῖς ἑξῆς συνάπτεσθαι.

52. ἀκροτάτης πόλιος] ἰδίως διαλύσας τὴν λέξιν ὑπερτέθεικε τὸ ἄκρον αὐτῆς, ἀντὶ τοῦ ἄκρης ἀκροτάτης εἰπών. ἐξ ὕψους δὲ βοᾷ, πάντα τὸν τόπον πληρῶν τῆς βοῆς.

53. θεῶν ἐπὶ Καλλικολώνῃ] Δημήτριος ὁ Σκήψιος λόφον εἶναί φησι μεταξὺ Ἰλιέων καὶ Σιμοῦντος, ὃς ἀπέχει κατὰ διάμετρον Σιμοῦντος μὲν στάδια πέντε, Ἰλιέων δὲ στάδια δέκα. θεοῖς δὲ αὐτὴν ἀνατίθησιν ὡς πλήθουσαν λιβάσι καὶ λειμῶσι. τὸ δὲ θεῶν καὶ θέων δύναται γράφεσθαι, ἵνα δηλοῖ τὸν ἐπειγόμενον.

57. αὐτὰρ ἔνερθε] κάτωθεν· ἐνοσίχθων γάρ ἐστιν.

58. *ἀπειρεσίην] τὴν πέρας μὴ ἔχουσαν, διὰ τὸ σφαιροειδῆ εἶναι.

59. πολυπίδακος] πῖδαξ παρὰ τὸ ἰδῶ τὸ ἱδρῶ· ἱδρῶτα γὰρ τῆς γῆς οἱ φυσικοὶ τὰς πηγὰς λέγουσιν· ἢ ἐκ τοῦ πίνω πῖναξ πῖδαξ.

61. ἄναξ ἐνέρων Ἀϊδωνεύς] εἰ ὁ τοῦ θανάτου δεσπότης δέδιε, τίνα χρὴ νομίζειν περὶ τοὺς ἀνθρώπους συμβῆναι διάθεσιν; οὐ παρατάσσει δὲ Ἅιδην· ἀπωλείαις γὰρ ἥδεται. ἢ καὶ σεμνότερον αὐτὸν νομίσας· Δία γοῦν καταχθόνιον αὐτὸν καλεῖ.

67. *διὰ τί δὲ οὗτοι οἱ θεοὶ προήρηνται βοηθεῖν τοῖς Ἕλλησιν, Ἥρα, Ἀθηνᾶ, Ποσειδῶν, Ἥφαιστος, Ἑρμῆς, τοῖς δὲ Τρωσὶν Ἄρης, Ἀπόλλων, Ἄρτεμις, Λητώ, Σκάμανδρος, Ἀφροδίτη; ῥητέον οὖν ὅτι Ἥρα μὲν Ἕλλησι βοηθεῖ, ὅτι γαμήλιός ἐστιν ἡ θεός, μισεῖ δὲ μοιχὸν ὄντα τὸν Ἀλέξανδρον· ἢ ὅτι ἐν τῷ Ἄργει ἐτιμᾶτο λαμπρῶς, ὅθεν φησὶν ὁ ποιητὴς "Ἥρη τ' Ἀργείη" ἢ ὅτι ὡς τὸ Ἄργος, οὕτως ἦν οἰκεία αὐτῇ καὶ ἡ Σπάρτη καὶ ἡ Μυκήνη, ὥς φησιν ἐν τῇ Δ (51). Ἀθηνᾶ δὲ διὰ τὸ ἀποδοκιμασθῆναι ὑπὸ Ἀλεξάνδρου, ἢ διὰ τὸ ἀλλοτρίους εἶναι τῆς συνέσεως τοὺς βαρβάρους. Ποσειδῶν δὲ, ἐπεὶ οἱ πλείους τῶν Ἑλλήνων νησιῶταί εἰσιν, καὶ διὰ τὸ ὀργίζεσθαι μὲν Λαομέδοντι ἐπὶ ἀποστερήσει μισθοῦ τῆς τειχοποιίας. Ἑρμῆς δὲ Λητοῖ, ἤτοι ὁ λόγος τῇ λήθῃ ἢ ὅτι ἐξ Ἀρκαδίας, ἢ ὅτι κήρυκας ἀποσταλέντας πρὸς αὐτοὺς ὑπὸ Ἑλλήνων ἐπὶ διαλύσει τῶν διαφορῶν

8. Ἰλιέων] ἠλιέων hic et infra.

20. διὰ τί δὲ —] δὲ particula refertur ad praecedentem scholii partem, qua caret B, sed quam servarunt A vol. 2 p. 195, 9 et editio Romana.

προήρηνται Bekk.] προείρηνται

22. *Ἄρης] om.

23. *ὅτι] om.

Ὀδυσσέα καὶ Μενέλαον ἠβουλήθησαν ἀνελεῖν πεισθέντες Ἀντιμάχῳ· προστάτης δὲ τῶν κηρύκων ὁ Ἑρμῆς. Ἥφαιστος δὲ διὰ τὸ μισεῖν Ἄρην, ὅτι ἐμοίχευσε τὴν γυναῖκα αὐτοῦ Ἀφροδίτην. τοῖς δὲ Τρωσὶ παρέστη Ἄρης, τὸ ὅμοιον μεταδιώκων· φιλοπόλεμος γὰρ ὁ θεός, πολέμου φίλοι καὶ οἱ Τρῶες. ὁ δὲ Ἀπόλλων ἤτοι διὰ τὸ τόξον· τοξικοὶ δὲ καὶ οἱ Τρῶες, καὶ ἐν πρώτοις Ἀλέξανδρος· ἢ ὅτι κιθαριστὴς καὶ εὔμορφος, ὡς Ἀλέξανδρος. Ἄρτεμις δὲ καὶ Λητὼ χαριζόμεναι τῷ Ἀπόλλωνι, ἢ ὅτι παρὰ τοῖς βαρβάροις τιμῶνται. Ξάνθος δὲ ὡς ὑπὲρ οἰκείας χώρας μάχεται. ἡ δὲ Ἀφροδίτη διὰ τὸ ὑπὸ Ἀλεξάνδρου προκριθῆναι· καὶ σχεδὸν εἰπεῖν αὕτη ἀνθίσταται τῷ πολέμῳ· καὶ εἰκότως πάρεστι βοηθὸς τοῖς Τρωσίν.

*τοῦ ἀσυμφόρου μὲν ὁ περὶ θεῶν ἔχεται καθόλου λόγος, ὁμοίως δὲ καὶ τοῦ ἀπρεποῦς· οὐ γὰρ πρέποντας τοὺς ὑπὲρ τῶν θεῶν μύθους φησίν. πρὸς δὲ τὴν τοιαύτην ἐπίλυσιν οἱ μὲν ἀπὸ τῆς λέξεως κατηγοροῦντες, ἀλληγορίᾳ πάντα εἰρῆσθαι νομίζοντες ὑπὲρ τῆς τῶν στοιχείων φύσεως, οἷον ταῖς ἐναντιώσεσι τῶν θεῶν· καὶ γάρ φασι τὸ ξηρὸν τῷ ὑγρῷ καὶ τὸ θερμὸν τῷ ψυχρῷ μάχεσθαι καὶ τὸ κοῦφον τῷ βαρεῖ. ἔτι δὲ τὸ μὲν ὕδωρ σβεστικὸν εἶναι τοῦ πυρός, τὸ δὲ πῦρ ξηραντικὸν τοῦ ὕδατος. ὁμοίως δὲ καὶ πᾶσι στοιχείοις ἐξ ὧν τὸ πᾶν συνέστηκεν, ὑπάρχει ἡ ἐναντίωσις, καὶ κατὰ μέρος μὲν ἐπιδέχεσθαι φθορὰν ἅπαξ, τὰ πάντα δὲ μένειν αἰωνίως· μάχας δὲ διατίθεσθαι αὐτόν, διονομάζοντα τὸ μὲν πῦρ Ἀπόλλωνα καὶ Ἥλιον καὶ Ἥφαιστον, τὸ δὲ ὕδωρ Ποσειδῶνα καὶ Σκάμανδρον, τὴν δ' αὖ σελήνην Ἄρτεμιν, τὸν ἀέρα δὲ Ἥραν, καὶ τὰ λοιπὰ ὁμοίως. ἔσθ' ὅτε καὶ ταῖς διαθέσεσιν ὀνόματα θεῶν τιθέναι, τῇ μὲν φρονήσει τὴν Ἀθηνᾶν, τῇ δ' ἀφροσύνῃ τὸν Ἄρεα, τῇ δ' ἐπιθυμίᾳ τὴν Ἀφροδίτην, τῷ λόγῳ δὲ τὸν Ἑρμῆν, καὶ προσοικειοῦσι τούτοις. οὗτος μὲν οὖν τρόπος ἀπολογίας ἀρχαῖος ὢν πάνυ καὶ ἀπὸ Θεαγένους τοῦ Ῥηγίνου, ὃς πρῶτος ἔγραψε περὶ Ὁμήρου, τοιοῦτός ἐστιν ἀπὸ τῆς λέξεως. ἔνιοι δὲ ἀπὸ ἔθους ἀπολογοῦνται· συγκεχώρηνται γὰρ ὑπὸ τῶν πόλεων καὶ τῶν νομοθετῶν τοιαῦτα περὶ θεῶν μὴ μόνον ᾄδειν ἐν ποιήσεσιν, ἀλλὰ καὶ τοῖς μυστηρίοις παραδιδόναι, ἔν τε ἱεροῖς ἀναθήμασι, καὶ ἔτι σύμφωνα τοῖς μύθοις κατασκευάζειν, καὶ τὸν πέπλον ἀνάγειν ἐνυ-

4. * παρέστη] προέστη
5. πολέμου φίλοι] * φιλοπόλεμοι δὲ
* ὁ δὲ Ἀπόλλων—οἱ Τρῶες] om.
10. αὕτη ἀνθίσταται] * αὐτὴν ἀνθίστανται

φασμένον τῆς γιγαντομαχίας. οἱ δ' ἀπὸ τοῦ καιροῦ τοῦτο κατὰ τὴν Ἑλλάδα παραμυθοῦνται. βασιλευομένης γὰρ τότε τῆς Ἑλλάδος καὶ κοινῇ καὶ κατὰ πόλεις, τὸ τῶν βασιλέων γένος αὔξοντας ποιεῖ, ἀπὸ τοῦ ὡς ἂν μὴ παντάπασιν πόρρω εἶναι δοκῇ ἡ ἀνθρωπίνη φύσις τῆς θείας· ὑποπλάττει δὲ καὶ περὶ θεῶν ὁποῖα περὶ ἀνθρώπων ὁρῶμεν φάσκοντας. τὸ μὲν οὖν λίαν ἕν τε τῷ ἀσυμφόρῳ ταράττον καὶ τῷ ἀπρεπεῖ τοιοῦτόν ἐστι· τὰ δ' ἐπὶ μέρους ἴδωμεν, ὡς μὲν ἀσύμφορα ταῦτα κατηγορεῖται.

*φρικώδης καὶ χαλεπὸς ἀνίσταται ἐφ' Ὁμήρῳ τῶν συκοφαντούντων φθόνος ὑπὲρ τῆς θεομαχίας· οὐ γὰρ ἔτι Τρώων καὶ Ἀχαιῶν φύλοπις αἰνὴ παρ' αὐτῷ συνέρρωγεν, ἀλλ' οὐράνιοι ταραχαὶ καὶ στάσεις τὸ θεῖον ἐπινέμονται· "ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος ἵστατο Ἀπόλλων Φοῖβος ἔχων ἰὰ πτερόεντα, ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη, Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος κελαδεινὴ—βαθυδίνης." οὐκέτι ταῦθ' Ἕκτωρ πρὸς Αἴαντα μαχόμενος, οὐδ' Ἀχιλλεὺς πρὸς Ἕκτορα καὶ μετὰ Πατρόκλου Σαρπηδών· ἀλλὰ τὸν μέγαν οὐρανοῦ πόλεμον ἀγωνοθετήσας Ὅμηρος οὐδ' ἄχρι μελλήσεως τὸ κακὸν ὥπλισεν, ἀλλ' ὁμόσε τοῖς θεοῖς συνέρραψεν ἀλλήλους· ἑπτὰ μὲν γὰρ Ἄρης ἐπέσχε πέλεθρα πεσών, ἐκόνισε δὲ χαίτας· μετὰ δὲ ταῦτα Ἀφροδίτης λύτο γούνατα καὶ φίλον ἦτορ· Ἄρτεμις δὲ καὶ προσεξυβρίσθη, τοῖς ἰδίοις τόξοις ὡς νηπία κόρη σωφρονισθεῖσα· Ξάνθος δὲ παρ' ὀλίγον ὁ ποταμὸς ἐρρύη διὰ Ἥφαιστον. ὅμως δ' οὖν ταῦτα πάντα κατ' ἀρχὴν μὲν οὐδ' ὅλως σφόδρα πείθειν δύνανται τοὺς πολλούς· εἰ δὲ θελήσει τις ἐνδότερον καταβὰς τῶν Ὁμηρικῶν ὀργίων ἐποπτεῦσαι τὴν μυστικὴν αὐτοῦ σοφίαν, ἐπιγνώσεται τὸ δοκοῦν αὐτῷ ἀσέβημα πηλίκης μεστόν ἐστι φιλοσοφίας. ἐνίοις μὲν οὖν ἀρέσκει λέγειν τὴν τῶν ἑπτὰ πλανητῶν ἀστέρων ἐν ἑνὶ ζῳδίῳ σύνοδον ὑφ' Ὁμήρου διὰ τούτων δὴ λεχθεῖσαν· φθορὰ δὲ παντελής, ὅταν τοῦτο γένηται. σύγχυσιν οὖν τοῦ παντὸς ὑπαινίττεται, συνάγων εἰς ἓν Ἀπόλλωνα, τουτέστιν ἥλιον, καὶ Ἄρτεμιν, ἣν φαμεν εἶναι σελήνην, τόν τε τῆς Ἀφροδίτης καὶ Ἄρεως, ἔτι δὲ

4. δοκῇ] δοκεῖν Vill.
7. ἀσύμφορα (ἀσυμφ^ο B)] ἀσυμφόρως Vill.
17. μελλήσεως] μελήσεως
18. τοῖς θεοῖς συνέρραψεν ἀλλήλους] τοὺς θεοὺς συνέρραξεν ἀλλήλοις Bekkerus.
21. προσεξυβρίσθη Vill.] προσεξύβρ̈
30. Ἀπόλλωνα] ἀπολλ^ω

Ἑρμοῦ καὶ Διὸς ἀστέρα. ταύτην μὲν οὖν πιθανωτάτην μᾶλλον ἢ ἀληθείας ἐχομένην τὴν ἀλληγορίαν ἄχρι τοῦ μὴ δοκεῖν ἀγνοεῖν παρειλήφαμεν· ἃ δ' ἐστὶν ἐναργέστερα καὶ τῆς Ὁμήρου σοφίας ἐχόμενα, ταῦτα δὴ σκοπεῖν ἀναγκαῖον. ἀντέταξε γοῦν κακίας μὲν ἀρεταῖς, ταῖς δὲ μαχομέναις φύσεσι τὰς ἀντιπάλους. αὐτίκα τῶν θεῶν ἡ ζεῦξις οὕτω πεφιλοσόφηται. ἄρχουσι τῆς μάχης Ἀθηνᾶ καὶ Ἄρης, τουτέστιν ἀφροσύνη καὶ φρόνησις· ὁ μὲν γάρ, ὥσπερ ἔφην, μαινόμενός ἐστιν ("τυκτὸν κακὸν, ἀλλοπρόσαλλον"), ἡ δ' ἐν πᾶσι θεοῖς "μήτι τε κλέεται καὶ κέρδεσιν." ἀδιάλλακτος μὴν ἔχθρα τοῖς τὰ βέλτιστα διευκρινοῦσι λογισμοῖς πρὸς τὴν οὐδὲν ὁρῶσαν ἀφροσύνην· ὡς δὲ μάλιστα τὸν βίον ὀνήσειν ἔμελλεν, οὕτω διηυκρίνησε τὰ τῆς μάχης· οὐ γὰρ ἡ μεμηνυῖα καὶ παραπλὴξ ἀναισθησία τῆς συνέσεως γέγονε κρείσσων, ἐνίκησε δὲ Ἀθηνᾶ τὸν Ἄρην καὶ κατὰ τῆς γῆς ἐξέτεινεν, ἐπειδήπερ ἅπασα κακία χαμαιπετὴς καὶ ἐν τοῖς ταπεινοτέροις ἔρριπται βάθροις, πατούμενον νόσημα καὶ πρὸς πᾶσαν ὕβριν ὑποκείμενον. ἀμέλει συνεξέτεινεν αὐτῷ τὴν Ἀφροδίτην, τουτέστι τὴν ἀκολασίαν· τὼ μὲν γὰρ ἄμφω κεῖτο ἐπὶ χθονὶ πουλυβοτείρῃ συγγενῆ καὶ τοῖς πάθεσι γειτνιῶντα νοσήματα. Λητοῖ δ' ἀντέστη Ἑρμῆς, ἐπειδήπερ ὁ μὲν οὐδὲν ἄλλο πλὴν ἄγγελός ἐστι τῶν ἔνδον ἐν ἡμῖν παθῶν· λόγῳ δὲ παντὶ μάχεται Λητὼ, οἱονεὶ ληθώ τις οὖσα καθ' ἑνὸς στοιχείου μετάθεσιν· τὸ γὰρ ἀμνημονούμενον οὐκέτι ἀγγελθῆναι δύναται, διὸ δὴ καὶ μητέρα Μουσῶν Μνημοσύνην ἱστοροῦσι, τὰς προστάτιδας λόγου θεὰς ὑπὸ μνήμης γεγεννῆσθαι λέγοντες. εἰκότως οὖν τὴν λήθην πρὸς ἀντίπαλον ἅμιλλαν ἐξωρμηκέναι. δικαίως δ' ὑπεῖξεν αὐτῇ· λόγου γὰρ ἧττα λήθη, καὶ τὸ φανερὸν ὑπ' ἀμνηστίας ἐν κωφῇ νενίκηται σιωπῇ. τῶν γε μὴν ὑπολειπομένων θεῶν ἡ μάχη φυσικωτέρα. "ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος ἵστατ' Ἀπόλλων Φοῖβος ἔχων ἰὰ πτερόεντα." ὕδατι πῦρ ἀντέθηκεν, τὸν μὲν ἥλιον Ἀπόλλωνα προσαγορεύσας, τὴν δ' ὑγρὰν φύσιν Ποσειδῶνα. τούτων δ' ἑκάτερον ὡς ἐναντίαν ἔχον δύναμιν τί δεῖ καὶ λέγειν; φθαρτικὰ γὰρ κατ' ἐπικράτειαν θάτερον θατέρου. καὶ μὴν ὑπὸ λεπτῆς τῆς περὶ τὴν ἀλήθειαν θεωρίας διαλύειν ἔστιν ἀμφοῖν τὴν μάχην, ἐπειδήπερ ἡλίου τροφὴν ἀπεφηνάμεθα τὴν ἔνυγρον οὐσίαν, καὶ μάλιστα τὴν ἁλμυράν· λεληθότως γὰρ ἀπὸ τῆς γῆς τὸ δίυγρον ἀνασπῶν τῆς

4. ἀντέταξε] ἀντέτ ᾱ 6. ἄρχουσι addidit Bekkerus.
19. ἄγγελος Bekkerus] ἀργός

ἀτμίδος τούτῳ μάλιστα τὴν πυρώδη φύσιν αὔξει. χαλεπὸν δ' ἦν τῷ τρέφοντι τὸ τρεφόμενον ἀνθεστάναι· διὰ τοῦθ' ὑπεῖξαν ἀλλήλοις, "Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος κελαδεινὴ Ἄρτεμις ἰοχέαιρα." οὐδὲ τοῦτ' ἀλόγως εἰσήγαγεν Ὅμηρος, ἀλλ' ὥσπερ ἔφην, Ἥρα μέν ἐστιν ὁ ἀὴρ, τὴν δὲ σελήνην Ἄρτεμιν ὀνομάζει. πᾶν δὲ τὸ τεμνόμενον ἀεὶ πολέμιόν ἐστι τῷ τέμνοντι· διὰ τοῦτ' ἐχθρὰν ἀέρι τὴν σελήνην ὑπεστήσατο, τὴν ἐν ἀέρι αὐτῆς φορὰν καὶ τοὺς δρόμους ὑποσημαίνων. εἰκότως δὲ ταχέως νενικῆσθαι τὴν σελήνην, ἐπειδήπερ ὁ μὲν ἀὴρ πολὺς καὶ πάντη κεχυμένος, ἡ δ' ἐλάττων καὶ συνεχῶς ὑπὸ τῶν ἀερίων παθῶν ἀμαυρουμένη, τοῦτο μὲν ἐκλείψεσι, τοῦτο δ' ἀχλύϊ καὶ ταῖς ὑποτρεχούσαις νεφέλαις. διὰ τοῦτο τῆς νίκης καὶ τὰ βραβεῖα τῷ μείζονι καὶ συνεχῶς βλάπτοντι προσέθηκεν. "ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης." ἐν τοῖς ὑπὲρ Ἀπόλλωνος καὶ Ποσειδῶνος λόγοις τὸν οὐράνιον ἡμῖν αἰθέρα καὶ τὴν ἀκήρατον ἡλίου φλόγα δηλώσας ἡμῖν νῦν μεταβέβηκεν ἐπὶ τὸ θνητὸν πῦρ, καὶ τοῦτο ἀνθώπλισε τῷ ποταμῷ, τὴν διάφορον ἑκατέρῳ φύσιν εἰς μάχην παροτρύνας. πρότερον μὲν οὖν εἴκοντα τὸν ἥλιον παρεισάγει Ποσειδῶνι, νῦν δὲ τὴν ὑγρὰν οὐσίαν ὑπὸ τῆς πυρώδους ἡττωμένην· δυνατώτερον γὰρ τόδε τὸ στοιχεῖον θατέρου. τίς οὖν οὕτω μέμηνεν ὡς θεοὺς μαχομένους ἀλλήλοις παρεισάγειν, Ὁμήρου φυσικῶς ταῦτα δι' ἀλληγορίας θεολογήσαντος;

68. Ἀπόλλων] λοιμῶν αἴτιος ὁ Ἀπόλλων, τοῦ περιγείου μέρους σὺν Ἀρτέμιδι δεσπότης ὤν, ὑγείας δὲ Ποσειδῶν, διὰ τῶν πνοῶν ἀποκαθαίρων πάντα. χολᾷ δὲ Ἀπόλλωνι ὡς ἐπικουροῦντι παρὰ τὸ δέον Τρωσίν. ὅσον δὲ κακὸν ἡ στάσις, ὅτε καὶ πρεσβυτέροις νέους ἀντιτάσσει.

69. Ἐνυάλιος ὁ Ἄρης ἐπιθετικῶς, καὶ οὐχ ἕτερος θεός.

Ἀθήνη] φρόνησίς ἐστι, διὸ καὶ φυλάττει τὰς ἀκροπόλεις· ὁ δὲ Ἄρης ταραχώδης καὶ ἀλλοπρόσαλλος. παρθένος ἡ Ἀθηνᾶ. ὁ δὲ Ἄρης μοιχός· καὶ ὁ Τρωϊκὸς δὲ πόλεμος ἐκ μοιχείας τὴν ἀρχὴν εἴληφεν. Ἐνυάλιος δὲ παρὰ τὸ αὔειν, ὅ ἐστι φωνεῖν, ἢ παρὰ τὸ ἔνω, ὅθεν καὶ αὐθέντης.

70. ὁ μὲν συναπτόμενος τῷ αἰθέρι ὑγρὸς ἀὴρ σωτήριός ἐστιν, διὸ καὶ τελεία καὶ Εἰλειθυιῶν μήτηρ ἡ Ἥρα, ὁ δὲ περίγειος ἀὴρ Ἀρτέμιδ ἀνάκειται· "ἐπεί σε λέοντα γυναιξὶν Ζεὺς ἔθηκεν." ἡ μὲν γὰρ Ἄρτεμις σελήνη, ἡ δὲ Ἥρα ἀὴρ ἡλίῳ καὶ αἰθέρι καθαρῶς κιρνά-

μενος· καὶ ὁ μὲν μόναις γυναιξὶ καὶ τοῖς ἀσθενέσι καὶ λευκοτέροις σώμασι βοηθεῖ, ἡ δὲ Ἥρα πᾶσι καὶ ζῴοις καὶ φυτοῖς. τὸ δὲ ἀντέστη τινὲς ἄντα ἔστη· οὐδέποτε δὲ τὸ ἄντα πτώσει ἑτέρᾳ ἢ γενικῇ συνάπτεται· "ἄντα δ' Ἐνυαλίοιο."

72. παρὰ τὸ σώζω σῶκος, ὁ σωστικώτατος. ἀνθίσταται δέ, ὡς ἔθος, τῷ λόγῳ καὶ τῇ φρονήσει ἀφροσύνη καὶ λήθη καὶ ἀλογία.

74. ὃν Ξάνθον καλέουσι] τὸ ὕδωρ ἀνθίσταται τῷ πυρί· καλεῖται δὲ Ξάνθος, ἐπεὶ τὰ σώματα τῶν λουομένων ἢ τοὺς καρποὺς ξανθίζει. ἐνταῦθα δὲ μόνον τὴν διωνυμίαν ἐπισημαίνεται.

*Σκάμανδρον] φασὶ τὸν Ἡρακλέα δίψει ποτὲ κατασχεθέντα εὔξασθαι τῷ Διὶ πατρὶ ἐπιδεῖξαι αὐτῷ μικρὰν λιβάδα· ὁ δὲ μὴ θέλων αὐτὸν κατατρύχεσθαι, ῥίψας κεραυνὸν ἀνέδωκε μικρὰν λιβάδα, ἣν θεασάμενος ὁ Ἡρακλῆς καὶ σκάψας εἰς τὸ πλουσιώτερον ἐποίησε φέρεσθαι. καὶ διὰ τοῦτο ἐκλήθη Σκάμανδρος, διὰ τὸ ἐσκάφθαι ὑπὸ τοῦ ἀνδρός, ἢ διὰ τὸ καμάτου καὶ κόπου παραίτιον γενέσθαι τῷ ἀνδρί.

75. αὐτὰρ Ἀχιλλεύς] ἐφαμίλλους θεοῖς δείκνυσι τοὺς ἥρωας, παράλληλον θεὶς τὴν μνήμην αὐτῶν.

76. Ἕκτορος ἄντα] εἰς τὴν καθ' Ἕκτορος ἐναντίαν μάχην.

μάλιστά ἑ] μάλιστα αὐτόν.

78. ταλαύρινον] ἐν πολέμῳ καρτερικόν.

80. ἀντία Πηλείωνος] ἀμβλύνων αὐτοῦ τὴν καθ' Ἕκτορος ὁρμήν.

84. παιδευτικὰ ταῦτα, τῆς παρὰ τοῖς συμποσίοις προπετείας ἀπαλλάσσοντα, δι' ὧν φησὶ τὸν Αἰνείαν διὰ τὰς παρ' οἴνῳ ὑποσχέσεις ὀλίγου δεῖν κινδυνεῦσαι. οἰνοποτάζων δὲ πίνων, οὐχὶ ἐσθίων. βασιλεῖς δὲ καὶ τοὺς κατὰ μέρος ἄρχοντας λέγει.

89. διόλου παρατηρητέον ὅτι κατὰ μέρος τὰ ἔργα τοῦ Ἀχιλλέως δεόντως δεδήλωκεν· γίνεται δὲ καὶ ἀξιοπιστότερον τὸ παρὰ τοῦ πολεμίου ἐγκώμιον.

95. ἥ οἱ πρόσθεν ἰοῦσα] εὐπρεπῶς ἐπεκάλυψε τὴν ἧτταν, φάμενος Ἀθηνᾶν αὐτῷ συλλαμβάνεσθαι. φιλαλήθης δὲ ὢν οὐκ ἀποκρύπτει τὴν ἧτταν.

φάος τὴν σωτηρίαν, ὡς τὸ "ἤν πού τι φόως Δαναοῖσι γένωμαι" (Il. 16, 39).

8. * ξανθίζει] ἐξανθίζει
18. Lemma om. B, sed in textu μάλιστά ἑ habet.

98. *αἰεὶ γὰρ πάρα εἷς γε θεῶν*] εὐπρεπῶς καὶ τοῦτο, ἵνα διὰ τὴν τῶν θεῶν βοήθειαν καὶ μὴ διὰ τὴν ἰδίαν δειλίαν ὀκνεῖν δοκῇ.

101. *ἶσον τείνειε*] τροπικῶς τῷ ῥήματι ἀπὸ τῶν ζυγῶν κέχρηται.

105. *καὶ δὲ σέ*] ὀρθοτονητέον τὴν ἀντωνυμίαν καὶ τὸν δὲ ἀντὶ τοῦ γαρ ἐκδεκτέον.

109. *λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω*] ἀναγκαῖον καὶ τοῦτο· καταπλήξει γὰρ αὐτὸν ὁ Ἀχιλλεύς, ὅπερ ἔδει προλαβεῖν τὸν θεὸν πρὸ τῆς συμβολῆς. λευγαλέοις δὲ εὐτελέσι καὶ ἀχρείοις πρὸς τοὺς ἐκδεχομένους· λευγαλέος δὲ θάνατος ὁ ὀλέθριος.

*τινὲς τὸ ἀρειῇ, τῇ ἀπὸ τοῦ Ἄρεως βλάβῃ.

113. *οὐλαμόν*] τὸ πύκνωμα, ἀπὸ τῆς οὐλότητος, ἢ τὴν εἴλησιν.

114. ἐκδέχεται Ἡρωδιανὸς τὸ η ὡς ἄρθρον, τὸν δὲ δή παραπληρωματικὸν σύνδεσμον, ἵν᾽ ᾖ, οὐδ᾽ ἔλαθε λευκώλενον Ἥρην, ἢ δή. τὸ δὲ ἄμυδις ψιλοῦται καίτοι παρὰ τὸ ὁμοῦ ὄν· καὶ ἀμάδις αὐτὸ ἔδει εἶναι ὡς χαμάδις, ἀλλὰ τροπῆς γενομένης Αἰολικῆς ἅπαξ τοῦ α εἰς υ ἐψιλώθη καὶ τὸ πνεῦμα. προπαροξύνεται δὲ ὁμοίως τῷ ἄλλυδις· καὶ ἔστι δύο ταῦτα προπαροξυνόμενα τῶν εἰς δις ἐπιρρημάτων τῷ υ παραληγόμενα.

125. ἠθέτηνται στίχοι δ᾽ ὡς ἐναντιούμενοι τοῖς ὑπὸ Διὸς εἰρημένοις "δείδω μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ" (30). ἢ αὔξει τὴν πρὸς ἐκεῖνον φιλοστοργίαν τῷ δεδοικέναι.

127. *αἶσα*] τὸν τοῦ παντὸς λόγον Ζῆνα καλεῖ, ἐπεὶ τοῦ ζῆν αἴτιος, Δία δὲ, ἐπεὶ διὰ τοῦτον τὰ πάντα, αἶσαν δὲ παρὰ τὸ δαίω τὸ μερίζω, καὶ μοῖραν καὶ εἱμαρμένην παρὰ τὸ μείρω· πεπρωμένην, ὅτι πάντας εἰς πέρας ἄγει· Λάχεσιν δὲ παρὰ τὸ ἕκαστον λαγχάνειν ἃ μέλλει πείσεσθαι· πρόνοιαν δὲ δι᾽ ὧν εὐρύοπα καλεῖ αὐτόν. τῆς δὲ ἀνάγκης ἀπαραβάτου αἰτίας οὔσης, φησὶν "ἀναγκαίη γὰρ ἐπείγει" (Od. 19, 73). τύχην δὲ οὐδ᾽ ὅλως οἶδεν ὁ ποιητὴς, εἰ μὴ τὰ ἀπὸ ταύτης, ὡς τὸ "τύχε κατὰ στεφάνης."

133. *παρὲκ νόον*] παρὰ τὸ καθήκοντα νοῦν. πάνυ δὲ φρονίμως οὐ βούλεται τῆς μάχης ἄρχειν ὡς συνετός.

138. *ἄρχωσι*] Ἀρίσταρχος προκρίνει τὴν διὰ τοῦ ω γραφήν· γράφεται γὰρ καὶ ἄρχησι. ἔμφασιν δὲ ἔχει τὸ ὀκνεῖν μὲν ἄρχε-

7. *ὅπερ—συμβολῆς] ὅπερ ὁ θεὸς ἔδει πρὸ τῆς συμβολῆς μὴ πείσεσθαι συμβουλεύειν

14. ὁμοῦ ὄν· καὶ ἀμάδις] *ἅμα παρηγμένον· καὶ τάχα ἁμάδις

21. τῷ Bekkerus] αὐτῷ

σθαι, θαρρεῖν δέ· οἱ γὰρ τῆς μάχης ἴσως ἀρξάμενοι ἡσσηθήσονται. τὸ δὲ σχῆμα καλεῖται Ἀλκμανικόν· κατακορέστερον γὰρ αὐτῷ χρῆται ὁ Ἀλκμάν. ἔστι δὲ προεπίζευξις "ἔνθα μὲν εἰς Ἀχέροντα Πυριφλεγέθων τε ῥέουσι Κωκυτός τε· ἧχι ῥοὰς Σιμόεις συμβάλλετον ἠδὲ Σκάμανδρος."

140. παρ' αὐτόφι] παρ' αὐτοῖς, οὐ παρ' αὐτά· προεῖπε γὰρ τὸ αὐτίκα.

145. ἀμφίχυτον] τὸ περικεχυμένον· φησὶ γὰρ "χεύαντες δὲ τὸ σῆμα πάλιν κίον" (Il. 23, 257). οὐκ ἐκ λίθων δὲ, ἀλλ' ἐξ ἀναχώματος ἦν, ὑπὲρ τοῦ ῥᾳδίως ἀνατρέχειν τὸν Ἡρακλέα ἐπ' αὐτὸ, τὴν τοῦ κήτους ὑποφεύγοντα ἔφοδον.

146. *Ποσειδῶν καὶ Ἀπόλλων, προστάξαντος Διὸς Λαομέδοντι θητεῦσαι, ἐπὶ μισθῷ τεταγμένῳ τὸ τεῖχος κατασκευάζουσιν, Λαομέδων δὲ παραβὰς τοὺς ὅρκους καὶ τὰς συνθήκας, μὴ δοὺς τοὺς μισθοὺς, ἀπήλασεν αὐτούς. ἀγανακτήσας δὲ Ποσειδῶν ἔπεμψε τῇ χώρᾳ κῆτος, ὃ τούς τε παρατυγχάνοντας ἀνθρώπους καὶ τοὺς γιγνομένους καρποὺς διέφθειρεν· μαντευομένῳ δὲ Λαομέδοντι χρησμὸς ἐδόθη Ἡσιόνην τὴν θυγατέρα Λαομέδοντος βορὰν ἐκδοῦναι τῷ κήτει καὶ οὕτως ἀπαλλαγήσεσθαι τοῦ δεινοῦ. προθεὶς δὲ ἐκεῖνος τὴν θυγατέρα, μισθὸν ἐκήρυξε τῷ τὸ κῆτος ἀνελόντι τοὺς ἀθανάτους ἵππους δώσειν, οὓς Τρωῒ Ζεὺς ἀντὶ Γανυμήδους ἔδωκεν. Ἡρακλῆς δὲ παραγενόμενος ὑπέσχετο τὸν ἆθλον κατορθώσειν, καὶ Ἀθηνᾶς αὐτῷ πρόβλημα ποιησάσης τὸ καλούμενον ἀμφίχυτον τεῖχος, εἰσδὺς διὰ τοῦ στόματος εἰς τὴν κοιλίαν τοῦ κήτους, αὐτοῦ τὰς λαγόνας διέφθειρεν. ὁ δὲ Λαομέδων ὑπαλλάξας θνητοὺς δίδωσιν ἵππους. μαθὼν δὲ Ἡρακλῆς ἐπεστράτευσε καὶ Ἴλιον ἐπόρθησε, καὶ οὕτως ἔλαβε τοὺς ἵππους. ἡ ἱστορία παρὰ Ἑλλανίκῳ.

149. καὶ θεοὶ ἄλλοι] οὐ πάντες, ἀλλ' οἱ Ἑλληνικοί· καραδοκοῦσι γὰρ τὴν ἐκείνων καταρχήν.

152. ἀμφὶ σέ] ὀρθοτονητέον τὴν ἀντωνυμίαν ὁμοίως τῷ "ἀμφὶ σὲ, Πηλέως υἱέ" (2). τὸ δὲ ἤϊε παρὰ τὸ ἰέναι τὰ βέλη, καὶ δασύνεται· ἢ παρὰ τὴν ἴασιν, καὶ ψιλοῦται.

154. δυσηλεγέος] κακοκοιμήτου· οὐκ ἔστι γὰρ αὐτὸν κοιμηθῆναι δίχα πολλῶν θανάτων. ἢ κακὰς φροντίδας ἔχοντος. εἰ δὲ θεοὶ ὀκνοῦσι πολεμεῖν, πολλῷ μᾶλλον ἡμεῖς.

22. *τὸν ἆθλον] τὸ ἆθλον 26. *ἐπεστράτευσε] ἐστράτευσε

157. κάρκαιρε] ἐκραδαίνετο, ἐσείετο, ἐψόφει.

162. βριαρῇ] καταπληκτικῇ, ὡς τὸ "βριθὺ, μέγα, στιβαρόν" (Il. 5, 746)· οὐ γὰρ ἐγκώμιον δόρατος τὸ βαρύ.

164. λέων ὥς] λέοντι εἴκασται οὐ πεινάοντι ἢ τὸ πῖαρ ἑλεῖν θέλοντι ἢ σκυμναγωγοῦντι, ἀλλ' ὅλην χώραν λυμαινομένῳ, ἣν γεωργεῖν μὴ δυνάμενοι συνίασι κατ' αὐτοῦ. ὁ δὲ πρῶτα μὲν φαύλως κινεῖται ὡς ὅτε θελήσειε κρατεῖν αὐτῶν δυνάμενος· ἐπὰν δὲ βληθῇ, ἐρεθίζεται καὶ συστρέφει ἑαυτὸν πρὸς τὸ μειζόνως πηδῆσαι.

168. ἐάλη] συνεστράφη πρὸς τὸ πηδῆσαι.

169. εἰ μέν ἐστιν εὐθείας τὸ κραδίη, τοιοῦτόν ἐστιν, στένει ἡ καρδία ἥτις ἐστὶν ἦτορ· εἰ δὲ δοτικῆς, ἀγγεῖον τῆς ψυχῆς ὑπονοητέον τὴν καρδίαν. τὸ δὲ πρότερον ὁμηρικώτερον· φησὶ γὰρ (Od. 20, 18) "τέτλαθι κραδίη" ἀντὶ τοῦ ψυχή.

170. οὐρῇ δὲ] ἔχει γὰρ ὑπὸ τῇ οὐρᾷ κέντρον μέλαν, ὡς κεράτιον, δι' οὗ ἑαυτὸν μαστίζει ὑφ' οὗ νυττόμενος πλέον ἀγριοῦται.

172. γλαυκιόων] ἔμπυρον ὁρῶν, παρὰ τὸ γλαύσω, ἀφ' οὗ καὶ γλαὺξ, ὃ μόνον τῶν σαρκοφάγων καὶ γαμψωνύχων οὐ τίκτει τυφλὰ διὰ τὸ πολὺ πυρῶδες, ὃ περὶ τοὺς ὀφθαλμοὺς ἔχει, ὃ τμητικὸν ὂν διεγείρει τὴν θέαν· διὸ καὶ ἐν ταῖς σκοτομήναις τῶν νυκτῶν ὁρᾷ. καὶ μὴ τετρωμένον τρωθέντι λέοντι εἰκάζει· τότε γὰρ ἰσχυρότερος ἑαυτοῦ γίνεται. ἢ ὅτι ὅσον τὸ καθ' ἑαυτὸν, ἔτρωσεν αὐτὸν Αἰνείας· τότε γὰρ ὡς τρωθεὶς ὥρμησε· τὰ γὰρ πρῶτα καὶ ἀπέτρεπεν αὐτὸν, καθ' Ἕκτορος ὡρμημένος.

180. ἐντέχνως ἄξιον βασιλείας ἀποφαίνει τὸ κατόρθωμα.

ἀθετοῦνται στίχοι ἑπτὰ ὡς καὶ τὴν διάνοιαν ἀπρεπεῖς καὶ τὴν σύνθεσιν εὐτελεῖς. πῶς γὰρ ὁ τοσοῦτον σπεύδων κατὰ τῶν ἐχθρῶν ἤμβλυνται τοσοῦτον; ἢ τάχα ἔντεχνοι οἱ λόγοι· μέγιστον γὰρ εἰς κατάπληξιν τῶν ὁμοφύλων φεύγων ὁ πρῶτος ὀφθεὶς, καὶ στρατηγικὸν τὸ ἀκινδύνως φοβεῖν τοὺς πολεμίους. καὶ καθ' Ἕκτορος ἔχει τὴν πᾶσαν ὁρμήν· φησὶ γὰρ "Ἕκτορος ἄντα μάλιστα" (76). εἰκότως οὖν πρῶτα μὲν ὁρμῇ λέοντος αὐτὸν ἐκδειματοῖ, ὡς δὲ μένει, λόγοις, σπεύδων ἐπὶ Ἕκτορα. ἄλλως καὶ κερτομεῖ τὸν Αἰνείαν ὡς ἐνεδρεύοντα τῇ Πριάμου ἀρχῇ.

181. λείπει τὸ ἀντί. ἢ ἐν Τρωσὶν ἀνάξειν μετὰ τῆς τιμῆς τοῦ Πριάμου.

7. αὐτῶν Bekkerus] αὐτὸν 15. ὑφ' οὗ—ἀγριοῦται] Haec a m. sec.

183. *ἀεσίφρων*] *κοῦφος καὶ ἀσύνετος τὴν φρένα.*

* *ἀεσίφρων λέγεται ὁ μὴ διεγηγερμένος τὰς φρένας. γίνεται δὲ ἐκ τοῦ ἄω τὸ κοιμῶμαι, ἀφ' οὗ καὶ τὸ "τί πάννυχον ὕπνον ἀωτεῖς"* (Il. 10, 159);

187. *ἤδη μὲν σέ γε*] *ἔθος ἀρχαῖον τὸ ἐξονειδίζειν δειλίαν ἢ καὶ ἀχαριστίαν· καὶ ἀλλαχοῦ "ὅτε δεῦρο πατὴρ τεὸς ἵκετο φεύγων"* (Od. 16, 424). *καὶ τὸ μὲν ἀμεταστρεπτὶ φεύγειν ὀνειδισμός ἐστιν ἐσχάτης δειλίας· αὐτὸς δέ φησιν ἑλεῖν καὶ τὴν ὑποδεξαμένην αὐτὸν πόλιν.*

188. *ἀναστρεπτέον τὴν ἀπό· τινὲς δὲ τῷ σεῦα συντάσσουσιν αὐτήν.*

194. *ἀτὰρ σὲ Ζεὺς ἐρρύσατο*] *ἀναλαβέσθαι αὐτόν φησι τὸν θεὸν καὶ ἀλλαχοῦ διασῶσαι, ἐπεὶ μὴ εὑρέθη ἐν Λυρνησσῷ.*

198. *πρίν τι κακὸν παθέειν*] *ὁρῶν αὐτοῦ τὴν προθυμίαν σημειοῦται τὸν ἐσόμενον αὐτῷ ὄλεθρον.*

200. *μὴ δή μ' ἐπέεσσι*] *ἀποσιωπᾷ τὰ περὶ τῆς ἥττης· ἀπρεπὲς γὰρ τὸ συνομολογεῖν πρὸς τὸν πολέμιον. ἐν δὲ τῷ πρὸς Ἀπόλλωνα λόγῳ εὐπρεπέστερον αὐτὰ ἀνωμολόγησεν* (90).

202. *κερτομίας τοὺς σαρκασμοὺς οὓς εἶπεν ὡς περὶ τῆς ἀρχῆς αὐτοῦ μαχομένου· αἴσυλα δὲ τὰς παρὰ τὸ καθῆκον λεγομένας ἀπειλάς. πιθανῶς δὲ τοῖς λόγοις Ἀπόλλωνος καταχρῆται πρὸς τὸν φόβον καὶ αὐτὸς, ὑπομιμνήσκων ὅτι μείονος γενέσεως τυγχάνει παρ' αὐτόν.*

204. *πρόκλυτ'*] *προηκουσμένα καὶ προεγνωσμένα.*

210. *ἕτεροι*] *διὰ τὸ δύο εἶναι τοὺς γονέας ἑκατέρου. δῆλον δὲ ὅτι ἔτι ζῇ Ἀγχίσης.*

211. *ἑκατέροις δύναται προσδίδοσθαι τὸ σήμερον πρὸς διάφορον στιγμήν.*

213. *δαήμεναι*] *παρῆκται ἡ ὁμιλία κατὰ ποιητικὴν συνήθειαν πρὸς ὠφέλειαν τῶν ἀκροατῶν, ἵνα τὴν Τρωϊκὴν γενεαλογίαν μάθωμεν. ἢ ὅτι τοῖς πολεμίοις ἐξεταζόμενα τὰ γένη λαμπρότητα μεγίστην φέρει· τοὺς γὰρ εὐγενεῖς καὶ εὐψύχους νομίζουσιν. ἀεὶ δὲ σπεύδει ὁ ποιητὴς παραπλέκειν τὰ ἀρχαῖα γένη, ὥσπερ ἐν τῇ Γλαύκου καὶ Διομήδους συστάσει ὅλον τὸ Αἰόλου γένος εἶπεν. ἔοικε δὲ λέγειν ὅτι τὸ μὲν κατὰ μητέρα γένος τοιοῦτο· εἰ δὲ καὶ τὸ κατὰ πατέρα θέλεις, πολλοῖς ὂν γνώριμον, ἄκουε.*

215. *Δάρδανος ὁ υἱὸς Διὸς καὶ Ἠλέκτρας τῆς Ἄτλαντος θυγατρὸς, διιὼν τὴν Σαμοθρᾴκην, ἐπομβρίας γενομένης κατασκευάσας σχεδίαν καὶ ἀσκὸν αὐτῷ περιθεὶς διεκομίσθη εἰς τὴν Ἴδην τῆς Τρῳάδος, καὶ ἀποβὰς Διὸς ὑποθεμένου κτίζει πόλιν, ἣν ἀφ' ἑαυτοῦ Δαρδανίαν ἐκάλεσεν. ἡ ἱστορία παρὰ Λυκόφρονι.

221. φιλόλουτρον γάρ ἐστι τὸ ζῷον, ἥδεται δὲ τοῖς ἕλεσι καὶ τοῖς θολεροῖς τῶν ὑδάτων.

βουκολέοντο] κατὰ μετάθεσιν ὁ λόγος, ὡς καὶ Εὐριπίδης (Phoen. 28) "ἱπποβουκόλοι ἄνδρες."

223. τάων καὶ Βορέης ἠράσσατο] ἄδηλον μὴ τῶν πώλων ἠράσθη. φησὶ δὲ Ἀριστοτέλης ὁρμητικωτάτην εἶναι τὴν ἵππον πρὸς συνδυασμὸν, καὶ ἐξανεμουμένην πρὸς ἄρκτον ἢ πρὸς νότον τίκτειν.

τάων] τούτων· λείπει δὲ τὸ τινῶν, τούτων τινῶν καὶ Βορέης ἠράσσατο· οὐ γὰρ πασῶν.

227. ἀνθερίκων] ὑπερβολικῶς εἶπεν, ἔστι δὲ ἀνθέρικος, ὥς τινες, ὁ τοῦ ἀσφοδέλου καυλός. οἱ δὲ τοὺς ἀθέρας τοῦ σίτου φασὶν, ὡς καὶ Ἡσίοδος "ἐπὶ πυραμίνους ἀθέρας φοίτασκε πόδεσσιν."

228. Ἀρίσταρχος ἄλλοτε, ὁ δὲ Ἡρωδιανὸς ἀλλ' ὅτε.

ῥηγμῖνος δὲ τῆς ἐπιφανείας· ὡς τὸ "ἡμεῖς μὲν κώπῃσιν ἁλὸς ῥηγμῖνα βαθεῖαν" (Od. 12, 214).

233. ὃς δή] ἔσχατον αὐτὸν ὀνομάσας πάλιν ἀνέλαβεν, ἐπείπερ αὐτῷ γένος οὐχ ὑπελείπετο.

234. ἀνηρείψαντο] ἀπὸ τῆς ἔρας ἀνεβάστασαν. ὑφ' ἓν δὲ τὸ ἀνηρείψαντο. τινὲς δὲ τὸν ἂν σύνδεσμον ἀνεδέξαντο, ἵν' ᾖ ὁ λόγος οὕτως· τοῦτον δὲ ὅσον ἕνεκα τοῦ κάλλους καὶ ἀνηρείψαντο ἂν οἱ θεοὶ, δηλονότι εἰ μὴ ἐτεθνήκει. καὶ γὰρ οὐδέποτε, φασὶ, παρὰ τῷ ποιητῇ εἰσάγεται οἰνοχοεύων ὁ Γανυμήδης. ἀλλὰ πρὸς τοῦτο λεκτέον, πρῶτον μὲν ὡς οὐδέποτε χωρὶς τοῦ ἂν ὁ ποιητὴς λέγει τὸ ἠρείψαντο· ἔπειτα ἐν ἑτέροις λέγει "δῶχ' υἷος ποινὴν Γανυμήδεος." τὸ δὲ πάντων μεῖζον, ὁ καί συμπλεκτικὸς ἐπιζητεῖ πράγματα ἃ συμπλέκει, ὁ δὲ ἂν ἀναιρετικός ἐστι πάντων τῶν προϋπαρχόντων· πῶς οὖν δύναται συνταχθῆναι ὁ ἂν τῷ καί; εἰ δέ φασιν ὡς οὐ φαίνεται διακονούμενος τοῖς θεοῖς, ἴστωσαν ὅτι δύο συμπόσια παρεισάγονται, καὶ ἐν μὲν τῷ πρώτῳ γέλωτος ἕνεκεν ὁ

17. Ἡσίοδος] Fragmentum integrius apud Eustath. p. 245.
31. *πάντων] om.

Ἥφαιστος οἰνοχοεῖ, ἐν δὲ τῷ ἑτέρῳ Ἥβη· παρεῖναι γὰρ τοῦτον οὐκ εἰκὸς εἰς καταστροφὴν Ἰλίου τοῖς θεοῖς βουλευομένοις. Μνασέας δέ φησιν ὑπὸ Ταντάλου ἡρπάσθαι καὶ ἐν κυνηγεσίῳ ἀναιρεθῆναι, Δωσιάδης δὲ ὑπὸ Μίνω· καὶ ὁ λιμὴν ὅθεν ἡρπάσθη, Ἁρπαγίας καλεῖται· ἀξιοῦντος δὲ μιγῆναι αὐτῷ κατακρημνίσαι αὐτόν· τὸν δὲ πλάσασθαι τῷ πατρὶ ὡς θύελλα αὐτὸν ἥρπασεν. ἐξ αὐτῶν δὲ πρῶτον ἡ παιδεραστία ἤρξατο· τῇ γὰρ εὐεξίᾳ τῶν σωμάτων ἐκινήθησαν κατ' ἀλλήλων.

*Πορφυρίου. κατηγοροῦσι τοῦ ποιητοῦ ὡς μαχόμενα λέγοντος, ὅταν ποτὲ μὲν τὸν Γανυμήδην οἰνοχόον εἶναι τῶν θεῶν λέγῃ, ποτὲ δὲ τὴν Ἥβην. οὐκοῦν λύσομεν ὀνόματι καὶ λέξει, ὅτι οὐχὶ τῶν θεῶν, ἀλλὰ τοῦ Διὸς αὐτὸν οἰνοχόον ἀποφαίνει (ἔχει γὰρ ἡ λέξις οὕτως "τὸν καὶ ἀνηρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν"), ἡ δὲ Ἥβη τοῖς θεοῖς οἰνοχοεῖ. προσώπῳ δὲ, ὅτι τὸ μὲν ἐκ τοῦ ποιητοῦ λέγεται, τὸ δὲ ἐξ Αἰνείου, ὃν εἰκὸς μεγαλύνειν τὸ αὐτοῦ γένος. καιρῷ δὲ καὶ χρόνῳ, ὡς ἐγχωρεῖ πάλαι ποτὲ αὐτὸν ἁρπασθέντα πρὸς τὴν διακονίαν ταύτην ὑπὸ τοῦ θνητὸν εἶναι μηκέτι παραμένειν ἕως τῶν Ἰλιακῶν. ἔθει δὲ, ὡς πολλοῖς νενομισμένον ἐστὶν οἰνοχόοις χρῆσθαι ἄρρεσι καὶ θηλείαις, ὥστε οὐδ' ἐν θεοῖς ἄτοπον τοῦτο. τὸ μὲν οὖν ἐναντίον οὕτως ἐλέγχεται, τὸ δ' ἀδύνατον ἐγκαλεῖται οὕτως.

240. Ἕκτορα] ἀπὸ τοῦ ἀρίστου τῶν Πριαμιδῶν ἠρκέσθη τὸ σύμπαν δηλῶσαι γένος.

242. ἀρετήν] τὴν ἀνδρείαν. τοῦτο δὲ διὰ τὸν ὀνειδισμὸν τῆς φυγῆς, ὡς καὶ Ἕκτωρ "ὅστε καὶ ἄλκιμον ἄνδρα φοβεῖ" (Il. 17, 177). ἢ τὴν βασιλικὴν δόξαν. φησὶν οὖν ὅτι νῦν μὲν οὗτοι ἔχουσιν, ὕστερον δὲ ἡμεῖς σχήσομεν.

248. καθολικὸς ὁ λόγος, ἀμοιβὴν δεικνὺς φαύλων τε καὶ χρηστῶν λόγων. ἔνι] ἔνεισιν.

249. πολὺς νομός] ὥστε πολλὰ εἰπεῖν, καὶ ἐπαινέσαι καὶ ψέξαι, καὶ εἰς ἑκάτερα τὸν λόγον ἀγαγεῖν. ὀξύνεται δὲ τὸ νομός, οἷον πανταχοῦ τοῦ λόγου ἰόντος καὶ νεμομένου.

4. Ἁρπαγίας] Suspecta nominis forma fortasse in Ἁρπάγια mutanda. Steph. Byz. (ex Strabone 13 p. 587): Ἁρπάγια (codex Rhed. et libri nonnulli Strabonis Ἁρπάγεια) οὐδετέρως, τόπος περὶ Κύζικον, ὅθεν ἡρπάσθαι φασὶ Γανυμήδην. Numero singulari Ἁρπάγιον apud Thucyd. 8, 107.

9. *Πορφυρίου] om.

10. λέγῃ scripsi pro λέγει

251. ὁ η̄ τῷ μὲν τί ὑποτασσόμενος ὀξύνεται, τῷ δὲ ἐπεί περισπᾶται.

252. ὥστε γυναῖκας] φησὶ γὰρ Ἀριστοτέλης "γυνὴ ἀνδρὸς ἐπιφθονώτερον, μεμψιμοιρότερον, φιλολοίδορον, φιλοπληκτικώτερον, μᾶλλον ἀρίδακρυ."

253. χολωσάμεναι] περὶ ἔριδος εἰς χόλον ἀχθεῖσαι. τοῦτο δὲ περὶ ἀσέμνων γυναικῶν.

255. πολλά τε ὄντα καὶ οὐκ ὄντα· πολλὰ τῆς ἀληθείας ἐχόμενα καὶ πολλὰ ψευδῆ.

259. ἤλασεν] ἔπληξεν, ὡς τὸ "πολέες γὰρ ἐπ' αὐτῷ χαλκὸν ἔλασσαν" (Il. 24, 421).

265. ῥηΐδια τὰ δυνατά. λέγει δὲ ὅτι τρωτὰ μὲν, οὐ ῥηΐδια δὲ εἰς τὸ δαμασθῆναι. ἢ τάχα τὸ Ἀχιλλέως πρόσωπον ὑπεξαίρων οὕτως ἀποσεμνύνει τὰ ὅπλα· ὁ γὰρ Ἄρης ἡφαιστότευκτα φορῶν νείατον ἐς κενεῶνα τιτρώσκεται (Il. 5, 857).

268. *Πορφυρίου. τὸ "οὐδέ ποτ' Αἰνείας—δῶρα θεοῖο" δοκεῖ μάχεσθαι τῷ "ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας," ὥστε ἔρρηξεν. ἔστι δὲ ἀπὸ τῆς λέξεως ἡ λύσις καθ' ἑκάτερον· εἰ γὰρ μὴ δι' ὅλου διῆλθεν, οὐκ ἔρρηξε τὸ σάκος. καὶ τὸ ἔλασσεν οὐ πάντως ἔρρηξε τὸ σάκος, ἀλλὰ διέθλασεν.

269. *ἀτρώτων ὑπαρχόντων παρ' Ὁμήρῳ τῶν Ἀχιλλέως ὅπλων, ἔξωθεν κατ' ἐνίους τεταγμένης διὰ τὸν πλείονα κόσμον τῆς χρυσῆς πτυχὸς, οὕτως ἀποδοτέον τὸν λόγον· ἀλλὰ μέχρι μὲν δύο πτυχῶν προῆλθεν ἡ τῆς πληγῆς ἐνέργεια, εἴξεως καὶ οἱονεὶ συνιζήσεως γενομένης, ἐν δὲ τῇ τρίτῃ συνεσχέθη. ἀπορία. πῶς, φασὶν, ἄτρωτον ὑποστησάμενος τὴν ἀσπίδα νῦν τοῦτο λέγει; ῥητέον οὖν ὅτι ὁ χρυσὸς μαλθακώτερος ὢν χαλκοῦ ἢ σιδήρου ἐνέδωκε τῷ δόρατι καὶ ἐκοιλάνθη, καὶ *ἐγένετο κοιλότης, καὶ οὐ τρῶσις.

271. τὰς δύο χαλκείας] μέσην νομιστέον τὴν χρυσῆν· ἁπαλώτερος γὰρ ὢν ὁ χρυσὸς ἐκλελυμένου τὸ δόρυ μετὰ τὴν τῶν χαλκῶν βίαν εὐχερῶς ὑποδέξεται. ὅτι γὰρ οὐκ ἦν ἐν τῇ ἐπιφανείᾳ τῆς

3. *Ἀριστοτέλης] ἀριστοφάνης
4. φιλοπληκτικώτερον] Vocabulum aliunde non cognitum.
9. γρ. πόλλ' ἐτεά τε καὶ οὐκί B. In textu πολλά, τά τε καὶ οὐκί.
16. *Πορφυρίου] om.
24. *πληγῆς] πτυχός
*εἴξεως] ἴξεως
25. *ἐν δὲ] ἐπειδὴ
συνεσχέθη] *ἐπεσχέθη
ἀπορία] Litteris rubris scriptum.
27. *χαλκοῦ ἢ] ἂρ γρ. καὶ

ἀσπίδος ὁ χρυσὸς, δηλοῖ δι᾿ ὧν φησὶ τεχνώμενον Ἥφαιστον τὴν ἀσπίδα τὸ μὲν τορεύειν ἐκ χαλκοῦ, τὸ δὲ ἐκ κασσιτέρου, τὸ δὲ ἐκ χρυσοῦ. τάχα οὖν ἡ μὲν πρώτη ἦν χαλκῆ, ἡ δὲ δευτέρα κασσιτερίνη, ἡ δὲ τρίτη χρυσῆ, ἡ δὲ τετάρτη κασσιτερίνη, ἡ δὲ πέμπτη χαλκῆ. ὁ δὲ Αὐτόχθων πρώτην εἶναί φησι τὴν χρυσῆν ὡς τιμίαν, δευτέραν τὴν χαλκῆν ὡς ἰσχυρὰν, μέσας τὰς δύο κασσιτερίνας πρὸς τὸ συνάπτειν τὰς πτύχας, καὶ πέμπτην τὴν χαλκῆν. ὅτι δὲ ἐν τῇ ἐπιφανείᾳ ἡ χρυσῆ δῆλον ἐξ ὧν φησὶ "χρυσείη περ ἐοῦσα." καὶ οὐκ ἂν τὸ καλλιστεῦον ἀπέκρυψε. τὸ δὲ ἔσχετο, τῆς ὁρμῆς ἐπαύσατο· οὐχ ὅτι οὐκ ἔτρωσεν, ἀλλ᾿ ὅτι τὸ πλατὺ τῆς ἐπιδορατίδος οὐ διῆλθεν, ἀλλ᾿ ἐνεσχέθη κατὰ τὸ μέρος τοῦτο ἐν τῷ χρυσέῳ. τοῦ γὰρ δόρατος ἡ μὲν ἀκμὴ τιτρώσκει, τὸ δὲ πλάτος τέμνει. τὴν μὲν οὖν ἐκ τῆς ἀκμῆς νύξιν ἐδέξατο ὁ χρυσὸς, καὶ δι᾿ αὐτοῦ ὁ ὑποκείμενος χαλκὸς, τὴν δὲ ἐκ τοῦ πλάτους τομὴν οὐκέτι παρεδέξατο ὁ χρυσός· οὐκοῦν ἡ πρὸς τὸ πλάτος τοῦ σιδήρου ἀντίβασις τῆς χρυσῆς ἐπέσχε τὴν τῆς ὅλης ἀσπίδος διακοπήν.

*Πορφυρίου. ἐν τῇ Αἰνείου πρὸς Ἀχιλλέα μάχῃ ζήτησιν παρέσχε τὰ ἔπη ταῦτα "ἦ ῥα, καὶ ἐν δεινῷ σάκει ἤλασεν ὄβριμον ἔγχος" καὶ τὰ ἑξῆς μέχρι καὶ αὐτοῦ τοῦ στίχου (272) "τὴν δὲ μίαν χρυσῆν, τῇ ῥ᾿ ἔσχετο μείλινον ἔγχος." τῆς γὰρ χρυσῆς πτυχὸς δοκούσης πρώτης εἶναι, εἴ γε κόσμου εἵνεκα τὴν χρυσῆν εἰς τὸ ἔξω καὶ ὁρώμενον πρώτην ἐνέθηκεν, ὑπ᾿ αὐτὴν δὲ στερεότητος ἕνεκα τὰς δύο χαλκᾶς μαλάγματος χάριν καὶ τελευταίας κασσιτερίνας, πῶς δύο τε διέκοψε πτύχας καὶ ἐν τῇ χρυσῇ πτυχὶ ἔξω οὔσῃ καὶ διατμηθείσῃ ἐνεσχέθη τὸ δόρυ; ἀπολυόμενοι οὖν τὴν ἀπορίαν οἱ πλεῖστοι, τὸ ἔλασεν οὔ φασιν εἰλῆφθαι ἄνωθεν διέκοψεν, ἀλλ᾿ ἀντὶ τοῦ διέθλασεν· θλασθῆναι μὲν γὰρ καὶ κοιλανθῆναι δύο πτύχας, τὴν χρυσῆν καὶ μίαν τῶν χαλκῶν ὑπὸ τὴν χρυσῆν, μὴ διακοπῆναι δὲ, ἀλλὰ σχεθέντος ἐν τῇ χρυσῇ τοῦ δόρατος, καὶ κοιλάναντος μὲν αὐτὴν καὶ τὴν ὑπ᾿ αὐτὴν, οὐ διακόψαντος δέ. οἱ δὲ καὶ αὐτόθεν ἀξιοῦσι μὴ ἔλασσε γράφειν, ἀλλὰ θλάσεν, ἄνωθεν φάσκοντες ἁμαρτόντα τινα γράψαι τὸ ε̄, τὴν λοιπὴν περιφέρειαν τοῦ θ̄ παρέντα· ἄτρωτα γὰρ ὄντα τὰ ἡφαιστότευκτα μὴ διακοπῆναι. ἐγὼ δὲ ἐν τῇ χρυσῇ

2. κασσι-] κασι- hic et infra.
17. *Πορφυρίου] om.
18. σάκει] σάκε᾿
26. ἄνωθεν (ἄνω^θ B)] ἀντὶ τοῦ Cobetus.

πτυχὶ ἀκούων ἐνσχεθῆναι αὐτοῦ λέγοντος τὸ δόρυ τῆς εἰς τὸ πρόσω ὁρμῆς, οὐ δύναμαι ἐπινοῆσαι τὴν χρυσῆν πτύχα οὔτ' οὖν διακοπεῖσαν οὔτε θλασθεῖσαν. πῶς γὰρ οἷόν τε ἐλασθῆναι μὲν λέγειν, τουτέστι διακοπῆναι, ἢ θλασθῆναί γε δύο πτύχας, ἐν αἷς ἦν ἡ χρυσῆ, ἐνσχεθῆναι δὲ ἐν τῇ χρυσῇ τὸ δόρυ; τὸ γὰρ ἐνσχεθῆναι τὸ μὴ τὸ αὐτὸ παθεῖν τὴν χρυσῆν, ὅπερ αἱ ἄλλαι, δηλοῖ. οἱ δ' αὖ τὴν πρώτην παθεῖν βούλονται καὶ μᾶλλον ἤπερ τὴν ὑπ' αὐτήν· οὐ γὰρ ἂν ἐνεσχέθη ἐν τῇ τρίτῃ, εἰ μὴ ἡ δευτέρα ἐπ' ἔλαττον ἔπαθε τῆς πρώτης. φημὶ τοίνυν ὡς οὐ κόσμου χάριν οὐδὲ τέρψεως ὁ Ἥφαιστος κέχρηται τῇ χουσῇ πτυχὶ, ἀλλ' εὐτονίας. εὐτονώτερος δὲ χαλκοῦ χρυσός. μέσην οὖν τὴν τοῦ χρυσοῦ πτύχα ἐξύφανεν εἰς συνοχὴν τοῦ παντὸς σάκους· ἁπαλώτερος γὰρ ὢν καὶ εὔτονος ὁ χρυσὸς, ὑποκείμενος τῷ χαλκῷ, διεδέχετο τὴν ὁρμὴν ἐκλυθεῖσαν ὑπὸ τῆς τοῦ χαλκοῦ ἀντιτυπίας εἰς τὸ ἄτρωτον ὑπὸ τῆς προσούσης αὐτῷ εὐτονίας. πρῶτος δὲ ὢν ὁ χρυσὸς καὶ παθὼν ὑπὸ τῆς ἐμβολῆς πρῶτος, ταχεῖαν παρεῖχε τὴν διακοπὴν ταῖς ἐκ τῶν εὐθραύστων συνεστώσαις. ὅτι δὲ καὶ χαλκαῖ πτύχες ἦσαν ἐν τῇ ἔξωθεν ἐπιφανείᾳ, μέση δὲ μετὰ ταύτην ἡ χρυσῆ, ὑφ' ἣν αἱ τοῦ κασσιτέρου, δηλοῖ τὸ ἐν τῇ ὁπλοποιίᾳ ἐπισημαίνεσθαι τὸν ποιητὴν ὅτι τάδε μὲν ἐκ χρυσοῦ ἐποίησεν, τάδε δὲ ἐξ ἄλλης ὕλης, ἐκ χαλκοῦ δὲ μὴ εἰπεῖν, ὡς ἂν τορεύοντος αὐτοῦ ἐν ἄλλῃ πτυχὶ τὰ πλάσματα· "ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη, ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην" (Il. 18, 516). πῶς γὰρ αὐτοὺς χρυσοῦ, ἔφη, χρυσῆς οὔσης τῆς ὑποκειμένης ἐπιφανείας, εἰ μὴ ἐξηλλαγμένα ταῦτα παρὰ τὸ ὑποκείμενον ἐποίει, ἤτοι ἐγκυκλῶν ἢ ἐγκολλῶν ἢ ἐντορεύων; καὶ νειὸς χρυσῆ "ἀρηρομένῃ δὲ ἐῴκει χρυσείῃ περ ἐούσῃ" (ib. 548). "ἐν δ' ἐτίθει σταφυλῇσι μέγα βρίθουσαν ἀλωὴν, καλὴν, χρυσείην, μέλανες δ' ἀνὰ βότρυες ἦσαν, εἱστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν· ἀμφὶ δὲ κυανέην κάπετον, περὶ δ' ἕρκος ἔλασσε κασσιτέρου" (ib. 561). καὶ πάλιν "ἐν δ' ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων· αἱ δὲ βόες χρυσοῖο τετεύχατο κασσιτέρου τε· χρύσειοι δὲ νομῆες ἅμ' ἐστιχόωντο βόεσσι" (ib. 573). καὶ πάλιν "καί ῥ' αἱ μὲν καλὰς στεφάνας ἔχον, οἱ δὲ μαχαίρας εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων" (ib. 597). τῶν γὰρ ἐμποικιλλομένων ἔστιν ὧν τὰς ὕλας

6. αὖ τὴν Bekkerus] αὐτὴν 25. ἐγκυκλῶν ἢ seclusit Bekk.
27. χρυσείην Vill.] χρυσῆν

εἰπὼν ἀργύρου μὲν ἐμνήσθη καὶ χρυσοῦ καὶ κασσιτέρου, χαλκοῦ δὲ οὐκέτι, ὡς ἂν χαλκῆς ὑποκειμένης ἐπιφανείας ἐνταῦθα ἐνεποίκιλλεν. οὐκ ἔφη δὲ ἄτρωτα εἶναι ὅπλα, ἀλλ' οὐ ῥᾳδίως ὑπὸ θνητῶν διακοπτόμενα· "οὐδ' ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμὸν ὡς οὐ ῥηΐδιά ἐστι θεῶν ἐρικυδέα δῶρα ἀνδράσι γε θνητοῖσι δαμήμεναι οὐδ' ὑποείκειν." ἔδει οὖν μηδὲ θλασθῆναι, ὅπερ ἀξιοῦσιν ἔλασσεν ἀκούειν, εἴγε μηδ' ὑπείκειν αὐτὰ ἔλεγεν. ῥητῶς δ' αὐτὸς ἔφη ὅτι οὐκ ἔρρηξε μὲν τὸ σάκος, "χρυσὸς δ' ἐρύκακε δῶρα θεοῖο." δύο δὲ διήλασε πτύχας, ἐσχέθη δ' ἐν τῇ χρυσῇ, δι' ἣν οὐκ ἐρράγη διὰ παντός. πάνυ δὲ δυνατῶς τὴν κατασκευὴν ἐδήλωσεν, καὶ τὸ μέχρι τίνος ἡ ῥῆξις· πέντε μὲν γὰρ πτύχας ἤλασε Κυλλοποδίων. εἶτα λέγει πρὸς τῇ ἐπιφανείᾳ πρώτας ὅτι καὶ πρῶται "τὰς δύο χαλκείας," εἶτα τὰς ἀντικειμένας ταῖς πρώταις ἐσχάτας· "δύο δ' ἐνδόθι κασσιτέροιο." τὸ δ' ἐνδόθι πρόκειται, ἵνα τὰς χαλκᾶς ἐξωτάτας νοήσωμεν, ὡς τὰς τοῦ κασσιτέρου ἐνδόθι, εἶτα λοιπὴν τὴν μέσην· "τὴν δὲ μίαν χρυσῆν." εἰ οὖν "τῆς ἔσχετο μείλινον ἔγχος," αἱ δύο χαλκαῖ ἐτρώθησαν πρῶται ὡς οὖσαι πρῶται, αἱ δὲ τρεῖς ἔμειναν ἄτρωτοι· "χρυσὸς γὰρ ἐρύκακε δῶρα θεοῖο." οὕτω δὲ καὶ ἐπὶ τῆς Αἰνείου ἀσπίδος ὕπεστιν ὁ χαλκὸς τῇ βύρσῃ, ὁ μαλακώτερος τῇ ξηροτέρᾳ· καὶ οὐ κόσμου ἕνεκα χαλκὸς πρόσκειται ἐν ἐπιφανείᾳ, ἀλλ' ὑπόκειται δι' ἀσφάλειαν, ὡς ἐπὶ τῆς Ἀχιλλέως ὁ χρυσός· λέγει γὰρ ἐπὶ τῆς Αἰνείου "δεύτερος αὖτ' Ἀχιλεὺς προΐει δολιχόσκιον ἔγχος, καὶ βάλεν Αἰνείαο κατ' ἀσπίδα πάντοσ' εἴσην, ἄντυγ' ὕπο πρώτην, ᾗ λεπτότατος θέε χαλκός, λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός." κἂν μέντοι ἀκούωμεν "τὰς δύο χαλκείας" τὴν πρώτην καὶ τὴν πέμπτην, "δύο δ' ἐνδόθι" τούτων τὰς κασσιτερίνας τὴν δευτέραν καὶ τὴν τετάρτην, καὶ οὕτως μέση καὶ τρίτη ἐντὸς ἡ χρυσῆ "τῇ ῥ' ἔσχετο μείλινον ἔγχος," μιᾶς καὶ κασσιτερίνης ῥαγείσης.

275. πρώτην] τὴν ἄκραν, ὡς τὸ "ἐν πρώτῳ ῥυμῷ" (Il. 6, 40). πρὸς τὸ εὐκατάκλειστον δὲ λεπτύνεται ὁ χαλκός.

277. λάκε] διεκόπη, ὡς καὶ ἐν τοῖς ἱματίοις λακίδες λέγονται αἱ διακοπαί.

278. ἑάλη] συνειλήθη.

280. ἀμφοτέρους ἕλε κύκλους] τὸν βύρσινον καὶ τὸν χαλκοῦν.

2. ἐνταῦθα] ἔνθα Bekkerus 8. διήλασε] διελ^a
23. πάντοσ' εἴσην] πάντοσε ἴσην

289. τό] ἢ τὸ σάκος, ἢ αὐτὸ τὸ πρᾶγμα τὸ βληθῆναι τὴν κόρυθα ἢ τὸ σάκος, ἅπερ οὐκ ἔμελλε βληθέντα ὄλεθρον ἐπάξειν τῷ Ἀχιλλεῖ· ἰσχυρὰ γὰρ ἦσαν.

291. εἰ μὴ ἄρ' ὀξὺ νόησε] ἅμα τῷ διανοήματι δεῖ κινῆσαι καὶ τὸν λόγον τῶν θεῶν, εἴ γε καὶ τὰ ἔργα αὐτῶν τοιαῦτα. εἰ γὰρ τοσαῦτα λέγων ἐνεβράδυνεν, ἀνῃρέθη ἂν Αἰνείας. πῶς δὲ ἡ Ἀφροδίτη οὐ βοηθεῖ τῷ υἱῷ; ὅτι δέδιε τὴν Παλλάδα.

293. ἄχος μεγαλήτορος Αἰνείαο] λείπει ἡ περί.

306. ἤδη γάρ] διὰ τὴν τῶν ὅρκων παράβασιν μισητὸν ὁ Ζεὺς ἡγήσατο τὸ τοῦ Πριάμου γένος.

307. τὸ νῦν τὸ μέλλον δηλοῖ. οἱ δὲ Αἰνείου ἀπόγονοι καὶ Ῥώμην κτίζουσιν· οὐ γὰρ οἱ τῶν παίδων παῖδες μόνης ἄρχουσι τῆς Ἰλίου. οἱ δέ φασιν, οὐδὲ τὸ Ἴλιον Αἰνείας ἔκτισεν, ἀλλὰ τὸ βίῃ ἀντὶ τοῦ γενεᾷ λαμβάνουσι.

*Ἀφροδίτη, χρησμοῦ ἐκπεσόντος ὅτι τῆς Πριαμιδῶν ἀρχῆς καταλυθείσης οἱ ἀπ' Ἀγχίσου Τρώων βασιλεύσουσιν, Ἀγχίσῃ ἤδη παρηκμακότι συνῆλθεν· τεκοῦσα δ' Αἰνείαν, καὶ βουλομένη πρόφασιν κατασκευάσαι τῆς Πριαμιδῶν καταλύσεως, Ἀλεξάνδρῳ πόθον Ἑλένης ἐνέβαλε, καὶ μετὰ τὴν ἁρπαγὴν τῷ μὲν δοκεῖν τοῖς Τρωσὶ συνεμάχει, ταῖς δὲ ἀληθείαις τὴν ἧτταν αὐτῶν παρηγόρει, ἵνα μὴ παντελῶς ἀποδώσουσι τὴν Ἑλένην. ἡ ἱστορία παρὰ Ἀκουσιλάῳ.

322—324. ἀθετοῦσί τινες τοὺς στίχους ὡς ἐναντίους τοῖς προκειμένοις. οὐ γὰρ ἔστη ἐν τῇ ἀσπίδι τὸ δόρυ· φησὶ γὰρ "διὰ πρὸ Πηλιὰς ἤϊξεν μελίη" καὶ "ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ ἔστη ἱεμένη." ἔοικε δὲ τοιοῦτον σχῆμα περὶ τὴν πληγὴν γεγενῆσθαι· κατὰ μὲν γὰρ τὴν αἰχμὴν ἐμπεπήγει τῇ γῇ, κατὰ δὲ τὸν στύρακα τῇ ἀσπίδι· ὅθεν τῆς ἀσπίδος προσερειδομένης τῷ δόρατι ὥρμησεν οὗτος εἰς τὴν τοῦ λίθου βολήν.

327. ἄμεινον μὴ ἀναστρέφειν τὴν ἀπο, ἵν' ᾖ ἀπορούσας.

329. Καύκωνες] περὶ Παφλαγονίαν φασὶν οἰκεῖν τοὺς Καύκωνας. καὶ πῶς οὐ συγκατέλεξεν αὐτοὺς ἐν τῷ καταλόγῳ; ἢ τοίνυν νεήλυδές εἰσιν, ἢ ἐν τοῖς Λέλεξι περιέχονται.

15. * ἐκπεσόντος] ἐμπεσόντος
16. * ἤδη] Ἀφροδίτη
19. * ἐνέβαλε] συνέβαλε
21. ἀποδώσουσι] * ἀποδῶσι
23. * ἔστη] ἔστιν
24. ἐνὶ] ἐν
25. * μὲν] om.
32. * Λέλεξι] λέξεσι

332. ἀτέοντα] φρενοβλαβοῦντα ἢ ἀφροντιστοῦντα, "ὁ δὲ πρῶτον μὲν ἀτίζων ἔρχεται" (166). Καλλίμαχος "Μουσῶν δὲ κενὸς ἀνὴρ ἀτέει." τὸ ἀτέοντα ὡς νοέοντα· ἔστι γὰρ τῆς πρώτης τῶν περισπωμένων συζυγίας ὁμοίως τῷ νοέοντι.

334. σεῦ] ὀρθοτονητέον διὰ τὴν ἀντιδιαστολήν.

φίλτερος ἀθανάτοισι] πολλάκις γὰρ καὶ ἰσχυροῦ περιγίνεται θεοφιλής.

335. συμβλήσεαι] ἀπροοράτως συμβάλῃς. πρὸς κατάπληξιν καὶ τὸ ὑπὲρ μοῖραν τέθειται. οὐ μόνον δὲ διασώζει, ἀλλὰ καὶ εἰς τὸ μέλλον ὑποθήκας δίδωσι σωτηρίας.

362. στιχός] ὡς τριχὸς, ἀπ' εὐθείας τῆς στίξ. λέγει δὲ ὅτι πορεύσομαι ἕως τοῦ διόλου, ἤτοι τοῦ πέρατος τῆς φάλαγγος.

367. καί κεν ἐγὼν ἐπέεσσι] εἰς τὰ ἔργα κελεύει ἀφορᾶν, οὐκ εἰς τὰς ἐπαγγελίας. τάχα δὲ διδάσκει μὴ μέγα κατὰ τῶν ἀπόντων φρονεῖν.

370. κολούει] ἀτελὲς ποιεῖ, ὡς τὸ "πῆλ' αὔτως ἐν χειρὶ κόλον δόρυ" (Π. 16, 117).

372. ποικίλον τὸ διανόημα, καὶ πολὺν ἐν βραχεῖ νοῦν ἔχον, καὶ διὰ τῆς ἐπαναλήψεως ἐμφαῖνον ὑπερβολὴν τῆς ἀμφοῖν δυνάμεως, πυρὸς μὲν ὀξύτητα, σιδήρου δὲ καρτερίαν παραλαβόν.

375. καὶ τότ' ἄρ' Ἕκτορα εἶπε] λείπει ἡ πρός, ἵν' ᾖ πρὸς Ἕκτορα.

376. μηκέτι] μηδαμῶς προμάχει, ἀλλὰ σὺν τοῖς ἄλλοις αὐτὸν ἐκδέχου. ταμιεύεται δὲ ὁ ποιητὴς τὸ πρόσωπον Ἕκτορος εἰς τὰ τελευταῖα.

383. ἐσθλὸν Ὀτρυντείδην] ἔθος μὲν αὐτῷ ποικίλλειν ἐν ταῖς ἐπιδιηγήσεσι τὸν λόγον, νυνὶ δὲ καιριώτατα χρῆται τῷ τοιούτῳ εἴδει· μετὰ γὰρ τὰς τοσαύτας μάχας καὶ ἀναιρέσεις ἔδει καὶ ἄλλοις ἔξωθεν ἔπεσι χρήσασθαι διὰ τὸ προσκορές. ἅμα δὲ καὶ περὶ τοῦ συστῆσαι τὸν πρώτως ὑπ' Ἀχιλλέως ἀνῃρημένον, ὅτι οὐ τῶν τυχόντων ἦν.

385. *Τμώλῳ] ὄρος Λυδίας.

διὰ τοῦ δ τὸ Ὕδης· ἔστι γὰρ πόλις Λυδίας. γράφεται δὲ καὶ

2. Μουσῶν δὲ κενὸς] Recta scriptura est Μουσέων κεινός: v. vol. 2, p. 205, 25. In codice Veneto A est μουσαῖον κεῖνος ἀνὴρ ἀτέει.

διὰ τοῦ λ̄, ὡς τὸ "Ὕλῃ ἔνι οἰκία ναίων" (Il. 7, 221)· ἔστι δὲ πόλις τῆς Βοιωτίας.

386. ἰθὺς μεμαῶτα] ἀντὶ τοῦ εἰς εὐθὺ ὁρμῶντα.

387. πᾶσα] ἀντὶ τοῦ ὅλη.

388. δούπησεν] ἐκ τοῦ παρακολουθοῦντος ἀντὶ τοῦ ἀπέθανεν.

390. δεικτικόν ἐστι τὸ ἐνθάδε, καὶ πρὸ μιᾶς ἔχει τὸν τόνον.

392. Ὕλλῳ ἐπ' ἰχθυόεντι] τὸ σχῆμα ὁμοιόπτωτον. ἐν βραχεῖ δὲ τό τε πλῆθος ἔδειξε τῶν ἰχθύων τοῦ Ὕλλου, τοῦ τε Ἕρμου τὸ ταχὺ τῶν ῥευμάτων· δυσπέρατος γάρ ἐστιν.

394. δατέοντο] ἐναργῶς ἔδειξεν αἰκισμὸν σώματος ὑπὸ τῶν παραθεόντων τροχῶν διαιρουμένου.

395. ἐν ὀλίγοις ὅλα δεδήλωκε, τὸ ὄνομα, τὸν τρόπον, τὸν πατέρα, τὸν τόπον ἐφ' ὃν ἡ πληγή, ὅτι ἐπὶ τὴν κεφαλήν, καὶ ὅτι διὰ τῆς κυνέης, καὶ κατὰ ποῖον μέρος τῆς κεφαλῆς, καὶ μέχρι ποῦ διῆλθε. καὶ ἡ ἐπεξεργασία δὲ θαυμασία. ἄμφω γὰρ κατὰ τῆς κεφαλῆς τέτρωνται· ἀλλ' ὁ μὲν πρόσω ἱέμενος κατὰ μέσην τὴν κεφαλὴν τέτρωται, ὁ δὲ ἤδη παρατρέχων, ὡς ἔοικε, καὶ εἰς φυγὴν ὁρμώμενος διὰ τοῦ κροτάφου. ὁ δὲ τρίτος κατὰ τὸ μετάφρενον ἀπεστραμμένος τιτρώσκεται.

396. ἐσθλὸν ἀλεξητῆρα] ἀγαθὸν ἐν τῇ μάχῃ βοηθόν. δύναται δὲ καὶ εἰς τὸ ἐσθλόν ἡ στιγμὴ τίθεσθαι, καὶ γράφεσθαι μάχης.

404. οἱ Αἰολεῖς παρὰ τὰς γενικὰς τῶν πρωτοτύπων ποιοῦσι κτητικοὺς τύπους, ἑτέρων ἑτέρωνος ἑτερώνιος, ἀνεμώνιος, ἐτυμώνιος, Ἑλικώνιος. τὰ δὲ διὰ τοῦ ιος, εἰ μὲν τὸ πρωτότυπον εἰς ος ἔχει, διὰ τοῦ ησιος, Ἴθακος Ἰθακήσιος, βροτήσιος, ἐτήσιος· εἰ δὲ τρέποιτο τὸ η τοῦ πρωτοτύπου εἰς α παρὰ Δωριεῦσι, διὰ τοῦ α. Πρυμνάσιον, Κορυφάσιον. οὕτως ἔχει καὶ τὸ κοράσιον, ὃ μᾶλλόν ἐστι Μακεδονικόν.

φασὶν ἐν Μιλήτῳ ἱερὸν Ποσειδῶνος Ἑλικωνίου ἱδρῦσθαι. σύνηθες δὲ τοῖς ἐκεῖ καθ' ἕκαστον ἔτος ἐγκυκλεῖν τὰς θυσίας τῷ θεῷ, σημεῖα λαμβάνουσιν ἀπὸ τῆς τῶν ταύρων ἐρυγῆς· βοώντων γὰρ τῶν ταύρων δοκοῦσιν εὐμενῆ τε εἶναι τὸν θεὸν καὶ τὴν θυσίαν ἀσπάζεσθαι. εἰκότως δὲ οὗτος ἀνερυγγάνων τὸ αἷμα καὶ ὀξέως ἀποθνήσκει· τὴν γὰρ

23. ἑτέρων — ἐτυμώνιος] ἑτερῶν ἑτερῶνος—ἐτοιμώνιος. Correxi ex Eustathio p. 1214, 27. Conf. Cram. Anecd. Oxon. 4 p. 329.

28. φασὶν — ἱδρῦσθαι] *Ἀπλεὺς (*Νηλεὺς) φασὶν—ἱδρύσατο Townl. Conf. vol. 2 p. 207, 20.

τραχεῖαν ἀρτηρίαν διεκόπη καὶ τὸν στόμαχον διήρηται. καὶ μέχρι δὲ τοῦ θυμοῦ φθάνει τὸ δόρυ. θυμὸς δέ ἐστιν μεταξὺ τῶν κλειδῶν κείμενος ὑμὴν πρὸς τὸ μὴ πλήττεσθαι ὑπὸ τοῦ ὀστοῦ τὴν τραχεῖαν ἀρτηρίαν.

410. πάντας] ἐνίκα τοὺς νόθους μόνον· ὁ γὰρ Πολίτης "σκοπὸς ἷζε ποδωκείῃσι πεποιθώς" (Il. 2, 792). ἐπινοεῖ δὲ ἑκάστῳ τὸ πρὸς διήγησιν ἡδύ. λέγει δὲ ὅτι τὸ πλεονέκτημα ἀνέπεισεν αὐτὸν ἀντιστῆναι Ἀχιλλεῖ, ἐλπίσαντα φεύξεσθαι ταχύ.

414. νῶτα παραΐσσοντος] τὰ νῶτα παρακλίνοντος.

ὀχῆες] ἧλοι ἢ κρίκοι. συνέχεσθαι δὲ τὸν ζωστῆρα πρὸς τὸν θώρακα νοητέον. ἢ καθ' ὑπερβατὸν ἐκδεκτέον, ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν ὅθι ζωστῆρος ὀχῆες. διπλοῖ δὲ ἦσαν οἱ θώρακες κατὰ τὸν τῆς ζώσεως τόπον.

418. ποτὶ οἷ δ' ἔλαβε] πρὸς ἑαυτὸν ἀποκλιθεὶς ἔλαβε τὰ ἔντερα. περισπαστέον δὲ τὴν οἷ.

421. κάρ ῥά οἱ ὀφθαλμῶν] ὁ γὰρ ἔλεος ἀμελεῖν αὐτὸν τῆς ψυχῆς τε καὶ τῆς ἐντολῆς Ἀπόλλωνος ποιεῖ.

424. ἀνέπαλτο] ἐδήλωσε διὰ τῆς λέξεως τὸν ὑπὸ τῆς ἡδονῆς οἷον ἑαυτοῦ κρείττω γενόμενον.

425. ἐσεμάσσετο θυμόν] ἥψατο τῆς ψυχῆς, ἢ ἐκηλίδωσεν.

427. ἀνὰ πτολέμοιο γεφύρας] ἐν τοῖς μεταξὺ τῶν στάσεων διαστήμασιν.

431. Πηλείδη μὴ δή] σύντομος ὁ λόγος τοῦ πρὸς τιμωρίαν σπεύδοντος. πρὸς Αἰνείαν δὲ πλείων ἀποτέταται λόγος.

434. κατ' εἰρωνείαν τὸ ἐσθλός· προεῖπε γὰρ τὸ "οὐ ταρβήσας" (430).

435. ἐν γούνασι] ἱκεσίαις, λιταῖς, ἢ κόλποις, ἢ δυνάμει.

439. ἐπὶ τὸ πνοιῇ βραχὺ διασταλτέον πρὸς τὸ σαφέστερον.

*πάλιν] ἐπὶ τὸ ἕτερον μέρος τοῦ Ἀχιλλέως, ὅ ἐστι τὸ ἐναντίον.

440. ἦκα μάλα ψύξασα] τῇ κινήσει τῆς χειρὸς ἠρέμα ἐξανεμίσασα, ὡς τὸ "ψύχεος ἱμείρων παρελέξατο" (Od. 10, 555).

443. τὸν δ' ἐξήρπαξεν Ἀπόλλων] πιθανῶς ἀναρτᾷ τὴν ἐπιθυμίαν τῶν ἀκροατῶν, εἰς τέλος τῶν ποιήσεων ἑαυτῷ ταμιευόμενος τὴν σφαγὴν Ἕκτορος. πρὸς δὲ τὸ ἄπιστον βοηθείᾳ χρῆται, ὥσπερ ἀπολογούμενος ὑπὲρ τοῦ ἀπιθάνου διὰ τοῦ ῥεῖα μάλ'.

451. ᾧ ἔοικας εὔχεσθαι παραγινόμενος εἰς τὰς μάχας.

453. εἴ πού τις] καὶ τῆς νῦν ἀποτυχίας παιδευτικῶς τὴν αἰτίαν εἰς θεοὺς ἀνήγαγε καὶ τῆς αὖθις ἐπιτυχίας. τὸ δὲ ἀνύω βαρυντέον· ἐνεστὼς γάρ ἐστιν ἀντὶ μέλλοντος.

454. ἐπιείσομαι] ἐπιπορεύσομαι. ὡς πρόσθεν δὲ ἀποτυχὼν Αἰνείου εἰς τὸ πλῆθος τρέπεται, οὕτω καὶ νῦν.

456. ὁ δὲ τὸν μὲν ἔασε] ἐπιτρέχει τὸν τῶν βαρβάρων θάνατον, ἐπὶ τῇ εὐχερείᾳ καὶ ὀξύτητι Ἀχιλλέως ταχύνας καὶ αὐτὸς τὸν λόγον.

461. βραχὺ διασταλτέον εἰς τὸ ἐφορμηθείς. εἰκότως δὲ τὸν μὲν πρῶτον διὰ βολῆς ἀναιρεῖ, τὸν δὲ ἕτερον τῷ ξίφει, πλησίον γενόμενος. παρέλιπε δὲ αὐτῶν τὰς πληγάς, ἵνα μὴ πρὸς κόρον ὁ λόγος ᾖ.

463. Τρῶα δ' Ἀλαστορίδην] παραλλάσσων τὸ ὁμοειδὲς ἐποίησέ τινα ἱκετεύοντα. τὸ δ' ἑξῆς, Τρῶα δ' Ἀλαστορίδην φασγάνῳ οὖτα καθ' ἧπαρ, καὶ τὰ λοιπὰ διὰ μέσου. ἢ κοινὸν τὸ ἔτυψεν ἐκδεκτέον ἀπὸ τοῦ σχεδὸν ἄορι τύψας (462).

464. δασυντέον τὸ ε̅υ̅· ἔστι γὰρ ἀντὶ τοῦ αὐτοῦ.

467. γλυκύθυμος] οὐκ ἀνειμένος τῷ θυμῷ καὶ ἠπιόφρων, ἀλλ' ἐκ τοῦ ἐναντίου σκληρὸς καὶ χαλεπός. ὁ μὲν γὰρ ὡς ἀκμάζοντος τοῦ πένθους περίλυπός ἐστιν· ὅτε γὰρ θάπτομεν τοὺς φίλους, τότε μάλιστα αὐτῶν ἐλπίζοντες στερίσκεσθαι αὔξομεν τὴν ὀδύνην. οὐκ ἐπαινῶν δὲ ὁ ποιητὴς τὸ θυμικὸν σκληρόφρονα αὐτὸν καλεῖ.

470. ὄλισθεν] ὀλισθηρὰ γὰρ ἡ φύσις τοῦ ἥπατος· αἱμορραγία δὲ πολλὴ γέγονε δύο μεγίστων ἀγγείων διῃρημένων, τοῦ ἥπατος καὶ τῆς κοιλίας τῆς τε πύλης, ἥτις ἐστὶ κατὰ τὰ σκαιά. τὸ δὲ αἷμα, φησί, κατὰ τοῦ ἥπατος ἐκκρουνίζον τὸν τοῦ χιτῶνος ἔπλησε κόλπον.

476. δαιμονίως τὸ βάθος τῆς πληγῆς διὰ τῆς λέξεως παρέδειξεν.

478. τένοντές εἰσιν αἱ ἀπονευρώσεις τῶν μυῶν, δι' ὧν γίνονται αἱ ἐκτάσεις καὶ κάμψεις.

483. τινὲς εὐθεῖαν τὸ σφονδυλίων ἐκδέχονται, ἵν' ᾖ ὁ σφονδυλίων μυελός.

484. Πείρεω ὁμοίως τῷ Μενέλεω· ἡ γὰρ εὐθεῖά ἐστι Πείρεως. ἐν ἄλλοις δὲ Πείροος λέγεται καὶ Πείρως.

25. * καὶ] om.

490. πολλάκις χρησάμενος τῇ ἀπὸ τοῦ πυρὸς παραβολῇ ἐμψύχῳ νῦν τῇ ὀνοματοποιίᾳ χρῆται, μαιμᾶν λέγων τὸ πῦρ ὡς πᾶσαν ἐπειγόμενον τὴν ὕλην ἀναλῶσαι. πάντα δὲ πᾶσι παραβέβληται. ἥ τε γὰρ προθυμία τοῦ Ἀχιλλέως ὁμοία τῇ τοῦ πυρὸς ἐπιδρομῇ· καὶ τὸ πλῆθος τῶν ἀναιρουμένων ὅμοιον τῷ τῆς ὕλης βάθει· καὶ τὸ εὐμεταχείριστον τῶν Τρώων τῷ τῆς ὕλης καταξήρῳ ἀπείκασται· διά τε τοῦ εἰλυφάζει τὴν ἐπὶ πλεῖον εἴλησιν τοῦ πυρὸς ἔδειξεν.

* ἄγκεα] τοῦ ὄρους τὰ μὲν ἀνωτάτω ἀκρώρειαι, τὰ δὲ ὑψηλὰ σκοπιαί, τὰ δὲ προνενευκότα πρῶνες, τὰ δὲ κεκλιμένα κλιτύες, τὰ δὲ βάσιμα βῆσσαι, τὰ δὲ κοῖλα ἄγκη, τὰ δὲ σύνδενδρα νάπαι, τὰ δὲ κάτω πρυμνώρειαι, ἡ δὲ παρὰ ταῖς πρυμνωρείαις πεδιὰς παρόριον.

497. ὑπό] οὐκ ἀναστρεπτέον τὴν ὑπο· ἔστι γὰρ ὑπὸ ποσσὶν, ὡς ἐκεῖ "ὣς ἄρα τῶν ὑπὸ ποσσὶ κονίσαλος" (Il. 3, 13).

502. κῦδος] τὸ ἐκ τῆς ἀναιρέσεως Ἕκτορος, ἢ καὶ τὸ ἐκ τοῦ συνειλῆσαι τοὺς πολεμίους εἰς τὸ ἄστυ.

ΕΙΣ ΤΗΝ Φ.

1. ἀλλ' ὅτε δή] πᾶσαν ἰδέαν μάχης διελθὼν ἐν τῷ πεδίῳ καὶ περὶ τὸ τεῖχος καὶ ἐν ταῖς ναυσὶ, καινόν τι ἐξεῦρεν ἐπὶ τῇ Ἀχιλλέως ἐξόδῳ, τὴν παρὰ τῷ ποταμῷ μάχην, καινάς τινας διαθέσεις ἐπεισφέρων τῇ ποιήσει. τετάρτην γὰρ ταύτην συνιστὰς μάχην ἐπὶ λήξει τῆς ποιήσεως, ἐπεὶ μὴ ἀξιομάχους οἶδε τοὺς βαρβάρους Ἀχιλλεῖ, καὶ ἄτοπον εἰς ἀκατέργαστον λῆξαι τὴν ποίησιν, θεῶν τε μάχην παρεισάγει καὶ τὸν ποταμὸν ἀντιτίθησιν, εὔλογον ἀφορμὴν λαβὼν τὴν ἀπὸ τῶν νεκρῶν στένωσιν.

πόρον τὸν πορευτὸν αὐτοῦ τόπον· οἱ δὲ τὸν ῥοῦν. οἱ δὲ πόρον Ξάνθου κατὰ περίφρασιν τὸν Ξάνθον.

2. Ξάνθου μὲν τοῦ ξανθὰς ποιοῦντος τὰς τρίχας, δινήεντος δὲ τοῦ περιφερῆ ῥεύματα ἔχοντος.

ὃν ἀθάνατος τέκετο Ζεύς] πῶς μετέπειτα μέν φησιν ἐπὶ τοῦ Ὠκεανοῦ "ἐξ οὗ περ πάντες ποταμοί," νῦν δὲ Διὸς τὸν Ξάνθον γενεαλογεῖ; ῥητέον δὲ ὅτι τοῦ μὲν ὡς θεοῦ τιμωμένου πατὴρ ὁ Ζεὺς, τοῦ δὲ ῥεύματος χορηγὸς Ὠκεανὸς, ἐξ οὗ περ πάντες ποταμοί·

2. μαιμᾶν] μεμᾶν 9. κεκλιμένα Vill.] κεκαυμένα 29. * μέν] om.

"πατὴρ ἀνδρῶν τε θεῶν τε." ἢ διὰ τὸ πλέον χειμάρρου εἶναι τὸν Ξάνθον Διὸς αὐτόν φησι· φησὶ γοῦν "ὀρόθυνον ἐναύλους·" "ὅν ῥά τ' ἔναυλος ἀποέρσῃ" (283).

διὰ τί πάντων τῶν ποταμῶν ῥεόντων ἐξ Ὠκεανοῦ, μόνον τὸν Ξάνθον ὁ ποιητής φησιν "ὃν ἀθάνατος τέκετο Ζεύς;" πῶς οὖν καὶ Ὠκεανοῦ καὶ Διὸς παῖς; ῥητέον οὖν ὅτι εἰκότως ἂν καὶ Διὸς καλοῖτο παῖς, εἴγε οἱ ὄμβροι μὲν ἐκ Διός, ὄμβρῳ δὲ οὗτος αὔξεται. φέρεται δὲ καὶ ἄλλη τις ἱστορία, ὅτι ὁ Ἡρακλῆς ποτὲ δίψει κατασχεθεὶς ηὔξατο τῷ πατρὶ Διὶ ἐπιδεῖξαι αὐτῷ νᾶμα, ὁ δὲ μὴ θέλων αὐτὸν τρύχεσθαι, ῥίψας κεραυνόν, ἀνέδωκε μικρὰν λιβάδα, ἣν θεασάμενος ὁ Ἡρακλῆς, καὶ σκάψας εἰς τὸ πλουσιώτερον μετεισφέρεσθαι, ἐπωνόμασε Σκάμανδρον, οἱονεὶ Κάμανδρον γενόμενον ἤγουν καμάτου ἑαυτῷ παραίτιον. ὅθεν εἰκότως ὁ ποιητὴς τὴν αὐτοῦ γένεσιν προσῆψε τῷ Διί. Ξάνθος δὲ προσηγορεύθη ἀφ' οὗ περὶ τοῦ κάλλους ἐκρίνοντο Ἥρα Ἀθηνᾶ Ἀφροδίτη, ὅτι ἐν αὐτῷ λουσάμεναι κόμας ἔσχον ξανθάς.

3. ἔνθα διατμήξας] θαυμαστήν τινα φαντασίαν ὑποτίθεται. τοσαύτας μυριάδας ἀνδρῶν ὑφ' ἑνὸς διαιρεθῆναι. καὶ μεταξὺ τῶν δυοῖν αὐτὸν τάξεων εἶναι· τάχα οὖν ποικίλλει τὸν λόγον, μόνον αὐτὸν λαμβάνων· ἦσαν δὲ καὶ οἱ λοιποὶ ἐκεῖσε.

4. ᾗπερ Ἀχαιοί] δείκνυσιν ὅτι δι' ἧς ὑπερηφάνως ἐδίωκον Τρῶες, ταύτῃ διώκονται.

5. ἐμαίνετο] ἐνθουσιωδῶς ἐμάχετο. διὸ οὐκ εἶπεν ἐμάρνατο.

6. καὶ τὸ προχέοντο, ὡς καὶ ἐπὶ τῶν προβάτων "ἐπ' ἀλλήλῃσι κέχυνται" (Il. 5, 141), τὸ ἄτακτον καὶ ἀνώμαλον τῆς φυγῆς τούτων δηλοῖ. πεφυζότες δὲ ἀντὶ τοῦ δειλιῶντες.

7. πίτνα] ἐξέτεινε. εἰλεῦντο δὲ τὸ συνωθοῦντο.

9. οὐκ εἶπεν ἐνέβησαν, ἀλλ' ἐνέπεσον, τὸ ἀκούσιον βουλόμενος σημᾶναι. πάταγος δὲ ψόφος ἐκ τριῶν γινόμενος, ὅπλων, βοῆς, ὕδατος.

10. ὄχθαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον] αἱ περὶ τὸν ποταμὸν ὄχθαι ἀμφίαχον. ἢ πρὸς ἔμφασιν αἱ δύο κεῖνται προθέσεις, τὸ μέγεθος καὶ πλῆθος τῆς βοῆς παραδηλοῦσαι. ὄχθη δὲ καὶ κρημνὸς ταὐτά· φησὶ γὰρ "μεσοπαγὲς δ' ἄρ' ἔθηκε κατ' ὄχθης" (172) καὶ "οὐ δύνατ' ἐκ κρημνοῖο ἐρύσσαι" (175).

1. * πλέον χειμάρρου] πλέων χειμάρρων
6. * ἂν] om.
7. * φέρεται] φαίνεται
11. μετεισφέρεσθαι, ἐπωνόμασε] * μεθῆκε φέρεσθαι καὶ μετωνόμασε

12. ὡς δ' ὅθ'] ἐπεὶ ταπεινὴ ἡ εἰκὼν, ἐφαίδρυνεν αὐτὴν τῷ ῥιπῆς καὶ τῷ ἠερέθονται. καίουσι δὲ οἱ γεωργοὶ πῦρ, διώκοντες αὐτὰς τοῦ σπόρου. ἐμφερέστατα δὲ καὶ ἐφ' ἑκατέρου τῇ εἰκόνι κέχρηται· τὸ μὲν γὰρ ἀκαταμάχητον τοῦ διώκοντος πυρὶ παρέβαλε, τὸ δὲ ἄπρακτον τῶν φευγόντων ἀκρίσιν. ἀκρὶς δὲ παρὰ τὸ ἀκρίζειν, ὅ ἐστι τὰ ἄκρα τρώγειν. ἠερέθονται δὲ τὸ ἐρεθίζονται.

14. ψιλωτέον τὸ ὅρμενον· ἀπὸ γὰρ τοῦ ὅρω ἐστὶ ψιλούμενον καὶ βαρυνόμενον ὀρόμενον ὅρμενον.

πτώσσουσι] ἐμπίπτουσι καταπληχθεῖσαι.

16. κελάδων] ὁ κελάδων ἀντὶ τοῦ ἠχῶν, παροξυτόνως δέ· παρὰ ποταμὸν γὰρ κελάδοντα, οὐ κελαδοῦντα, φησίν.

18. κεκλιμένον] ἀνακεκλιμένον, ἀνακείμενον, προσερηρεισμένον.

20. ἐπιστροφάδην] συνεστραμμένως, ἰσχυρῶς, ἢ μηδένα τόπον παραλιμπάνων. ὑπ' ὄψιν δὲ ἤγαγε τὸ πρᾶγμα καὶ τὸ πλῆθος τῶν ἀναιρουμένων παρέστησε. στόνος δὲ ἀεικής ὁ δεινὸς καὶ χαλεπὸς στεναγμός.

22. ὡς δ' ὑπὸ δελφῖνος] καλῶς τὰ τῆς παραβολῆς· ὅτε γὰρ ὁ διώκων ἐπὶ γῆς ἦν, οἱ δὲ φεύγοντες ἐπὶ τὸν ποταμὸν συνωθοῦντο, πυρὶ καὶ ἀκρίσιν ὡμοίωσεν· ὅτε δὲ ἐν ὕδατι ὁ διώκων καὶ οἱ διωκόμενοι, πρὸς τὸν ὑποκείμενον τόπον ἡ παραβολὴ συνᾴδει.

μεγακήτεος] μεταφορικῶς μεγάλου, ἢ μέγα κύτος ἔχοντος, ὡς "μεγακήτεϊ νηΐ" (Il. 8, 222).

23. μυχοὺς τὰς καταδύσεις. γίνεται δὲ παρὰ τὴν νύκτα, νυχὸς καὶ μυχός.

25. δεινοῖο] μεγάλου καὶ θαυμαστοῦ.

26. πτῶσσον] κατέπτησσον ταπεινοῦντες ἑαυτούς. κρημνοὺς δὲ τὰς ἐπικρεμαμένας ὄχθας τοῖς ὕδασιν.

27. λέξατο κούρους] ἐκλέγεται αὐτοὺς ὡς εἰς θυσίαν μέλλων παριστάνειν Πατρόκλῳ κατὰ τὴν ὑπόσχεσιν. μεγάλην δὲ τὴν ὑπεροχὴν καὶ διὰ τούτου παρίστησιν, ἐπιλέξασθαι αὐτὸν τοὺς αἰχμαλώτους λέγων οἵους καὶ ὅσους ἐβούλετο, καὶ καθ' ἕνα συνδῆσαι πάλιν, ὥσπερ ἀνδράποδα προτείνοντας τὰς χεῖρας. τοίνυν συνυπούργουν αὐτῷ οἱ ἑταῖροι ἐν τούτοις πᾶσι. τὸ δὲ ὅλον ἦν τὸ αὐτοῦ.

31. τοὺς αὐτοὶ φορέεσκον] περιπαθῶς καὶ τοῦτο· δείκνυσι γὰρ

18. ἐπὶ γῆς ἦν Bekkerus] ἐπὶ γῆν ἐπὶ] εἰς Bekkerus.
33. αὐτοῦ] αὐτός Vill.

ὅτι ταῦτα αὐτοῖς ἀφορμὴ τῶν δεσμῶν ἐγένετο, ἃ εἰς σωτηρίαν ἐπήγοντο.

στρεπτοῖσι] ἀντὶ τοῦ εὐκλώστοις· ἐνήθετο γὰρ καὶ ἡ κρόκη διὰ στρεπτοῖο χιτῶνος. οὐδέποτε δὲ ἐγινώσκετο τὸ ῥοδανίζειν, ἀλλὰ νήθειν. Μένανδρος "κρόκην δὲ νήσει καὶ στήμονα."

34. ἔνθ' υἱεῖ Πριάμοιο συνήντετο] μετέβαλε τὴν διήγησιν εἰς ἄλλην διάθεσιν, ποικίλλων αὐτήν. πρῶτος οὖν καὶ τὸ τῶν περιπετειῶν εἶδος ἔδειξε, ποικίλον ὂν καὶ θεατρικὸν καὶ κινητικόν. πάντα δὲ λέγων ἀληθοποιεῖται τὸν λόγον. τὸ δὲ υἱεῖ περισπαστέον καὶ διὰ διφθόγγου γραπτέον· ὡς ἀπὸ τοῦ υἱεύς γὰρ γίνεται.

36. ἀλωῆς] δενδροφόρου γῆς. οὐκ ἐθέλοντα δὲ ἀντὶ τοῦ μετὰ βίας.

37. ἐρινεόν] ἀντὶ τοῦ ἐρινεοῦ, ὡς τὸ "γυναῖκα μαζόν" (Il. 24, 58). ἀπὸ τοῦ γενικοῦ δὲ εἰς τὸ εἰδικὸν μεταβέβηκε. καὶ εἰ διαστείλαιμεν βραχὺ εἰς τὸ τάμνε, εὐλογώτερον ἂν τὸ σχῆμα γένοιτο, ὡς πρὸς τὸ σημαινόμενον ἀπηντηκότος αὐτοῦ. τὸ δὲ ὅρπηξ ψιλοῦται· ἔστι γὰρ παρὰ τὸ ὅρω, πλεονασμῷ τοῦ π.

39. ἀνώϊστον] ἀνεπιλόγιστον· νωΐσασθαι γὰρ τὸ νοῆσαι. ἀναγκαίως δὲ προεκτίθεται τὰ περὶ αὐτὸν ἅπαντα, ἵνα ἑξῆς ἱκετεύοντος αὐτοῦ γνώριμος ὁ λόγος καταστῇ.

40. *ἐπέρασσεν] ἀντὶ τοῦ περάσας ἐπώλησεν.

42. ξεῖνός μιν ἐλύσατο] ἐκεῖ ἐπιξενωθεὶς ἠλευθέρωσεν. τὸ δὲ ἑξῆς, ξεῖνός μιν ἐρύσσατο Ἴμβριος Ἠετίων.

46. ἐλθὼν ἐκ Λήμνοιο] σωθεὶς ἀπὸ τῆς Λημνίας δουλείας ἐτέρπετο.

48. περισσὸς ὁ καί. ἴσως δὲ τὸ φιλόψυχον αὐτοῦ κωμῳδεῖ καὶ τὸ τοῦ τρόπου δειλόν.

50. γυμνόν, ἄτερ κόρυθος] οὕτως γὰρ καὶ πέπραται, οὕτως καὶ ἐγνωρίσθη.

55. ὑπερβολικῶς εἶπε, τάχα Τρῶες καὶ ἐξ Ἅιδου φεύξονται, ὅπου θαλασσοκρατούντων Ἑλλήνων ἀπὸ νήσου ἔφυγον. ὁ δὲ Πῖος στίζει εἰς τὸ μεγαλήτορες. τὸ δὲ ἑξῆς ἐν ἤθει φησίν· ἀναστήσονται ἄρα καὶ οἱ τεθνεῶτες, εἴ γε οὗτος ἴσχυσε διαπεραιωθῆναι.

60. ἀλλ' ἄγε δὴ καὶ δουρός] γενναῖον ἦθος καὶ ἐπάνω τῶν δεινῶν κείμενον ἡ εἰρωνεία παρίστησιν.

24. Λημνίας Bekkerus] λημναίας

64. μένων] ὁ μὲν περιμένει, διὰ τὴν ὑπεροχὴν τεθαρρηκὼς ἑαυτῷ καὶ οὐχ οἷον ἁρπάζων τὸν καιρόν· ὁ δὲ ἐμπέδως πάντα ὁρῶν ἄφυκτα αὐτῷ αὐτὸς πρόσεισι.

65. περὶ δ' ἤθελε θυμῷ] ἐπιτείνει τὸ φιλόζωον, ὅπως συγγνώμην ἔχοι παρατείνων τὰ τῆς δεήσεως.

67. ἔστιν ἰδεῖν ὥσπερ ἐν γραφῇ τὸν μὲν ἐπανατεινόμενον τὸ δόρυ, τρῶσαι θέλοντα, τὸν δὲ φθάσαντα τὴν πληγὴν καὶ τοῖς γόνασι πίπτοντα· καὶ τὴν μὲν αἰχμὴν τῇ γῇ προσπεπηγυῖαν, τὸν δὲ καὶ τὸ δόρυ κατέχοντα καὶ τῶν γονάτων ἐχόμενον.

70. ἄμεναι] γεύσασθαι.

74. σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον] ὡς ἱκέτην προσδέχου. δύο γὰρ πρὸς σωτηρίαν ἀνυστικά, αἰδὼς καὶ ἔλεος.

75. ἀντί τοί εἰμ' ἱκέταο] ἴσος ἱκέτῃ εἰμί. ἱκέταο δὲ τοῦ εἰς τὴν ἑστίαν ἥκοντος καὶ ἱκετεύοντος. πιθανὴ δὲ ἡ ἐπανάληψις· ὁ γὰρ αἰχμάλωτος ἱκέτην ἑαυτόν φησιν. ἱκέτην γὰρ κυρίως καλοῦμεν τὸν ἑκουσίως καταφυγόντα· ὁ δὲ τῷ ὁμωρόφιος γεγονέναι καὶ τροφῆς μετεσχηκέναι εἰς τὸ τῶν ἱκετῶν δίκαιον ἑαυτὸν τάττει.

76. * Πορφυρίου. ἀποροῦσι πῶς ὁ ἱκετεύων πρὸς τὸν Ἀχιλλέα ἔφη "πὰρ γὰρ σοὶ πρώτῳ πασάμην Δημητέρος ἀκτήν." τὸ γὰρ λέγειν, καθάπερ Στησίμβροτος, ὅτι οἱ βάρβαροι ἄλφιτα οὐκ ἐσθίουσιν, ἀλλ' ἄρτους κριθίνους, ψεῦδος· ἤσθιε γὰρ ὡς ἂν βασιλέως ὢν υἱὸς, καὶ οὐδαμῶς τοῦτο ὁ ποιητὴς ἐπεσημήνατο. ἡ δὲ λύσις, ὅτι παρ' Ἕλλησι πρώτῳ καὶ ξένῳ τῷ Ἀχιλλεῖ γεγονέναι φησί· πρὸς γὰρ τὴν ἱκεσίαν εἶχέ τινα βοήθειαν τοῦτο, ὥσπερ τετυχηκὼς ξενικῆς τραπέζης παρ' ἐκείνῳ πρῶτον.

Δημητέρος ἀκτήν] τὸ τοῦ σίτου λεπτότερον. λέγεται δὲ ἀκτὴ ἡ ἄγουσα ἡμᾶς καὶ πορεύεσθαι ποιοῦσα. ἄτοπον δὲ τὸν μεταδόντα τροφῆς, ἐξ ἧς ἄνθρωποι ζῶμεν, τῆς ζωῆς ἀφαιρεῖσθαι. καὶ Δημητέρος φησὶν εἰς δεισιδαιμονίαν παρακαλῶν. καὶ ὁ μὲν εἰς τροφὴν ἐπὶ τῷ πωλῆσαι παρέλαβεν, ὁ δὲ τοῦτο εἰς τὸ τῶν ἱκετῶν δίκαιον ἔλαβεν. καὶ θαυμάσαι ἄξιον τὴν εὐπορίαν τοῦ ποιητοῦ. πολεμίῳ γὰρ προσώπῳ λόγον περιθεὶς, ὅμως εὐπόρησε πρὸς τὴν σωτηρίαν εὐλόγου προφάσεως.

79. * ἑκατόμβοιον] οἱ παλαιοὶ, πρὶν ἐπινοηθῆναι τὰ νομίσματα

8. πίπτοντα] προσπίπτοντα Bekk. 16. ὁμωρόφιος Bekk.] ὁμορρόφιος 18. * Πορφυρίου] om. 22. * παρ' Ἕλλησι] παρὰ τῷ ἑλλη

τὰς συναλλαγὰς ἐποιοῦντο διὰ τῶν τετραπόδων· ὅθεν ὕστερον ἐφευρεθέντων τῶν νομισμάτων βοῦν ἐπ' αὐτῶν ἐξετύπουν, ἐνδεικνύμενοι τὸ ἀρχαῖον ἔθος. καὶ παροιμία, βοῦς ἐπὶ γλώσσης, ὅ ἐστι νομίσματα. ἁρμόζει δὲ ἡ παροιμία αὕτη ἐπὶ τῶν ῥητόρων τῶν λαμβανόντων νομίσματα ὑπὲρ τοῦ μὴ κατηγορῆσαί τινος, ἀλλὰ σιωπῆσαι.

80. εὐκτικῶς, ἀντὶ τοῦ λυθησαίμην παρασχὼν τοσαῦτα τριπλασίως· πρὸς ὅ φησι "μή μοι ἄποινα πιφαύσκεο" (99).

83. ἔοικα, φησὶν, ἀπεχθὴς γεγονέναι τῷ Διί. ἄκρως δὲ διαγράφει δειλὸν, ἀπεγνωκότα μὲν, ὅμως τὴν δι' ἐλέους σωτηρίαν ἀναμένοντα· ἔχεται γὰρ ἁπάντων ἡ ἀμείνων ἐλπίς.

86. Ἄλτεω] τὸ αὐτὸ ὄνομα διχῶς ἐσχημάτισεν, Ἄλταο ὡς Ἀτρείδαο καὶ Ἄλτεω ὡς Μενέλεω. σημειωτέον δὲ τὴν ἐπανάληψιν. λέγει δὲ ταῦτα, ἵνα δείξῃ ὅτι καὶ πρὸς μητρὸς εὐγενής ἐστι καὶ πολλὰ δύναται δοῦναι. ἅμα δὲ ὅτι οἱ ἐν τύχαις μεγίσταις ἐλεοῦνται ἀτυχοῦντες.

88. τοῦ δ' ἔχε θυγατέρα Πρίαμος] αὔξει τὸ γένος, Πρίαμον λέγων ἐπιθυμῆσαι αὐτῆς. ἀλλοτριῶν δὲ ἑαυτὸν τοῦ γένους Ἕκτορος, φησὶ πολλὰς δὲ καὶ ἄλλας.

96. ἐνηέα] ἐν τῷ ἐπιθέτῳ τοῦ φίλου μαλάσσειν αὐτὸν οἴεται, διδάσκων ζηλοῦν τὴν προσήνειαν τοῦ φίλου.

99. νήπιε] διὰ τοῦ ἐπιθέτου πᾶσαν ἐλπίδα τοῦ πείθειν ἐξέκοψε.

100. πρὶν μὲν γὰρ Πάτροκλον] τάχα φησὶν ὅτι ἐκεῖνος ἦν ὁ πρὸς τοὺς ἁλισκομένους αὐτὸς ἡμερῶν· ὅθεν καὶ αἱ αἰχμαλωτίδες αὐτὸν ὡς ἤπιον καὶ ἀγαθὸν αὐταῖς ἀπωδύροντο.

101. τόφρα] τότε. πλεονάζει τὸ τι. τὸ δὲ πεφιδέσθαι παροξυτόνως, ὡς τὸ ἱκέσθαι (Il. 1, 19)· ἔστι γὰρ μέσος δεύτερος ἀόριστος.

105. περὶ δ' αὖ Πριάμοιο] ὁ μὲν ἔλεγεν οὐκ εἰμὶ Ἑκάβης. ὁ δὲ ἀντέθηκεν, ἀλλὰ Πριάμου εἶ. καὶ ὁ μὲν ἐπ' εὐγενείᾳ τὸ ὄνομα Πριάμου ἔλαβεν, ὁ δὲ διὰ τοῦτο φονεύειν αὐτόν φησιν.

106. πιθανὴ τοῦ φίλος ἡ εἰρωνεία πρὸς τὸν ξενίαν προβαλλόμενον. θανάτου δὲ κρείσσων ὢν παραμυθεῖται τὸν ἀγεννῶς τοῦ ζῆν ἐφιέμενον. τινὲς δὲ ἀξιοῦσι μετὰ τὸ θάνε στίζειν, ἵν' ᾖ, ὁ φίλος Πάτροκλος ἔθανε, καὶ σὺ τί θρηνεῖς οὕτως;

108. καλός τε μέγας τε] ὁπότερον γὰρ ἂν θατέρου στερηθῇ, πρὸς σωματικὸν κόσμον ἀτελές.

110. οὐκ ἀναστρεπτέον τὴν ἐπί· τὸ γὰρ ἑξῆς ἐστιν ἐπὶ σοὶ καὶ

ἐμοί. ὁ δὲ Ἀρίσταρχός φησιν, ἀλλ' ἔπεστι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα, καὶ ἀξιοῖ στίζειν εἰς τὸ κραταιή. τὸ δὲ ἑξῆς ἀπὸ ἄλλης ἀρχῆς, ἔσσεται ἢ ἠὼς ἢ δείλη, ἔσται τις ὄρθρος ἢ μεσημβρία ἢ δείλη. ἠὼς μὲν γὰρ ἡ ἕωθεν ἕως μεσημβρίας ὥρα, μεσημβρία δὲ ὁ καιρὸς τῆς ἕκτης, ἣν Ἀττικοὶ δείλην λέγουσι πρωΐαν, δείλη δὲ ἡ μετὰ τὴν ἕκτην, ἣ καὶ δείλη ὀψία καλεῖται. εὐθεῖαι δέ εἰσιν αἱ τρεῖς. τὸ δὲ δείλη χωρὶς τοῦ σ̄, ὥς φησι Δίδυμος.

112. Ἄρῃ] τῷ σιδήρῳ· τινὲς δὲ ἀρῇ βλάβῃ βέλους ἢ δόρατος.

113. ἢ ὅγε δουρί] πέπεισται γὰρ ὡς οὐδεὶς αὐτῷ συνελθὼν συστάδην μαχεῖται.

114. αὐτοῦ] ἐν ᾧ ἦν ἑστὼς καὶ ἱκετεύων τόπῳ.

115. ἀπογνοὺς τῆς ζωῆς, τὸν σύντομον αἱρεῖται θάνατον.

120. ποταμόνδε] τὸ μὲν τοὺς ἐν τῷ ποταμῷ ὄντας ἐπιβάντα ἀναιρεῖν σκυθρωπὸν μέν, ὅμως συγγνωστόν· τὸ δὲ καὶ τοὺς ἐν τῇ γῇ ἀναιρουμένους εἰς τὸ ῥεῖθρον ἐμβάλλειν αἰτίαν παρέχει τῷ ποταμῷ εἰς τὴν κατ' Ἀχιλλέως ἐπιβουλήν. ἀλλὰ μὴν καὶ βλασφημεῖ αὐτόν· θηρώμενος γὰρ ὁ ποιητὴς τὴν πρὸς τὸν ποταμὸν μάχην, ἐξευρίσκει πιθανὰς αἰτίας.

122. κεῖσο] τινὲς ἧσο γράφουσιν, ἀντὶ τοῦ δίαγε, ὕπαρχε, ὃ καὶ δασύνεται. τὸ δὲ ἐνταυθοῖ περισπαστέον Ἀττικῶς.

123. ἀπολιχμήσονται] καταφάγωσιν· ἀπὸ τοῦ λείχειν δὲ εἴληπται τὸ λιχμᾶν. ἀκηδέες δὲ οἱ μὴ κηδόμενοί τινων.

οὐδέ σε μήτηρ] ἐπεὶ πολλὰ περὶ τῆς μητρὸς προὐβάλετο ἐκεῖνος, ὅτι ὡραία καὶ πλουσία ἦν, οὗτος, ὥσπερ ὑπερεμπιπλάμενος τῆς εἰς τοὺς πολεμίους κολάσεως, φησὶν ὅτι οὐδὲ ἐκείνη σοι ἐπιχαρήσεται, οἱονεὶ κἀκείνην τιμωρούμενος δι' αὐτοῦ.

125. εἴσω ἁλός] ἀντὶ τοῦ εἰς ἁλός, πλεονασμῷ τοῦ ω̄.

126. ὁ μὲν Ἀρίσταρχος φρῖκ' ἐπαΐξει, οἱ δὲ ἄλλοι ὑπαΐξει. οὕτως δὲ Ἀρίσταρχος ἐξηγεῖται· τῶν ἰχθύων τις κατὰ τὸ κῦμα θρώσκων, ὅ ἐστι κολυμβῶν, ἐπὶ τὴν φρῖκα ἀΐξει, ἵνα φάγῃ σε φερόμενον. δεῖ γὰρ τὸν μέλλοντα ἰχθὺν φερομένου τινὸς γεύεσθαι ἄνω μετέωρον ἐπὶ τὴν φρῖκα τῆς θαλάσσης ἐλθεῖν. τὸ δὲ πᾶν οὕτως· νεοσφαγὴς μὲν ὢν καταδύσῃ πρὸς τὸ βάθος τοῦ ποταμοῦ, ἔνθα σὺν τοῖς ἰχθύσιν ὢν ἀπολιχμηθήσῃ τοῦ αἵματος· ἐπὶ πλέον δέ σε ἄταφον

18. πιθανὰς Bekkerus] πιθανῶς

ὄντα καὶ μετεωρισθέντα ἐκβαλεῖ παρὰ τὴν θάλασσαν ὁ ποταμὸς, ἔνθα τις τῶν ἰχθύων σε κατέδεται ἐπὶ τὴν φρῖκα φερόμενος. Φιλητᾶς δὲ ἀρεσκόμενος τῇ ὑπαλύξει γραφῇ φησὶν ὡς ἐκεῖνος ὁ λιπανθεὶς ἰχθὺς ὑπὸ τοῦ δημοῦ τὴν ψυχρασίαν ὑπαλύξει.

**ὁ μὲν Ἀριστοφάνης βούλεται τὸν ἰχθὺν, ὥστε καταφαγεῖν τὸν Λυκάονος δημὸν, ἢ διαφαγόντα, θρώσκειν κατὰ κῦμα καὶ ὑπαΐσσειν τὴν φρῖκα· καί φησιν, ἐπιπολῆς ἐπινήξεται τῷ ἀφρῷ τοῦ ὕδατος ὑποδεδυκὼς, ἐπειδὴ καὶ τῶν ἀποθανόντων τὰ σώματα, ἕως ἂν εἴη πρόσφατα, ἄνωθεν ἐπιπλεῖν εἴωθε. πρῶτον μὲν οὖν οὐκ ἔστιν ἐπινοῆσαι νηχόμενον ἰχθὺν ὑπεράνω μὲν ὕδατος, ὑποκάτω δὲ ἀφροῦ τοῦ ὕδατος, οὐδὲ τούτων μεταξὺ νεκρὸν ἄνδρα φερόμενον. ἀλλ' οὐδὲ τὴν φρῖκα ἀκούειν δύναμαι τὸν ἀφρὸν, Ὁμήρου μὲν μέλαιναν φρῖκα λέγοντος, τούτου δὲ ἀξιοῦντος τὸ λευκότατον ἀκούειν. ἐπί τε τοῦ Πρωτέως λέγει πάλιν Ὅμηρος "μελαίνῃ φρικὶ καλυφθείς" (Od. 4, 402)· καὶ ἀλλαχοῦ "ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται ἰχθὺς, θινὶ ἔπι φυκόεντι, μέλαν τέ ἑ κῦμ' ἐκάλυψε" (Il. 23, 692). καὶ ἀλλαχοῦ τῆς φρικὸς μνημονεύσας ἐπάγει "μελάνει δέ τε πόντος ὑπ' αὐτῆς" (Il. 7, 64). καὶ ἔστιν ἡ φρὶξ κινουμένου τοῦ πνεύματος ἀρχή. Σιμωνίδης δὲ αὐτὴν καὶ δεῖξαι πειρώμενος οὕτως ἔφη "ἐς ἅλα στίζουσα πνοιά." τὸ δὲ λέγειν ὅτι τὰ πρόσφατα σώματα φέρεται τῶν κυμάτων ἐπιπολῆς ψεῦδος. τοὐναντίον γὰρ ἐν ἀρχῇ μὲν διὰ στερρότητα καὶ πυκνότητα τοῦ σώματος ἰσχυρότερος ὢν τοῦ στηρίζοντος ὕδατος ὁ νεκρὸς διισταμένου καταδύεται, σχήματι καταβαίνων καὶ βάρει· πληρούμενος δὲ τῆς ὑγρότητος, πλείω τόπον ἐπιλαμβάνων τῷ σχήματι, μετέωρος αἴρεται, βάρει τοῦ φέροντος ἐλαττούμενος. τίς οὖν ὁ νοῦς τῶν ἐπῶν; διττὴ γὰρ ἡ γραφή· ἐν οἷς μὲν γὰρ γράφεται μέλαιναν φρῖχ' ὑπαΐξει, ἐν οἷς δὲ γράφεται μέλαιναν φρῖχ' ὑπαλύξει. κἂν μὲν κρατοίη τὸ ὑπαΐξει, φήσομεν λέγειν αὐτὸν, τῶν πηδώντων τις κατὰ τὸ κῦμα ἰχθύων ὑπὸ τὴν φρῖκα ἀΐξει, τουτέστιν ἐκ τοῦ ἄνωθεν θρώσκειν παυσάμενος ὑπὸ τὴν φρῖκα ὑποδύσεται καὶ ὁρμήσει κάτω, συγκαταφερόμενος τῷ νεκρῷ, ὃς φάγοι ἂν τὸν Λυκάονος δημόν. τοῦτο μὲν οὖν, εἰ ἐπιπολῆς τοῦ κύματος θρώσκειν ὑπακούομεν. εἰ δ' ἐκ βάθους ἀναπηδῶντα ἐπὶ τὸ κῦμα, ἔσται*

2. Φιλητᾶς Vill.] φιλίτας
13. τὸ Vill.] om.
17. μελάνει] μελανεῖ
21. γὰρ ἐν ἀ. μὲν Bekk.] ἐν ἀ. μὲν γὰρ
30. ὑποδύσεται] ὑποδύεται
31. φάγοι] φάγ'

ὡς ἐπὶ τοῦ λίθου εἴρηκεν "ὕψι τ' ἀναθρώσκων πέτεται" (Il. 13, 140), ἵνα σημαίνῃ ἐπὶ τοῦ ἰχθύος τὸ ὑψοῦ τὸ ἐκ βυθοῦ κάτωθεν κατὰ κύματος θορεῖν, μὴ μέντοι ὑπερθορεῖν τὴν φρῖκα, ἀλλ' ὑπ' αὐτὴν ὄντα ἅπτεσθαι τοῦ νεκροῦ, εἰ ἐπιπολῆς φέροιτο. εἰ δ' ὑπαλύξει γράφοιτο, φησὶ Πολύκλειτος τὸν νοῦν ἔσεσθαι· καταδύσεται μὲν εἰς τὸ βάθος τοῦ κύματος ὁ ἰχθύς, φεύγων τῆς φρικὸς τὴν ψυχρότητα. καὶ γὰρ αὐτῷ πολεμιωτάτη· τοῦ γοῦν χειμῶνος ἐκ τοῦ πελάγους εἰς τὴν γῆν καταίρουσιν οἱ ἰχθύες· πολλοὺς δὲ αὐτῶν καὶ φωλεύειν κατὰ τοῦ βάθους διὰ τὴν αὐτὴν αἰτίαν ἱστορεῖ καὶ ὁ Ἀριστοτέλης ἐν τῷ ἑβδόμῳ περὶ ζῴων φύσεως. ψυχροτάτη δ' ἡ φρίκη, καὶ μάλιστα ἂν Βόρειος ᾖ. γενόμενος δὲ ἐν τῷ βάθει ἔδεται τὸ λίπος τοῦ Λυκάονος. οὐδεὶς δέ μοι τούτων δοκεῖ ὀρθῶς ἀποδεδωκέναι τὸν νοῦν τῶν ἐπῶν. οὐ γὰρ εὐθύς φησιν Ὅμηρος αὐτὸν σφαγέντα καὶ ῥιφθέντα τοῦτο παθεῖν, ἵνα ἐκδεχώμεθα ὅτι κάτω ἐνεχθέντος ὁ ἰχθὺς κάτω χωρεῖν λέγοιτο εἰς τὰ βάθη τοῦ κύματος ἐπὶ τὴν βρῶσιν, ἀλλ' ἐξενεχθέντα ὑπὸ τοῦ Σκαμάνδρου ἐπὶ τὴν θάλασσαν, ὥστε οὐκέτι ὑποβρύχιον, ἄνωθεν δὲ αὐτὸν ἐπιπλεῖν ἀνάγκη. ἔχει γὰρ οὕτω τὰ ἔπη· "ἐνταυθοῖ νῦν κεῖσο μετ' ἰχθύσιν, οἵ σ' ὠτειλῆς αἷμ' ἀπολιχμήσονται ἀκηδέες, οὐδέ σε μήτηρ ἐνθεμένη λεχέεσσι γοήσεται, ἀλλὰ Σκάμανδρος οἴσει, δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον, θρώσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαΐξει, ἰχθὺς ὅς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν." νεοσφαγῆ μὲν οὖν ὄντα φησὶ κεῖσθαι μετ' ἰχθύσιν, ὡς ἂν κάτω ἀπενεχθέντα, ὅπου φησὶ τῆς ὠτειλῆς αὐτὸν αἷμα ἀπολιχμήσασθαι τοὺς ἰχθύας· χρονίζοντα δὲ ἄταφον ἐκβληθῆναι εἰς θάλατταν ὑπὸ τοῦ ποταμοῦ, ὅτε καὶ ἀναπλεῦσαι ἀνάγκη, καὶ θρώσκοντα οὐχ ὑπὲρ τὸ κῦμα ἰχθύν, ἀλλὰ κατὰ κῦμα (κατὰ κῦμα γὰρ ἔφη, οὐχ ὑπὲρ κῦμα) ὑπὸ τὴν φρῖκα ἀΐξαι· τὸ γὰρ μέτρον τῆς εἰς τὰ ἄνω ὁρμῆς τοῦ ἰχθύος δηλῶν ἀφορίζει, ἀλλ' ἄχρι τῆς φρικός· οὐ γὰρ ἂν ἐπέθρωσκε κατὰ κῦμα, ἀλλ' ὑπὲρ τὸ κῦμα, εἰ καὶ τὴν φρῖκα ὑπερεπήδα. ἐκφερομένου οὖν ὑπὸ τῶν ἐκβολῶν τοῦ ποταμοῦ πηδῆσαι κατὰ τὸ κῦμά φησι τὸν ἰχθύν, καὶ γενέσθαι ἄνω ὑπὸ τὴν φρῖκα, ἔνθα ἐντεύξεται τῷ νεκρῷ. οὕτως ἐξηγήσαντο καὶ οἱ Ἀριστάρχειοι, λέγοντες, ὑπὸ τὴν φρῖκα ἀΐξει τις τῶν ἰχθύων κατὰ τὸ

2. ἵνα σημαίνῃ addidit Vill.
5. Πολύκλειτος Vill.] πολύκλυτ
9. ἱστορεῖ Vill.] ἱστορεῖ γὰρ
12. οὐδεὶς Vill.] οὐδέ τις. In Harl. novi scholii initium, Πορφυρίου. οὐ δοκεῖ μοι τούτων ὀρθῶς —.

κῦμα κολυμβῶν, ὃς φάγοι ἂν τὸν Λυκάονος δημόν. πάντως γὰρ ἔδει τὸν μέλλοντα τοῦ ὑπερφερομένου νεκροῦ ἅπτεσθαι ἰχθὺν ἄνω μετέωρον ὑπὸ τὴν φρῖκα ἐλθεῖν. Φιλητᾶς δὲ τῇ ὑπαλύξει γραφῇ συντιθέμενός φησιν ὅτι ὁ φαγὼν ἰχθὺς τὸν Λυκάονος δημὸν, πιμελώδης γενόμενος, τὸ κρύος ἐκφεύξεται. ἀγνοεῖ δὲ καὶ τοῦτο ὅτι τὸ διανεστηκὸς τῆς θαλάττης ἐπιπολῆς, οὐ τὸ κρύος φησὶν Ὅμηρος φρῖκα· "ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέου ἀναπάλλεται ἰχθύς" (Il. 23, 692), τῆς ἐπιτρεχούσης κατὰ τὴν θάλατταν πρὸ τῆς τοῦ ἀνέμου ἐμβολῆς· καὶ ἐπὶ τοῦ συὸς κατὰ μεταφορὰν "φρίξας εὖ λοφιήν" (Od. 19, 446)· καὶ "ἔφριξε δὲ μάχη φθισίμβροτος ἐγχείῃσιν" (Il. 13, 339).

131. δηθά] ἐκ πολλοῦ δηλονότι χρόνου.

135. νόσφιν ἐμεῖο] λείπει τὸ ὄντος.

136. χολώσατο κηρόθι μᾶλλον] ῥιφέντος Λυκάονος ἦρκται τοῦ θυμοῦ· νῦν δὲ μᾶλλον διὰ τὸ κακῶς ἀκοῦσαι.

140. Ἀστεροπαίῳ] πῶς πρὸ ε´ ἡμερῶν τὸν κατάλογον ποιησάμενος Ἀστεροπαῖον παρέλιπε, λέγοντα ῥητῶς πρὸ ια´ ἡμερῶν ἐληλυθέναι; οὐ θαυμαστὸν οὖν τὸ παραλιπεῖν αὐτὸν ἐν τῷ καταλόγῳ· μόνων γὰρ ἐμνήσθη τῶν τὴν κυρίαν ἡγεμονίαν ἐχόντων. ἐν δὲ τοῖς κατὰ μέρος καὶ τοὺς μετ' ἐκείνους τεταγμένους παρέλαβεν, ὡς ἐπὶ Ἀθηναίων· ἐν μὲν γὰρ τῷ καταλόγῳ Μενεσθέα φησὶν εἶναι τὸν ἡγεμόνα, ἐν δὲ τῇ ἐπὶ ναυσὶ μάχῃ "Φείδας τε Στιχίος τε Βίας τ' ἐΰς" (Il. 13, 691). οὕτως οὖν ἔσται καὶ ἐπὶ Ἀστεροπαίου. ὁ μὲν γὰρ Πυραίχμης τὴν πρώτην τῶν Παιόνων ἡγεμονίαν εἶχε, τὴν δὲ δευτέραν Ἀστεροπαῖος, νυνὶ δὲ τὴν πᾶσαν αὐτῷ ἡγεμονίαν ἀνατίθησι διὰ τὸ τὸν Πυραίχμην ὑπὸ Πατρόκλου ἀνῃρῆσθαι.

141. υἱέϊ Πηλεγόνος] τίς χρεία τοῦ πατρὸς, μέλλοντος αὐτοῦ γενεαλογεῖν αὐτόν; ἀλλ' ὁ μὲν ὡς μὴ γνώριμος Ἀχιλλεῖ (τῶν γὰρ ἐπηλύδων ἦν) ἐδίδαξεν αὐτὸν τὸ γένος· ὁ δὲ ποιητὴς, ἵνα μὴ ἐκεῖνος τῷ οἰκείῳ ἐπιμένοι καταλόγῳ, ἐνταῦθα συνέτεμε καὶ τὴν μητέρα ἐδίδαξεν.

145. μένος δέ οἱ ἐν φρεσὶ θῆκε] ψυχικὴ γὰρ ἀρετή ἐστιν ἡ εὐθαρσία. πιθανῶς δὲ αὐτὸν υἱὸν ποιεῖ ποταμοῦ, ἵνα πλέον ἐρεθίσῃ τὸν ποταμόν.

147. οὐδ' ἐλέαιρεν] Πῖος ψυχρόν φησι τὸ ἐπίθετον, εἴτε ἐπὶ τῶν

35. Πῖος] Πίος hic et alibi B.

Τρώων· πῶς γὰρ ἄξιον ἐγκαλεῖν Ἀχιλλεῖ ὅτι τοὺς πολεμίους οὐκ ἐλεεῖ; εἴτε ἐπὶ τοῦ ποταμοῦ, ὅτι αὐτὸν οὐκ ἠλέει, οὐχ ἁρμόζον ἐπὶ θεοῦ.

150. τίς πόθεν εἶς ἀνδρῶν] πιθανὴ ἡ εἰσβολὴ ἐκ τοῦ καιροῦ, ὅτι τῶν ἄλλων φευγόντων οὗτος μόνος ἀντέστη.

155. δολιχεγχέας] καὶ πῶς ἐν τῷ καταλόγῳ (Il. 2, 848) ἀγκυλοτόξους αὐτούς φησιν; ἴσως οὖν διττὸν ἦν τὸ γένος, τὸ μὲν τοξεῦον, τὸ δὲ ἀκοντίζον. ἢ καὶ ἐπαμφοτερίζουσιν, ὡς καὶ Τεῦκρος. παροξύνεται δὲ τὸ δολιχεγχέας ὡς εὐειδέας.

158. *δύναται καὶ τὸ γαῖαν μὴ τὴν γῆν λέγειν, ἀλλ' ὄνομα κρήνης. φέρει δὲ τὸ ἔπος καὶ Εὔδοξος δίχα τοῦ ν̄· "Ἀξιοῦ κάλλιστον ὕδωρ ἐπικίδναται Αἶα·" πολλῶν γὰρ ποταμῶν ἐμβαλλόντων εἰς τὸν Ἀξιὸν θολερῶν, Αἶα ἡ κρήνη διαυγέστατον ἀνίησιν ὕδωρ.

162. *ἁμαρτῇ δούρασιν ἀμφίς] ἅμα ἀφῆκε δύο δόρατα.

ἀμφίς] δίχα· "τὼ δ' ἀμφὶς φρονέοντε" (Il. 13, 345). "ζυγὸν ἐΰξοον ἀμφὶς ἐέργει" (ib. 706) ἀντὶ τοῦ εἰς ἑκάτερα διείργει· δηλοῖ οὖν τὸ ἐξ ἑκατέρου μέρους· περιδέξιος γὰρ ἦν. ἀμφίβολον δὲ πότερον ἁμαρτῇ ἀνέσχεν ἢ ἁμαρτῇ ἀφῆκε. τάχα οὖν ἀνέσχεν, οὐκ ἀφῆκεν. τὴν δὲ ἀσπίδα ἀπέβαλεν ὡς δύσχρηστον ἐν ὕδασι. δύναται δὲ καὶ πελτάριον ἔχειν ὡς οἱ τοξόται.

163. περιδέξιος] τινὲς ἀντὶ τοῦ ὑπερδέξιος, ὡς τὸ "περίεσσι γυναικῶν" (Od. 18, 247). οἱ δὲ μεγαλοδέξιος· τινὲς δὲ ἀμφιδέξιος.

165. χρυσὸς γὰρ ἐρύκακε] οὐκοῦν ἐπιπόλαιος ἦν ὁ χρυσός. εἰ δέ φησιν ὅτι μέχρι τινὸς ἔρρηξεν, μέσος ἦν ὁ χρυσὸς, ὡς Πορφύριος. δύναται δὲ καὶ οὕτως εἶναι πρῶτος.

166. *ἐπιγράβδην] ἐπιξεστικῶς, ἄχρι μόνου τοῦ δέρματος.

167. οὐδέποτε Ἀχιλλεὺς τιτρώσκεται ἢ ὑπὸ μόνου τούτου.

169. ἡ μεταφορὰ ἀπὸ τοῦ "ἰθὺ βέλος πέτεται." ἀπὸ δὲ τοῦ φοροῦντος τὸ πλεονέκτημα ἐπὶ τὸ φορούμενον μετήγαγεν. ἔστιν οὖν κατ' εὐθὺ πετομένην.

172. μεσσοπαλές] μέχρι τοῦ μέσου παλλόμενον· οὕτω γὰρ τὸ μετὰ βίας ἐκπεμφθὲν σημαίνει, ὅτι μέχρι τοῦ μέσου καταπεπηγὸς τὸ δόρυ περὶ τὸν οὐρίαχον ἐπάλλετο. δηλοῖ δὲ καὶ τὸ ὑποκείμενον ἔδαφος τελματῶδες ὄν.

11. Ἀξιοῦ—Ἀξιὸν] ἀξίου—ἄξιον

179. σχεδόν] λείπει τὸ ἐλθών.

181. χολάδες] τὰ ἔντερα, ἀπὸ τῆς κοιλότητος ἢ τοῦ κεχαλάσθαι. οἱ δὲ ὅτι τὰ ἔντερα τὴν ξανθὴν ἔχει χολήν· τῆς γὰρ χολῆς ἡ μὲν ξανθὴ, ὅθεν ἴκτερος, ἡ δὲ μέλαινα, ἀφ' ἧς αἱ μελαγχολίαι.

185. παισίν] ἀντὶ τοῦ ἐκγόνοις· περιττεύει δὲ ὁ περ.

186. προπερισπαστέον τὸ φῆσθα· παρατατικοῦ γάρ ἐστιν. ὁ δὲ Τυραννίων βαρύνει ὡς ἐνεστῶτος.

190. ἁλιμοιρηέντων] κυρίως μύρεσθαι τὸ ἐπὶ μόρῳ τινὸς θρηνεῖν, ὅπερ καὶ ἐνταῦθα Ἀρίσταρχος οὐ καλῶς ὑπενόησε, διὰ ψιλοῦ γράφων τοῦ ῡ· δηλοῖ γὰρ τοὺς τὴν ἰδίαν μοῖραν εἰσβάλλοντας ἐν ἁλί.

192. μέγας, φησὶν, ἐστὶν ὁ ποταμὸς, εἴ γε δύναται καὶ χραισμεῖν, ἵνα μὴ στίζωμεν εἰς τὸ μέγας. εἰ δὲ ᾖ στιγμὴ εἰς τὸ μέγας, λέγει ὅτι εἰ δύναται χραισμεῖν, χραισμείτω.

194. Ἀχελώϊος] τῶν ἄλλων πάντων ποταμῶν μείζονα εἶναι λέγουσιν Ἀχελῷον· ὅθεν καὶ κρείοντα αὐτὸν πρὸς τοὺς ἄλλους λέγει. ῥεῖ δὲ δι' Ἀκαρνανίας καὶ Δωδώνης.

*ἐναντίον δὲ δοκεῖ τὸ ἅμα μὲν φάναι "Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς," ἅμα δὲ ἐπὶ τοῦ Ὠκεανοῦ φάναι, "ἐξ οὗπερ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα." λύεται δὲ ἐκ τῆς λέξεως καθ' ἕτερον· καὶ γὰρ τὸ πάντες δύναται λέγειν ἀντὶ τοῦ πλείους, καὶ ποταμὸς ὁμωνύμως λέγεται ὅ τε θεὸς καὶ τὸ ῥεῖμα, ὥστε τὸν μὲν θεὸν ἐκ Διὸς εἶναι, τὸ δὲ ῥεῦμα ἐξ Ὠκεανοῦ· Ζεὺς γὰρ πατὴρ ἀνδρῶν τε θεῶν τε.

*Ἡρακλῆς εἰς Ἅιδου κατελθὼν ἐπὶ Κέρβερον συνέτυχε Μελεάγρῳ τῷ Οἰνέως, οὗ καὶ δεηθέντος γῆμαι τὴν ἀδελφὴν Δηϊάνειραν ἐπανελθὼν εἰς φῶς ἔσπευσεν εἰς Αἰτωλίαν πρὸς Οἰνέα. καταλαβὼν δὲ μνηστευόμενον τὴν κόρην Ἀχελῷον τὸν πλησίον ποταμὸν, διεπάλαισεν αὐτῷ ταύρου μορφὴν ἔχοντι· οὗ καὶ ἀποσπάσας τὸ ἕτερον τῶν κεράτων ἔλαβε τὴν παρθένον. φασὶ δὲ αὐτὸν Ἀχελῷον παρὰ Ἀμαλθείας τῆς Ὠκεανοῦ κέρας λαβόντα δοῦναι τῷ Ἡρακλεῖ καὶ τὸ ἴδιον ἀπολαβεῖν. δοκεῖ δὲ τῶν ἐν τῇ Ἑλλάδι ποταμῶν μέγιστος εἶναι ὁ Ἀχελῷος· διὸ καὶ πᾶν ὕδωρ τῇ τούτου προσηγορίᾳ καλεῖται. ἱστορεῖ Πίνδαρος.

196. πᾶσα θάλασσα] δηλονότι ὅλη· ἢ ἐπεὶ πολλὰ πελάγη εἰσὶν,

25. * οὗ καὶ δεηθέντος] om. 26. * εἰς] δὲ εἰς
30. * Ἀμαλθείας] ἀμαλθίας

Ἀτλαντικὸν, Λιγυστικὸν, Τυρρηνικὸν, Λιβυκὸν, Μυρτῷον, Αἰγύπτιον, Παμφύλιον, Ἰκάριον, Αἰγαῖον, Ἑλλήσποντος, μέλας κόλπος, Εὔξεινος πόντος, Κασπία, ἐρυθρά.

197. μακρά] βαθέα, ὡς τὸ ἐναντίον "ἠϊόνος προπάροιθε βαθείης" (Il. 2, 92) ἀντὶ τοῦ τῆς μακρᾶς. νάουσι δὲ τὸ βλυστάνουσιν.

203. ἐγχέλυες] χωρίζει αὐτὰς τῶν ἰχθύων, ἐπεὶ οὔτε ἐξ ὀχείας γίνονται οὔτε σπερματικοὺς οὔθ' ὑστερικοὺς ἔχουσι πόρους· οὐκ εἰς θῆλυ καὶ ἄρρεν διακρίνονται, ἀλλ' ἐκ τῶν καλουμένων γῆς ἐντέρων αὐτόματα συνίστανται ἐν τῷ πηλῷ. ζῶσι δὲ ὄμβρῳ καὶ ὕδατι. φασὶ δὲ καὶ ἀλληλοφάγους αὐτὰς εἶναι, καὶ ζῆν ἑπτὰ ἢ ὀκτὼ ἔτη. φησὶ δὲ ὡς καὶ οἱ ἐν βάθει ἰχθύες ἀνέβρασσον ἐσθίοντες αὐτόν· ἢ ὅτι μάλιστα τῶν ἄλλων ἰχθύων σαρκοφαγεῖ.

204. συναπτέον δὲ ὅλον τὸν στίχον· τὸ γὰρ ἑξῆς ἐστὶ δημὸν ἐπινεφρίδιον. τὸ δὲ ἐρεπτόμενοι καὶ κείροντες δισσολογεῖται. κείροντες δὲ ἤτοι ἀπλήστως ἐσθίοντες· ὅθεν καὶ κόρος.

ἐπινεφρίδιον] περὶ γὰρ τοὺς νεφροὺς πολλή ἐστιν ἡ πιμελή. εἴρηνται δὲ νεφροὶ, ἀφ' ὧν νείφεται τὰ οὖρα. ἐρέπτεσθαι δὲ κυρίως τὸ ἀπὸ τῆς ἔρας τῇ γλώσσῃ ἐπαίρειν.

214. αἴσυλα] τὰ τῆς αἴσης ἐστερημένα, ὅ ἐστι τοῦ δικαίου καὶ τῆς ἰσότητος. οὐκ ἀναστρεπτέον δὲ τὴν περί· ἔστι γὰρ ἀντὶ τοῦ περισσῶς.

218. ἐρατεινὰ ῥέεθρα] καλῶς τὸ ἐπίθετον, εἰς ἔνδειξιν τοῦ ὅτι τὰ τοιαῦτα ῥεύματα μεμίανται.

219. δῖαν] μεγάλην, ἀπὸ μεταφορᾶς τοῦ Διός.

221. ἔασον] πληρώθητι, κορέσθητι, παρὰ τὸ ἆσαι. ἢ ἔασον τοῦ μιαίνειν τῷ φόνῳ τὰ ῥεύματα.

223. ἔσται ταῦτα Σκάμανδρε] ὑποχωρῆσαι τοῦ ῥείθρου καὶ πάλιν ἑξῆς ἐπεισβαίνει τῷ ῥείθρῳ. ὅθεν αὐτῷ ἐπεξέρχεται ὁ ποταμός.

229. οὐ σύ γε βουλάς] διὰ τὸ "ἀμφοτέροισι δ' ἀρήγεθ' ὅπῃ νόος ἐστὶν ἑκάστου" (Il. 20, 25). καὶ πρὸς τὸ "εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖται" (ib. 26). ὑπομιμνήσκει οὖν ὅτι δεῖ κωλύειν ἀριστεύοντα οὕτως τὸν Ἀχιλλέα, ἐξουσίαν ἅπαξ δόντος τοῦ Διός.

232. δείελος ὀψὲ δύων] τὴν τοῦ ἡλίου δύσιν, ὀψίαν δείλην ὑπὸ

2. * Ἰκάριον] ἰκάρειον 3. * πόντος] om. Κασπία, ἐρυθρά] Sic etiam Ven. A (nisi quod καὶ ἐρυθρά). Κάσπιος καὶ ἐρυθρός Vill. 14. δισσολογεῖται] * διλογεῖται

Ἀττικῶν ὠνομασμένην, οὗτος δείελον ἔφη ἀρσενικῶς. εἴρηται δὲ ὅτι τινὲς τότε δειλότεροι διὰ τὸ σκότος γίνονται.

234. ἐδεινοποίησε τὸν λόγον τοῖς ὀνόμασιν· τὸ μὲν γὰρ ἐπέσσυτο σφοδρὰν τὴν ὁρμὴν παρίστησι, τὸ δὲ οἶδμα ἀπὸ τῆς θαλάσσης μετήνεγκε, τὸ δὲ θύων τὴν ἐμμανῆ δηλοῖ ὁρμήν. ἡ μεταφορὰ δὲ τοῦ κυκωμένου ταραττόμενον ὅλον τὸν ποταμὸν παρίστησιν.

237. *ἐντεῦθεν ὁρμηθέντες τὸν Ἀχελῷον ἐταύρωσαν Ἡρακλεῖ ἀγωνιζόμενον. Ἀρχίλοχος μὲν οὐκ ἐτόλμησεν Ἀχελῷον ὡς ποταμὸν Ἡρακλεῖ συμβαλεῖν, ἀλλ᾽ ὡς ταῦρον· Ὅμηρος δὲ πρῶτος ποταμοῦ καὶ ἥρωος ἠγωνοθέτησε μάχην. ἑκάτερος οὖν τὴν αὐτὴν ὑπόθεσιν ἐμέτρησε τῇ δυνάμει, καὶ οὐκ ηὐλαβήθη Ὅμηρος μὴ ἀπολειφθῇ, πάσης ὕλης ὑψηλοτέραν ἔχων φύσιν. ἔστι δὲ αὐτῷ ὁ Ἀχιλλεὺς προοίμιον πυρὸς καὶ ὕδατος μάχης, ἀντιπάλων στοιχείων.

*ἠΰτε ταῦρος] ἐντεῦθεν κινηθέντες οἱ μεθ᾽ Ὅμηρον ποιηταὶ ταυρομόρφους λέγουσιν εἶναι τοὺς ποταμούς.

238. στικτέον εἰς τὸ χέρσονδε, ἵνα μὴ ὁ νοῦς ἐμποδίζοιτο.

242. *Ἑλλάνικος ἐν δευτέρῳ Τρωϊκῶν "ὑπὸ δὲ τοῦτον τὸν χρόνον ἐν τῇ Ἴδῃ" φησὶν "ὁ θεὸς ὗε, ὅθεν ὁ Σκάμανδρος τὸ ῥεῖθρον ὑπερβαλὼν ὑπὸ τοῦ ὀμβρίου ὕδατος τὸ ἔχον κοῖλα χωρία ἐπῆλθεν. τῷ ῥοὶ τούτῳ ὁ Ἀχιλλεὺς ἡγούμενος τοῦ στρατοῦ πρῶτος ἐνέτυχε, καὶ δείσας τὸν ῥοῦν, μή τί μιν πημήνῃ, ἐν πεδίῳ πτελέας πεφυκυίας λαβόμενος ἐμετεώρισεν ἑαυτόν· οἱ δ᾽ ἄλλοι προϊδόμενοι τὸν ῥοῦν ἐτράποντο ὅπου ἐδύναντο ἕκαστος, ἄλλος ἄλλῃ, καὶ ἐπὶ τὰ τῶν ὀρῶν ὑπερέχοντα τοῦ πεδίου ἀνέβαινε." Σερούϊος δὲ ἐν τρίτῳ τῶν Τρωϊκῶν "πλῆθος δὴ νεκρῶν ἐσωρεύθη κατὰ τὸν ῥοῦν· εἶτα ἀνακοπτομένου τοῦ ῥεύματος διὰ τὸ ἀποπεφράχθαι τὸν πόρον ἐλιμνάζετο ὁ ποταμός."

243. οὐ παρέλκει τὸ ἐκ ῥιζῶν· βαθύρριζον γὰρ τὸ δένδρον. ὅθεν καὶ ὅλῳ συγκατηνέχθη τῷ κρημνῷ.

244. κρημνὸν ἅπαντα διῶσεν] τὴν συνεχομένην ὑπὸ τῶν ῥιζῶν πᾶσαν γῆν διέλυσε. προπερισπωμένως δὲ τὸ διῶσεν.

247. ἤϊξε] εἰ τοὺς πολεμίους διώκων ὠκύτατος ἦν, χρὴ ἐννοεῖν περὶ τῆς ἰδίας σωτηρίας δεδοικὼς ὁποῖος ἦν.

249. ἐπὶ μὲν τῶν τῆς θαλάσσης κυμάτων λέγει "κυρτὰ φαληριόωντα" (Il. 13, 799)· ἀκριβέστατα δὲ ἐπὶ τῶν ποταμῶν παρε-

7. ἐταύρωσαν Bekkerus] ἐσταύρωσαν

18. ὁ θεὸς ὗε] om. ὅθεν] ὅθεν γὰρ

φύλαξε· κυμαινομένων γὰρ αὐτῶν μέλαινα ἡ ἐπιφάνεια ὁρᾶται. τῇ δὲ παραγωγῇ καὶ συνθέσει τῶν λέξεων ἔδειξεν ἐπαιρόμενον κῦμα καὶ μελαινόμενον.

252. Ἀριστοτέλης μελανόστου ἀναγινώσκει, τοῦ μέλανα ὀστᾶ ἔχοντος· ἀγνοεῖ δὲ ὡς οὐ δεῖ ἀπὸ τῶν ἀφανῶν ποιεῖσθαι τὰ ἐπίθετα. οἱ δὲ μελανόσσου, μέλανας ὀφθαλμοὺς ἔχοντος. Ἀρίσταρχος μέλανός του· ἀγνοεῖ δὲ ὅτι ὁ ποιητὴς τῷ ἐγκλιτικῷ του οὐ χρῆται. ἄμεινον οὖν ἄρθρον αὐτὸ ἐκδέχεσθαι· οὐ γὰρ ἀεὶ λείπει τοῖς ἄρθροις ὁ ποιητής.

257. ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγός] ἀπὸ τοῦ ἁδροῦ ἐπὶ τὸ ἰσχνὸν ἔρχεται καὶ ἀνθηρόν. ἡ δὲ παραβολὴ πρὸς τὴν ταχεῖαν ἐπιφορὰν καὶ τὴν παραλλαγὴν τοῦ ὕδατος. κόσμου δὲ ἕνεκα παρεδιηγήσατο τὰ λοιπά. παραφυλάττει δὲ τὴν ἐπεξεργασίαν· ἀπὸ κρήνης μὲν τὴν φορὰν τοῦ ὕδατος πρὸς τὸ δαψιλὲς τῆς ἐπιρρύσεως, ἐν κατάντει δὲ χωρίῳ πρὸς τὸ συνεχὲς καὶ ταχὺ τοῦ ῥεύματος. ὀχετηγὸς δὲ ὁ ὑδραγωγός· ὀχετοὶ γὰρ αἱ ἐπιρρύσεις.

259. μάκελλαν] μάκελλα ἡ σκαλὶς ἡ μακέλλουσα καὶ κινοῦσα· δίκελλα γὰρ ἡ διχόθεν κέλλουσα. ἀμάρη δὲ ἡ ὑδρορόη, παρὰ τὸ τῇ ἅμῃ ῥεῖν, ἢ παρὰ τὸ τὰ μὴ παραπεφυκότα αὐτῇ μαραίνεσθαι.

ἐξ ἔχματα βάλλων] τὰ κωλύματα τῆς διώρυχος ἐκβάλλων.

260, 261. ἡ ὑπό πρὸς τὸ ὀχλεῦνται, ἵν' ᾖ ὑποκινοῦνται.

261. κελαρύζει] μετὰ κελάδου ῥεῖ, ἢ κατὰ ἀντίθεσιν λακερύζει.

262. προαλεῖ] κατάντει, καθ' ὃν τὸ ὕδωρ ἔρχεται ἅλις.

264. λαιψηρόν] λίαν ταχύν.

265. ὁρμήσειε] τινὲς ἀντὶ τοῦ διανοήσειε. γράφεται δὲ καὶ οἰμήσειε. προκρίνει δὲ Ἀρίσταρχος τὴν διὰ τοῦ ρ̄ γραφήν.

266. εἴ μιν ἅπαντες] ἀντὶ τοῦ εἰ μηδένα ἔχει βοηθόν, ἀλλὰ πάντας ἐπιβούλους· ἢ εἰ ἄρα δύναταί τισι τῶν θεῶν καὶ εἰς μάχην ἐλθεῖν.

269. ὅλον τὸ πεδίον πέλαγος γεγενημένον ὑπὸ τοῦ ποταμοῦ ἔδειξεν, ὥστε καὶ τοὺς ὤμους ἐπικλύζειν τοῦ Ἀχιλλέως. καὶ πρὸς μὲν ἀλήθειαν ταῦτα οὐ πιθανά· τί γὰρ ἐπράττετο περὶ τοὺς ἄλλους στρατιώτας; ἀπίθανον γὰρ μόνον τὸν Ἀχιλλέα ὑπὸ τοῦ ποταμοῦ ταῦτα πάσχειν. πρὸς δὲ τὴν ποίησιν καὶ λίαν παράδεκτα. πλάζειν

4. Ἀριστοτέλης] Ἀρίσταρχος Rosius in Aristot. pseudepigr. p. 167.
7. μελανός του] μελανόστου

δὲ τὸ στροφοδινεῖν καὶ οἱονεὶ σκοτίζειν, καὶ πλασμὸς ἡ ἐξ ἀμφοῖν τῶν μερῶν ἐπεισβολὴ τοῦ κύματος. ἐπήδα δὲ ὁ Ἀχιλλεὺς, ἵνα μὴ τὸ κῦμα ποσῶς αὐτὸν ὑφ' ἑαυτὸ σχῇ.

271. ὑπέρεπτε] ὑπήσθιεν, ὑπέσπα. ἐμφαντικῶς δὲ τὴν κατὰ μικρὸν ὑπονοστοῦσαν γῆν ἔδειξεν, ὅπως ἀκρατὴς εἴη τῆς βάσεως ὁ ἥρως.

* ὑπέρεπτε] ὑπέσυρεν.

273. ἐμὲ τὸν ἐλεεινόν. ἢ λείπει τὸ ὄντα. τὸν ἀκλεῆ δὲ θάνατον ὀδύρεται. καὶ Λεωνίδας τὴν χεῖρα βληθεὶς ἀποθνήσκων ὠδύρετο ὅτι μὴ ἔχων τὴν χεῖρα τελευτᾷ.

276. ψεύδεσσιν] προπαροξυτόνως ὡς βέλεσιν ἀπὸ τοῦ ψεῦδος, οὐ γὰρ ἐπίκειταί τινι ἐπιθετικῶς.

ἔθελγεν] μεγαλοφυῶς ἐπὶ τῇ τοῦ τοιούτου θανάτου ἐλπίδι θέλγεσθαί φησιν, ὥσπερ ἡδέσι λόγοις πιστεύσας. λυπεῖ οὖν αὐτὸν οὐχ ἡ τελευτὴ, ἀλλ' ὁ τρόπος.

278. λαιψηροῖς] τοῖς αἰφνίδιον ἀποκτείνουσιν.

279. ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι] ὅρα τὸ μεγαλοφυές· οὐ γὰρ μόνον τὸν ἐν πολέμῳ θάνατον αἱρεῖται, ἀλλὰ καὶ ὑπὸ τοῦ ἀρίστου ἀναιρεθῆναι. ἔοικεν οὖν καὶ ἡ Θέτις δικαίως ἀποκρύψασθαι τὴν ἀλήθειαν καὶ τὸν Ἀπόλλω ἀντὶ Ἀλεξάνδρου παραλαβεῖν.

τέτραφ'] ἀντὶ τοῦ ἐτράφη· τὰ γὰρ ἐνεργητικὰ τούτου τοῦ ῥήματος ἀντὶ παθητικῶν τάσσει.

280. ἀγαθὸν δέ κεν ἐξενάριξεν] οὐχ ὅτι καὶ νῦν οὐκ ἔστιν ἀγαθὸς ὁ Ἀχιλλεὺς, κἂν ὑπὸ τοῦ ποταμοῦ φθαρείη, ἀλλὰ τοιοῦτόν ἐστιν ὃ λέγει, ἀγαθὸν ὄντα καὶ πράττοντά τι γενναῖον.

282. ἐρχθέντ'] ψιλωτέον δέ. ἔστι γὰρ παρὰ τὸ εἴργω. Ἀττικοὶ δὲ δασύνουσιν.

ὡς παῖδα συφορβόν] πρὸς τὸ ἀγεννὲς καὶ εὐτελὲς τοῦ θανάτου καὶ διὰ τῆς ἡλικίας καὶ διὰ τοῦ ἐπιτηδεύματος ταπεινοῖ τὸ πρόσωπον· καὶ παιδὶ συφορβῷ ἑαυτὸν εἰκάζει ὁ λέγων "ἐγὼ καλός τε μέγας τε" (108).

283. ἔναυλος] χειμάρρους διὰ στενοῦ τόπου καὶ περιμήκους ποιούμενος τὴν ῥύσιν.

ἀποέρσῃ] παρὰ τὴν ἔρσαν. κυρίως τὸ ἐν ὕδατι ἀπολέσθαι.

284. μάλ' ὦκα] ἔδει γὰρ πολλοῦ τάχους εἰς τὸ ἀνακτήσασθαι τὸν οὕτως ἠθυμηκότα. δύο δὲ θεοὶ πάρεισιν, καὶ οὐ μόνον διαλέγονται, ἀλλὰ καὶ πιστοῦσιν ἑαυτούς.

286. χειρὶ δὲ χεῖρα λαβόντες] τῆς δεξιᾶς πίστιν ἐποίησαν· ἔθει γὰρ ἀρχαιοτέρῳ οὕτως εἰς βεβαίωσιν ἀληθῆ ἐπιστοῦντο ἀλλήλοις.

288. τρέε] ὑποχώρει καὶ φεῦγε. ἱκαναὶ δὲ αἱ προσθῆκαι ὑπὲρ τοῦ θαρσῆσαι Ἀχιλλέα, ὅτι τε θεοί εἰσιν οἱ συμμαχοῦντες, καὶ ὁ Ζεὺς ἐπένευσε, καὶ τὸ μοιρίδιον οὕτως ἐλήλυθε. πρὸς δὲ τοὺς ζητοῦντας πῶς διαλέγονται μὲν αὐτῷ οἱ θεοί, οὐκ ἐπιβοηθοῦσι δέ, ῥητέον ὅτι ἕτερος ἦν ὁ τῷ Σκαμάνδρῳ ἀντιτεταγμένος.

293. αἴ κε πίθηαι] οὐ πάνυ οἰκεῖόν φησιν αὐτὸ ὁ Πῖος· διὰ τί γὰρ ἔμελλε μὴ πεισθήσεσθαι καὶ θεοῖς καὶ τὰ κεχαρισμένα συμβουλεύουσι; τάχα οὖν πρὸς τὰ ἑξῆς ἐστί "σὺ δ' Ἕκτορι θυμὸν ἀπούρας ἂψ ἐπὶ νῆας ἴμεν." ὁρῶσι γὰρ αὐτὸν ἐπιτεταμένως ἔχοντα πρὸς τὸν φόνον τῶν πολεμίων καὶ δυσκόλως ἀφεξόμενον τῆς σφαγῆς, κἂν Ἕκτορος κρατήσῃ.

294. μὴ πρίν] ἀπὸ ἄλλης ἀρχῆς ἀναγνωστέον· τὸ γὰρ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ ἐστιν.

296. στικτέον εἰς τὸ φύγῃσι· τὸ δὲ ἑξῆς ἀπὸ ἄλλης ἀρχῆς, τοῦ ἀπαρεμφάτου ἀντὶ προστακτικοῦ κειμένου.

299. τὸ ἑξῆς αὐτὰρ ὁ βῆ ἐς πεδίον· τὰ δὲ ἄλλα διὰ μέσου κεῖται. ὑπεκκαύματα δὲ δέδωκε τῇ ἀπαγγελίᾳ, τὸν μὲν ὑπὸ θεῶν ῥώσας, τὸν δὲ Σκάμανδρον μᾶλλον κατ' αὐτοῦ προσεταιριζόμενον καὶ προσεπιτιθέμενον εἰπών.

301. δαῒ κταμένων] ἄμεινον οὖν κατὰ διάστασιν ἀναγινώσκειν τὸ δαῒ κταμένων, ὡς τὸ Ἄρηϊ κταμένων.

302. καὶ νέκυες] ἀλλὰ τριταῖοι πλέουσιν. τάχα οὖν ἡ τῶν ῥευμάτων σφοδρότης αὐτοὺς ἀνῆκεν.

303. ἀΐσσοντος ἀν' ἰθύν] ἀνὰ τὴν ἀναφορὰν τοῦ ὕδατος ὁρμῶντος.

306. κόρυσσε] ἐμετεώριζεν ἢ ὥπλιζε κατὰ Ἀχιλλέως.

308. φίλε κασίγνητε] καὶ ἀδελφὸν κατὰ ἀνθρώπου παρακαλεῖ καὶ ὑπὲρ φίλης πόλεως.

310. Τρῶες δέ] οἱ Τρῶες, φησίν, οὐ μενοῦσιν Ἀχιλλέα κατὰ τὴν μάχην· χρεία οὖν ὀξυλαβείας πρὸς τὸ σῶσαι αὐτήν.

312. ἐναύλους] τοὺς χειμάρρους, τὰς στενὰς διώρυχας.

316. οὔτε βίην] δαιμονίως κατείλοχε πάντα οἷς ἐπηρμένος Ἀχιλλεὺς ὑπερηφάνως διέκειτο, ὑπὸ ἀνδρείας, ὑπὸ κάλλους, ὑπὸ τῆς πανοπλίας.

6. αὐτῷ οἱ θεοὶ addidit Bekk. 33. κατείλοχε Bekk.] κατείληχε

317. νειόθι λίμνης] πρὸς τὸ κατώτατον τῆς θαλάσσης μέρος.

319. χέραδος] τὸ πλῆθος τῶν ποταμίων ἢ θαλασσίων ψηφίδων, ἢ τῶν εἰς χερμαδίας ἐπιτηδείων λίθων, ἢ πᾶσαν ἀκαθαρσίαν συρρέουσαν ἐκ τῶν ὑδάτων.

* οὐκ ὀλίγον οὖν πλῆθος τῶν ποταμίων λίθων ἐπισωρεύσας χώσω.

320. ἐπιστήσονται] δυνήσονται· "ἐπίστατο πῆλαι Ἀχιλλεύς" (Il. 16, 142).

321. ἄσιν] τὸν ἐν ὕδασι συρφετὸν καὶ ξηρὸν, ἀπὸ τῆς ἄζης. οἱ δὲ τὴν ἐκ τοῦ ποταμοῦ δεῖσαν· ὅθεν καὶ Ἄσιον τὸν λειμῶνα ἤκουσαν.

* καὶ ἀσιογεῖαι αἱ αἱμασιαί.

323. τυμβοχοῆσ'] τὸ πλῆρες τυμβοχοῆσαί ἐστι· χυτοὺς γὰρ τοὺς τάφους. διὸ περισπαστέον τὸ ῆ. οὕτως καὶ Ἀρίσταρχος οὐκ ἔσται, φησὶν, αὐτῷ χρεία χώσεως τάφου.

325. μορμύρων] ἀναβράσσων, ἢ θηριούμενος, παρὰ τὴν μορμώ. ἔστι δὲ ἀπαραμίλλητα ταῦτα τοῦ Ὁμήρου· οὐ γὰρ μόνον τῇ μεγαληγορίᾳ τῶν ὀνομάτων, ἀλλὰ καὶ τῇ ἐννοίᾳ κατώρθωται· ἔστι δὲ ἰδεῖν κῦμα μετέωρον αἵματι καὶ ἀφρῷ μεμιγμένον, καὶ τούτῳ ἐπιπλέοντα σώματα.

327. κατὰ δ' ᾕρεε] κατέβαλλε καὶ κατεπόνει, ἀπὸ τοῦ αἱρῶ τὸ καταβάλλω. καὶ δασύνεται.

331. προπαροξυτόνως τὸ κυλλοπόδιον· εἰς δὲ τὸ τέκος ἡ στιγμή. διδασκαλία δέ ἐστι στρατηγικῶν πραγμάτων· εὐμήχανον γὰρ εἶναι δεῖ, καὶ συνορᾶν ταχέως δύνασθαι τίνα καὶ ποῖα τίσι καὶ οἵοις μάχεται, καὶ τίνων ἀφεκτέον, καὶ τίσι πολεμητέον.

332. ἠΐσκομεν] εἰκότως νομίζομεν ὅτι ἐναντίον ἐστὶ τὸ ὕδωρ τῷ πυρί.

333. πιφαύσκεο] ἐνδείκνυε, ἐξύφαπτε.

334. Ζεφύροιο] Ζέφυρος παρὰ τὸν ζόφον· καὶ ἡ ἀπὸ δύσεως πνοὴ ζοφόπνοια καλεῖται. ἀργεστὴς δὲ ὁ Νότος, ὅτι λευκαίνει τὰς νεφέλας.

* τὸ δὲ εἴσομαι ἀντὶ τοῦ πορεύσομαι.

336. Τρώων κεφαλάς] αὐτοὺς τοὺς Τρῶας. φλέγμα δὲ τὴν φλόγα, ὡς καῦμα τὴν καῦσιν.

339. * ἀρειῇ] ἀπειλῇ.

11. ἀσιογεῖαι] ἀσιογειαὶ codex Venetus 458.

343. * Πορφυρίου. πρῶτα μὲν ἐν πεδίῳ] ἵνα ἀναξηράνῃ τὸ εἰς αὐτὸ ἐκκεχυμένον ὕδωρ. καῖε δὲ νεκρούς, Ἀχιλλέα δὲ οὔ· οὐδὲ γὰρ ὁ Σκάμανδρος τοὺς Τρῶας ἔπνιγεν. καὶ διὰ τί τοῦ Σκαμάνδρου καιομένου ὁ Ἀχιλλεὺς ἐν ζέοντι αὐτῷ ἀποληφθεὶς ἐπνίγετο μέν, οὐκ ἐκαίετο δέ; ἢ διότι οὐχ ὅλος ὁ ποταμὸς ἐκαίετο. ἐνδέχεται οὖν μὴ ἐν τοῖς τοιούτοις αὐτὸν τοῦ ποταμοῦ μορίοις εἶναι· καὶ γὰρ ἂν οὕτως γε ὁ Ἥφαιστος ἦν αὐτὸν ὁ διαφθείρων, ὃν οὐκ εἰκὸς βοηθεῖν μὲν αὐτῷ, τοῦτο δὲ μὴ ὁρᾶν ὅπως μή, ἔνθα ἦν ἐκεῖνος, ὁ ποταμὸς πονήσῃ, ὡς οὖν ὁ Σκάμανδρος πνίγων Ἀχιλλέα τοὺς ἐμβεβηκότας τῶν Τρώων εἰς αὐτὸν "ζωοὺς δ' ἐσάω κατὰ καλὰ ῥέεθρα, κρύπτων ἐν δίνῃσιν" (238), οὕτω καὶ ὁ Ἥφαιστος τὸν μὲν ποταμὸν ἔκαιε, τῷ δ' Ἀχιλλεῖ διὰ τοῦ πυρὸς συνεμάχει.

καὶ πῶς μὴ ἐκαίετο Ἀχιλλεύς; ὥσπερ ὁ Σκάμανδρος Ἀχιλλέα μὲν ἔπνιγε, Τρῶας δὲ ἔσωζεν, οὕτω καὶ ὁ Ἥφαιστος πᾶν μὲν ὑφάπτει τὸ ἄλλο τοῦ ποταμοῦ πλὴν ἐκείνου τοῦ τόπου ἔνθα ἦν Ἀχιλλεύς.

346. ὀπωρινὸς Βορέης] ἰσχυρότεροι γὰρ κατὰ τὴν ὀπώραν οἱ Βορέαι πνέουσιν. εὐκταῖον δὲ ἀρδευθείσῃ γῇ Βορρᾶν ἐπιβαλεῖν· πυκνουμένης γὰρ τῆς ἐπιφανείας δύνει κατὰ ῥιζῶν ἡ νοτίς. ὀπωρινὸς δὲ ὁ θερινός. οἱ δὲ ἐτησίαι ξηρότεροι τοῦ ἐν χειμῶνι Βορέου.

347. ὅστις ἐθείρῃ] ὁ γεωργὸς ὅστις ἔθος ἔχει σκάπτειν αὐτήν.

350. καίοντο πτελέαι] δηλονότι ὑποφυγόντος τοῦ ποταμοῦ καὶ εἰς τὸ ἴδιον ῥεῖθρον τραπέντος. τοῖς δὲ ὑπ' αὐτοῦ τραφεῖσιν ὕλῃ χρῆται κατ' αὐτοῦ.

354. κυβίστων] σημαντικώτερον οὐκ ἂν εὕροιμεν ὄνομα. οὐ γὰρ ἀναπάλλεσθαι τοὺς ἰχθύας ἔφη, ὅπερ καὶ χωρὶς πυρὸς συμβαίη ἄν· ἀλλὰ τοὺς ἀναπαλλομένους τε ἅμα καὶ καταδυομένους πάλιν ὑπὸ τῆς φλογὸς διὰ τοῦ ῥήματος ἔδειξεν.

357. οὔτις σοί γε] ἀνίκητον γὰρ τὸ πῦρ, καὶ σίδηρον γοῦν

1. * Πορφυρίου] om. ἵνα—ἔπνιγεν] Haec a m. pr., reliqua ab secunda.

3. διὰ τί τοῦ —] Ab his demum verbis incipit scholion Porphyrii in aliis codicibus.

4. ἀποληφθεὶς Bekkerus] ἀπολειφθεὶς

13–16. Hoc scholion in B adscriptum est versui 365.

13. μὴ] $\overset{\mu\grave{\eta}}{\gamma\grave{\alpha}\rho}$

18. ἐπιβαλεῖν Bekk.] ἐπιλαβεῖν

25. ἄν Bekk.] om.

27. ὑπὸ Bekk.] ἀπὸ

μαλάσσει, καὶ οὐδὲ ὑπὸ ἄλλου μαραίνεται, ἀλλ' ὑφ' ἑαυτοῦ· λεπτομερεστάτη γὰρ ἡ οὐσία τοῦ πυρὸς καὶ διὰ πάντων διικνουμένη.

361. *ἀνὰ δ' ἔφλυε] ἀνέζει· ἔνθεν καὶ τὸ ἐκ θερμότητος ἀνάστημα φλυκτὶς, καὶ φλύαρος ὁ ἀναζέων τοῖς λόγοις. ἐμφαντικῶς δὲ ἄγαν ὡς ἐπὶ ἀγγείου καιομένου.*

362. *ἐμφαντικῶς τὸ ἔνδον, ἵνα καὶ τὴν κοιλότητα δείξῃ καὶ τὴν κάτωθεν ἀνάζεσιν. κοῖλα δὲ ἀμφότερα, καὶ ὁ ποταμὸς καὶ ὁ λέβης.*

τὸ ἑξῆς, ζεῖ ἔνδον πάντοθεν ἀμβολάδην. καὶ ἡμεῖς ὑπὲρ τῶν ζεόντων φαμὲν ἀναβάλλειν τὸ χαλκίον. ἀναζεῖ οὖν πάντοθεν διὰ τὴν τῆς φλογὸς ὑπερβολήν.

363. *κνίσην] σὺν τῷ ν̄* Ἀρίσταρχος. *τὸ δὲ μελδόμενος ἀντὶ τοῦ τήκων. κνίση δὲ πᾶν τὸ πιμελές. τινὲς δὲ οὐδετέρως ἤκουον, ἵν' ᾖ τὰ κνίση, ὡς τὸ* "Τηλέμαχος *τεμένη νέμεται*" (Od. 11, 184)· *ἀλλ' ἀεὶ παρ'* Ὁμήρῳ *ἡ κνίσα θηλυκῶς εἴρηται.* Ἑρμογένης *δὲ ἐν τῷ περὶ τῶν ε΄ προβλημάτων γράφει* κνίσῃ μελδόμενος *ἵν' ᾖ τῇ κνίσῃ λιπαινόμενος, ὡς τὸ* "*μέλη ἤλδανε ποιμένι λαῶν*" (Od. 18, 70). *μέλδειν δὲ κυρίως τὸ τὰ μέλη ἔδειν ἢ ἀλδάνειν. κνίσα δὲ σημαίνει τὴν ἐκ τῶν κρεῶν ἀναθυμίασιν, ὡς ὅταν λέγῃ* "*καὶ τότε με κνίσης ἀμφήλυθεν ἡδὺς ἀϋτμή*" (Od. 12, 369) *καὶ* "*κνίση δ' οὐρανὸν ἷκε*" (Il. 1, 317). *σημαίνει δὲ καὶ τὸ λίπος, ὡς ἐπὶ τῶν γαστέρων ἔφη* "*ἐμπλείην κνίσης τε καὶ αἵματος*" (Od. 18, 118). *σημαίνει δὲ καὶ τὸν ἐπίπλουν, ὡς ὅταν λέγῃ* "*κατά τε κνίσῃ ἐκάλυψαν δίπτυχα ποιήσαντες*" (Il. 1, 460). *διπλᾶ γὰρ τὰ κνίση ποιήσαντες τοὺς μηροὺς ἐκάλυψαν. δίπτυχα δὲ αὐτὰ τὰ κνίση· ἐπειδὴ γὰρ δύο οἱ μηροὶ, τὸν ἐπίπλουν εἰς δύο διελόντες ἑκάτερον τῶν μηρῶν θατέρῳ μέρει τοῦ ἐπίπλου ἐκάλυπτον.* σιάλοιο *δὲ τοῦ ἐντροφίου καὶ σιτευτοῦ.*

* Πορφυρίου. *οἱ μὲν οὖν διορθοῦντες ἠξίουν μετὰ τοῦ ν̄ γράφειν, κνίσην μελδόμενος, ἀντὶ τοῦ τήκων ἀκούοντες, ἵν' ᾖ τὴν κνίσαν τήκων. οὐκ εἶχον δὲ παρ'* Ὁμήρῳ *δεικνύναι οὐδετέρως τὸ κνίσσος λεγόμενον, ἀλλ' ἀεὶ θηλυκῶς·* "*κνίσση δ' οὐρανὸν ἷκεν*" (Il. 1, 317) *καὶ* "*κνίσσην ἐκ πεδίου ἄνεμοι φέρον*" (Il. 8, 549). *μήποτε οὖν οὐκ ἔστι μελδόμενος τὸ τήκων· οὐδὲ κεῖται τὸ ἔδειν, ἀλλὰ τὸ ἔλδειν. ὅπερ οὖν λελυμένως ἔφη* "*μέλη ἤλδανε ποιμένι λαῶν*" (Od. 18, 69),

5. *ἐπὶ* Bekkerus] *ὑπὸ*
12. *σὺν τῷ ν*] Alii enim *κνίσης*
19. *ἡδὺς*] In *ἡδεῖ'* mutavit manus secunda.
28. * Πορφυρίου] om.

σημαίνων τὰ εὐτραφῆ λιπαρὰ ἐποίει, εὐρύνουσα τὰ μέλη, τοῦτο συνελὼν μελδόμενος ἔφη, κατὰ μεταφορὰν τὰ μέρη τοῦ λέβητος μέλη λέγων, ἅπερ λιπαίνεσθαι τηκομένῃ τῇ πιμελῇ χριόμενα. τὸ οὖν ἀλειφόμενον λιπαίνεσθαι μέλδεσθαι ἔφη, ὡς ἐν ἄλλοις "ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο" (Il. 18, 351). τινὲς δὲ οὕτως, κνίσσῃ μελδόμενος ἀντὶ τοῦ κνίσσῃ μέλη ἐδόμενος, δοτικὴν ἀντὶ τῆς γενικῆς λαβών· ἢ τῇ κνίσσῃ ζεούσῃ αὐξάνων τὰ μέλη ἤτοι τὰ κρέη· ἢ αὐτὸς τῇ κνίσσῃ τοῦ εὐτραφοῦς χοίρου ὁ λέβης λιπαινόμενος καὶ τηκόμενος.

366. οὐδ' ἔθελε] οὐκ ἠδύνατο. ἀϋτμὴ δὲ ἡ ἐξατμιζομένη πυρώδης πνοή. τὸ μὲν γὰρ καθαρὸν ὕδωρ, ὡς τὴν ἰδίαν φύσιν ἔχον, ἀκολούθως ὅπῃ θέλει ῥεῖ, τὸ δὲ θερμαινόμενον βραδύπορον γίνεται, πολὺ τῆς δυνάμεως ἀφῃρημένον. Ἥφαιστος δέ ἐστιν ἡ πυρώδης ὅλη οὐσία, Σκάμανδρος δὲ μέρος τῆς οὐσίας τοῦ ὕδατος.

369. τίπτε] ἐπὶ τίνι αἰτίᾳ; τὸ δὲ ἐπέχραεν ἀντὶ τοῦ μετὰ λυπήσεως ἐπῆλθε, βλαπτικῶς ἐφώρμησεν.

370. ἐξ ἄλλων] παρὰ τοὺς ἄλλους Ἑλληνικοὺς θεούς, ἢ ὑπὲρ τοὺς ἄλλους συμμάχους τῶν Τρώων ὥρμησεν ἐμὲ λυπεῖν.

373. ἐπὶ καὶ τόδ' ὀμοῦμαι] ἐπὶ τούτοις καὶ τόδ' ὀμοῦμαι. ἢ ἐπομοῦμαι μετὰ τὸ λῆξαι.

374. ἐπὶ Τρώεσσιν] τὸ ἑξῆς ἐπαλεξήσειν.

375. μαλερῷ] παρὰ τὴν ἀλέαν, πλεονασμῷ τοῦ μ̄. δηλονότι τῷ θερμῷ καὶ καυστικῷ.

ἀναφωνεῖ τὸ τέλος τῆς ἱστορίας εὐκαίρως ὁ ποιητής· οὐ γὰρ προκόψει μέχρι τούτων αὐτῷ τὸ σύγγραμμα.

379. ἀγακλέες] εὔκαιρον πρὸς τὴν νίκην τὸ ἐπίθετον.

380. στυφελίζειν] σκληρῶς τύπτειν καὶ βλάπτειν.

386. ἄητο] ᾐωρεῖτο, ἢ ὥρμα. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀλλήλοις ἀντιπνεόντων ἀνέμων.

388. σάλπιγξεν] εὖ πόλεμον θεῶν κελεύσματι οὐρανοῦ διήγειρεν. περιήχησε τοίνυν διαδεδομένης τῆς φωνῆς, ὅ φησιν ἀλλαχοῦ "ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα" (Il. 13, 837). καινὸν δὲ ἐποίησε τὸ διανόημα, σαλπίζειν τὸν οὐρανὸν φήσας· εἰ γὰρ εἶπεν ἐβρόντησεν, οὐδὲν ἂν εἰσηγήσατο παράδοξον.

389. χαίρει γὰρ ἵν' ἐπιτεθῇ τέλος τῷ προστάγματι. καὶ Ἀγαμέμνων ἔχαιρεν "ὅτ' ἄριστοι Ἀχαιῶν δηριόωντο," ἐπεὶ ἑώρα περὶ

ἀρετῆς αὐτοὺς ἀγωνιζομένους. καὶ Μένανδρός φησιν "οὐδέποτε θύων εὐξάμην ἄλλως σώζεσθαι τὴν οἰκίαν ἢ στάσιν οἰκετῶν εἶναι ἐν αὐτῇ.

* Πορφυρίου. τὸ "ἀμφὶ δὲ σάλπιγξεν—Ζεὺς ἐγέλασσε—ξυνιόντας" δοκεῖ ἐναντίον εἶναι τῷ ὑπὸ Διὸς λεγομένῳ πρὸς Ἄρεα "αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε" (Il. 5, 891). ἡ δὲ λύσις ἐκ τῆς λέξεως· τὸ γὰρ αἰεί προσκείμενον τὴν διαφωνίαν ἔλυσεν.

392. πρῶτον γὰρ αἱ ἀσπίδες τιτρώσκονται, εἶτα τὰ σώματα. ῥινοτόρος καλεῖται ἐκ τοῦ τιτρώσκειν καὶ διακόπτειν τοὺς ῥινούς· ῥινοὶ δὲ καλοῦνται αἱ ἀσπίδες, ὅτι ἐκ βοείων βυρσῶν εἰσίν. ὁμοίως δὲ καὶ τὸ τῶν ἀνθρώπων δέρμα.

395. ἄητον] μέγα, παρὰ τὴν αἶαν.

397. πάντων ἔσχατον· ἡ γὰρ ὀψία ὁ ἔσχατος καιρὸς, ἵνα λέγῃ, τὸ δὲ πάντων ἔσχατον αὐτὴ λαβοῦσα τὸ ἔγχος ἔπληξάς με. ἢ τὸ ὁλόλαμπρον, ὡς ταυτὸν εἶναι τῷ πάνοπτον πρωτοτύπῳ. κακῶς δὲ τῆς ἑαυτοῦ ἥσσης ὑπομιμνήσκει· ἔδει γὰρ ὡς Ζεὺς "ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν" (Il. 15, 18). ἢ θέλει αὐτὴν πλῆξαι ὡς δίκην νῦν ληψόμενος.

398. ἰθὺς ἐμεῦ ὦσας] ἐξ ἐναντίας ἐμοῦ τὸ δόρυ ἴθυσας.

399. ἀποτισέμεν] διὰ τιμωρίας ἐκτίσειν.

402. τῇ] ἐκεῖ.

405. οὖρον ἀρούρης] ὅριον γῆς.

406. αὐχένα] ὅτι ὑψαύχην ἡ ὕβρις.

407. πέλεθρα] τὸ πλέθρον ἔχει πόδας ἑκατὸν, πήχεις ἑξήκοντα ἓξ δίμοιρον. εἰ δὲ ζητοίης πῶς Διομήδης ἔφθασε τρῶσαι τὸν τηλικοῦτον, ἴσθι ὡς συνεργούσης Ἀθήνης.

408. ἀμφαράβησε] ἄραβος κυρίως ἡ ἐν Ἄρει βοὴ, καταχρηστικῶς δὲ ἦχος ὅπλων.

410. ὅσσον ἀρείων] ἔστι γὰρ ἡ μὲν ἐξ ἀνδρὸς μόνου, ὁ δὲ καὶ ἐκ γυναικός. καὶ ἡ μὲν ἔνοπλος γεννηθεῖσα συμπεφυκυῖαν τοῖς ὅπλοις τὴν ἀρετὴν ἔχει· ἄλλως τε τὸ δίκαιον ἀεὶ ἐπικρατεῖν πέφυκεν.

412. Ἐρινύας] τὰς κατάρας. οὕτω δὲ ὡς πρὸς κρείσσονας ἐθέλων μάχεσθαι.

416. ἐπειδὴ τὸ πλέον διὰ γυναικείας αἰσχρότητας καὶ πορνείας

4. * Πορφυρίου] om.
5. δοκεῖ] * δοκεῖ τοῦτο
7. αἰεὶ] ἄïε
29. δὲ καὶ Bekkerus] καὶ om.

οἱ πόλεμοι, τούτου χάριν αὐτῷ βοηθεῖ. ἢ τὴν τῶν ἵππων ἀνταμείβεται χάριν. Ἥρα δὲ ἀπέχεται Ἀφροδίτης διὰ τὸν κεστόν.

417. ἐσαγείρατο θυμόν] τὸ ζωτικὸν πνεῦμα συνέλεξε. παρατατικοῦ δὲ τὸ ἐσαγείρατο.

422. κατὰ κλόνον] κλόνος ἡ μάχη, ἐν ᾗ κλονοῦνται οἱ πολεμοῦντες.

424. ἐπιεισαμένη] ἐφορμήσασα, ἐπελθοῦσα. πρὸς στήθεα δὲ, ὅτι ἐκεῖσε ἡ ἀφροσύνη ἐγκάθηται.

428. ἀεὶ τὸ νῦν φυλάσσον τὸν χρόνον καὶ τὸν τόνον φυλάσσει· εἴ που δὲ συσταλῇ διὰ μέτρον, ἐγκλίνεται.

430. τλήμονες] εὔτολμοι. οἱ δὲ τραγικοὶ ἐπὶ δυστυχοῦς τιθέασι τὴν λέξιν.

435. κρείων] ὁ τῆς αὐξήσεως αἴτιος· ὑγρὸς γὰρ, καὶ κραίνειν δηλοῖ τὸ τελειοῦν.

436. οὐ πολεμοῦμεν, οὐ μιγνύμεθα· μίγνυσθαι γὰρ λέγεται τὸ πολεμεῖν. αἰσχρὸν δὲ τὸ ἀργεῖν μαχομένων τῶν ὁμοφύλων. καὶ τὸ πρεσβύτην δὲ τῆς μάχης ἄρχειν δεινότερον.

440. καλόν] δηλονότι τὸ ἄρχειν.

441. ἔχες] ἀντὶ τοῦ εἶχες.

444. πὰρ Διός] τινὲς ἐξ οὐρανοῦ, ἀπὸ τοῦ Διὸς οἴκου· οὐ παραδίδωσι δὲ Ὅμηρος τὴν αἰτίαν δι' ἣν ἐθήτευσαν.

445. μισθῷ ἔπι ῥητῷ] μισθὸς λέγεται ἡ ἐλαχίστη ἀμοιβὴ, παρὰ τὸ μεῖον. ῥητῷ δὲ τῷ ὡρισμένῳ· ὅθεν καὶ αἱ ὡρισμέναι συνθῆκαι ῥῆτραι καλοῦνται. πῶς δὲ Ἀπόλλων οὐ μέμνηται τῆς παρὰ Λαομέδοντι θητείας, Ποσειδῶν δὲ τούτου μνείαν ποιεῖται; ῥητέον οὖν ὅτι Ποσειδῶν μὲν εἰκότως· καὶ γὰρ Ἕλλησι βοηθεῖ· Ἀπόλλων δὲ οὐ μνησικακεῖ, διότι μᾶλλον τιμᾶται παρ' αὐτῶν· πᾶσα δὲ χάρις, κἂν τελευταία ᾖ, δύναται μείζω ἐγκλήματα λῦσαι.

447. ἵν' ἄρρηκτος πόλις εἴη] ἀσφάλιος γὰρ καὶ θεμελιοῦχος ὁ Ποσειδῶν καὶ πάντων σύστασις· ὁ δὲ Ἀπόλλων νόμιος ὡς ἐπὶ πλεῖστον καὶ τῶν θρεμμάτων αὐξητικός. φασὶ δὲ ὡς ἐπεὶ ἀρχὴν ὡς ἐπὶ πᾶν ὁ λοιμὸς ἀπὸ τετραπόδων λαμβάνει, αὐτοῖς αὐτὸν ἐπέστησαν, ὅπως ἀναβαλλόμενος ἅπτεσθαι αὐτῶν ἔσται καὶ τοῖς ἀνθρώποις σωτήρ.

4. ἐσαγείρατο] Ἀρίσταρχος addit Townl.

16. πρεσβύτην Bekkerus] πρεσβυτάτην

23. * ῥῆτραι] ῥηταὶ

26. πᾶσα —] Thucydidis verba 1, 42.

* φασὶ τὸν Ἀπόλλωνα κεκλῆσθαι νόμιον διὰ τοιαύτην αἰτίαν. οἱ παλαιοὶ τοὺς λοιμοὺς ἐξ Ἀπόλλωνος ἐνόμιζον εἶναι. πᾶς δὲ λοιμὸς ἀπὸ τῶν ἀλόγων ἄρχεται, ὥς φησιν Ὅμηρος "οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς" (Il. 1, 50). βουλόμενοι οὖν τὸν θεὸν δυσωπεῖν, ἵνα τοὺς λοιμοὺς ἀποστρέψῃ, νόμιον καὶ φύλακα τῶν βοσκημάτων ἐκάλεσαν· ὅθεν Ὅμηρον εἰπεῖν ὅτι ἐβουκόλησε παρὰ Λαομέδοντι καὶ Ἀδμήτῳ ἱπποφόρβησεν. ἡ δὲ ἱστορία παρὰ Ἀπολλοδώρῳ.

448. *ἕλικας] ἑλικοειδῆ κέρατα ἐχούσας.

450. πολυγηθέες] αἱ πολλοῖς αἴτιαι τοῦ χαίρειν· αὔξουσι γὰρ τοὺς καρπούς. ἢ ἐς πολλὴν ἄγουσαι χαρὰν τοὺς καρπιζομένους.

451. ἐξέφερον] ἀντὶ τοῦ ἐμήνυον καὶ ἐφανέρουν. ἐβιήσατο δὲ ἀντὶ τοῦ μετὰ βίας ἔσχε παρ' ἑαυτῷ.

454. τηλεδαπάων] τηλοῦ τὸ πέδον ἐχουσῶν, ἤτοι μακρὰν ἀπὸ τῆς Τροίας οὐσῶν.

455. στεῦτο] κατὰ ψυχὴν ἔσπευδε. λεψέμεν δὲ τὸ σιδήρῳ τεμεῖν.

462. οὐκ ἄν με σαόφρονα] εἰ μάχην σοι, φησὶ, συμβαλοίμην, ὃ μὴ δεῖ, οὐκ ἂν ἔτι με συνετὸν ὑπολάβοις.

464. δειλῶν] ἀσθενῶν· Δειλᾶς γὰρ ὁ Θρᾷξ ἐφεῦρε πρῶτον τὸν εἰς φόνους κλῆρον.

465. ζαφλεγέες τελέθουσιν] μεγαλόφρονες γίνονται, καίπερ θνητὴν σιτούμενοι τροφήν. ὅταν δὲ ἀποβλέψῃ εἰς τὴν θείαν ὁ ποιητὴς φύσιν, τότε τὰ ἀνθρώπεια εὐτελίζει πράγματα.

467. δηριαάσθων] τὸ δεύτερον ᾱ ἐκτέταται, ὥσπερ ἐπὶ τοῦ ἀδιαιρέτου.

468. πάλιν ἐτράπετ'] ἐπεὶ ὁ ἥλιος ἐκ θαλάσσης τρέφεται, εἰκότως αὐτῷ μάχην οὐ συμβάλλει. ἔστι δὲ παιδευτικὸς ὁ λόγος πρὸς τὸ αἰδεῖσθαι τοὺς εὐεργέτας, καὶ μᾶλλον τοὺς πρεσβυτέρους.

470. πότνια] ἡ δεσπότις. μεταβαλὼν δὲ Ἀνακρέων φησὶ "δέσποιν' Ἄρτεμι θηρῶν." οἰκεῖον δὲ αὐτῇ τὸ προπετὲς, διὸ καὶ βλάβῃ περιπίπτει.

473. μέλεον] ἄμοχθον καὶ ἄλυπον.

474. ἀνεμώλιον] ἀνεμωλίως, ἀντὶ τοῦ ἀπράκτως.

6. ὅτι] om.

478. τὴν δ' οὔτι προσέφη] προείρηκε γὰρ τὴν αἰτίαν τῆς παραιτήσεως. δισσολογεῖν δ' οὐ βούλεται ὁ ποιητής.

479. προσέφη] ἀπὸ κοινοῦ τὸ προσέφη, ὡς κἀκεῖ "παῖδά τέ σοι ἀγέμεν Φοίβῳ θ' ἱερὴν ἑκατόμβην" (Il. 1, 443)· ἀπὸ κοινοῦ γὰρ τὸ ἀγέμεν.

482. μένος ἀντιφέρεσθαι] ἐξ ἐναντίας τὸ ἐμὸν μένος φέρειν. ἐπεὶ δὲ εἶπε "τί νυ τόξον ἔχεις," ἐγώ σοι χαλεπὴ πολέμιος ἔσομαι.

483. τὸ λέοντα ἀντὶ τοῦ λέαιναν· οὐδέποτε δὲ παρ' Ὁμήρῳ εὕρηται τὸ λέαινα. λέγει δὲ αὐτὴν λέαιναν διὰ τὸ ἀναιρετικὸν, ἐπειδὴ κατὰ μὲν τὰς πανσελήνους νύκτας, ὥς φησι Χρύσιππος, εὐτοκώταται γίνονται αἱ γυναῖκες, κατὰ δὲ τὰς σκοτομαίνας δύστοκοι ἄγαν.

485. ἐναίρειν] φονεύειν, ἢ σκυλεύειν. τοῦτο δὲ λέγει, ὅτι τῆς νυκτὸς πανσελήνου οὔσης οἱ κυνηγοὶ τοὺς θῆρας σκυλεύουσιν.

487. στικτέον εἰς τὸ δαήμεναι· ἔστι δὲ ἀντὶ τοῦ δάηθι.

489. χεῖρας] τῆς Ἀρτέμιδος δηλονότι. ἔμφασιν δὲ ἔχει πολλῆς δυνάμεως.

490. ποιητικῶς ἀντὶ βελῶν τόξα φησίν. ἢ πᾶσαν τὴν τοξικὴν παρετοιμασίαν.

492. ἐντροπαλιζομένη] ἐξ ὑποστροφῆς ἀνθισταμένη. τινὲς δὲ κατ' αἰτιατικὴν ἤκουσαν, ἵν' ᾖ ἐκτρέπουσαν τὰς ὄψεις πρὸς τὰς τῆς χειρὸς καταφοράς.

495. ἀπὸ τοῦ χωρεῖν. λέγει δὲ πέτραν διαγωγὰς ἔχουσαν πολλὰς, ὥστε χωρεῖσθαί τι. σημειωτέον δὲ ὅτι προεξηγήσατο τίς ἡ χηραμὸς, κοίλη πέτρα, καὶ νῦν ἐπεξηγήσατο.

498. οὔτι μαχήσομαι] ἄτοπον γὰρ τὸν λόγιον καὶ εἰρηνικὸν θεὸν μάχεσθαι. ἄλλως τε ἄνοπλοι ἀμφότεροι, καὶ ἄτοπος ἡ δίχα ὅπλων μάχη.

499. πληκτίζεσθ'] μάχεσθαι. τῶν ἅπαξ δὲ εἰρημένων ἡ λέξις.

501. εὔχεσθαι ἐμὲ νικήσειν] καλῶς ἄτυφος ὁ λογικὸς θεὸς, μηδὲ ἀδοξίας φροντίσας· λέγει γὰρ ὅτι εἰ βούλει, καυχῶ ὡς ἐμὲ νικήσασα.

502. τόξα] συλληπτικῶς τά τε τόξα καὶ τὰ βέλη· ὡς γὰρ

20. παρετοιμασίαν] Vocabulum in Glossario vetere per *paratio* explicitum.

χοῖνιξ τὸ μετροῦν καὶ τὸ μετρούμενον, οὕτω καὶ τόξα ἐπὶ ἑκατέρου δεκτέον. συνῆξε δὲ αὐτὰ, ἵνα μὴ ἐκεῖ κείμενα τὴν θυγατέρα πλέον αἰσχύνοιεν.

506. ἐφέζετο γούνασι] ἀφελὴς ἡ διάθεσις καὶ μὴ πρέπουσα γυναικὶ, καὶ μάλιστα παρθένῳ. ἢ τάχα ὡς θυγάτηρ τοῦτο ποιεῖ. ἡ δὲ Ἀφροδίτη οὐκ ἐν τοῖς γόνασι τοῦ Διὸς, ἀλλ' ἐν τοῖς τῆς Διώνης, καίτοι γεγαμημένη οὖσα. πῶς δὲ ἡ μὲν ἐμπίπτει, ἡ δὲ ἐφέζεται; ὅτι ἐκείνη διὰ τὸ καταπονεῖσθαι τῇ πληγῇ ἐφέζεσθαι οὐ δύναται.

507. ἑανὸς τρέμε] διὰ τῆς ἐσθῆτος ἐμφῆναι τὸ σῶμα βούλεται τρέμον αὐτῆς.

509. τίς νύ σε] εἰδὼς ἐρωτᾷ, ἠθικῶς ἀγνοεῖν προσποιούμενος.

*τὸ τίς ἐρωτηματικόν.

511. ἐϋστέφανος] ἐπικεφάλιος γὰρ ὁ τῶν γυναικῶν κόσμος. κελαδεινὴ δὲ παρὰ τὸ κοῖλα. ἢ παρὰ τὸν κέλαδον ὃν ποιοῦσιν οἱ κυνηγοί.

513. ἐφῆπται] ἀντὶ τοῦ ἐπισυνδέδεται καὶ ηὔξηται καὶ πεπλήθυνται. τινὲς δὲ καὶ νείκεα πληθυντικῶς γράφουσι.

514. τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον] οὔτε γὰρ ἀπολύει τὴν Ἥραν τοῦ ἐγκλήματος, ἵνα μὴ λυπῇ τὴν ὑβρισθεῖσαν, οὔτε αὐτῇ ἐγκαλεῖ, ἵνα μὴ πλέον ὀργισθῇ.

523. ὡς δ' ὅτε καπνὸς ἰὼν ἄστεος αἰθομένοιο] πηλίκον δέ ἐστι τὸ πῦρ οὗ τὸ τέλος ἅπτεται τοῦ οὐρανοῦ; καὶ τοῦτο δὲ λέγει θεόπεμπτον, ἵνα μὴ ταχέως σβεννύηται. τὴν ἐπὶ πλεῖστον δὲ νέμησιν τοῦ Ἀχιλλέως ἡ παραβολὴ τοῦ πυρὸς ἐνέφηνεν.

526. Πρίαμος θείου ἐπὶ πύργου] ἐναργῶς ὁ τῆς ἀγωνίας μεστὸς γέρων δείκνυται τοῖς τείχεσιν ἐπιβεβηκώς. μεταγαγὼν δὲ ὁ ποιητὴς τὴν στρατείαν ἐπὶ τὰ ἔνδον, οὐκ ἄλλῳ πιθανὸν ἐνόμισε προσκεῖσθαι τὰ τῆς διατάξεως ἢ τῷ Πριάμῳ· βασιλεὺς μὲν γάρ ἐστι καὶ συνετὸς, τῶν δὲ ἔργων διὰ τὴν ἡλικίαν ἀπεχόμενος. θεῖον δὲ τὸν πύργον λέγει παρόσον ἐστὶ θεοποίητος.

528. πεφυζότες] ἀπὸ τοῦ φύζα· ὅθεν ἄφυζαν Ἴωνες ἐκάλουν τὸν λέοντα.

25. νέμησιν Bekk.] νέμεσιν
33. τὸν λέοντα] Exspectes τὴν λέαιναν, ut supra diximus.

530. τοῦ καιροῦ ἐπείγοντος καὶ ὁ γέρων στρατηγεῖ. πᾶσαν δὲ φιλοφροσύνην τὴν πρὸς τοὺς φύλακας ὁ καιρὸς ἀφαιρεῖται· Νέστωρ δ' "οὕτω νῦν φίλα τέκνα φυλάσσετε" (Il. 10, 192).

533. κλονέει] ἀντὶ τοῦ κινεῖ καὶ ταράσσει τὸ πλῆθος· ὅθεν καὶ κλόνις ἡ εὐκίνητος ὀσφύς.

νῦν οἴω] πρεσβυτικῶς τὸν καιρὸν ὁρᾷ, ὅτι εἰς κακὸν προχωρήσει, καὶ ὀλοθρευθήσεσθαί φησι τοὺς Τρῶας.

534. ἀλέντες] ἐκκλίναντες, ἢ συστραφέντες.

536. οὖλος] καὶ Καλλίμαχός φησιν "οὔλου μῆτερ Ἄρηος," ἤτοι τοῦ ὀλοθρευτικοῦ.

537. ἀπῶσαν] ἀπεκρούσαντο καὶ ἄποθεν τῶν πυλῶν ἀπώσαντο ὡς συνεκτικοὺς ὄντας αὐτῶν.

538. σωτηρίαν δηλονότι παρέσχον τοῖς φεύγουσι Τρωσὶ διὰ τὸ εἰσέρχεσθαι εἰς τὸ τεῖχος.

539. ἀντίος] τῷ Ἀχιλλεῖ. ἡ δὲ στιγμὴ εἰς τὸ ἐξέθορεν.

541. καρχαλέοι] ξηραίνει γὰρ καὶ τραχύνει τὴν γλῶσσαν ἡ πολλὴ δίψα. ἄκρως δὲ ὑπέγραψε τὴν φυγὴν καὶ τὸ σχῆμα τῶν διωκομένων.

542. ἐπίρρημα ἀντὶ τοῦ σφεδανῶς, ἤτοι μετ' ἐπιτάσεως καὶ βίας. οἱ δὲ σφεδανῶν γράφουσιν, ἵν' ᾖ μετοχῆς, ἀντὶ τοῦ κατεπείγων αὐτούς, ἢ τῷ θυμῷ ἐπαιρόμενος, ἢ φονῶν, ἀπὸ τοῦ φόνος.

543. κῦδος ἀρέσθαι] κῦδος τὸ τοῦ Ἕκτορος λαβέσθαι, ὡς τὸ "ἠράμεθα μέγα κῦδος, ἐπέφνομεν Ἕκτορα" (Il. 22, 393).

544. ὑψίπυλον Τροίην] ὁμωνύμως τῇ χώρᾳ τὴν Ἴλιον εἴρηκεν· οὐ γάρ ἐστιν ἡ χώρα πύλας ἔχουσα.

549. φηγῷ κεκλιμένος] ἀντὶ τοῦ ὑποκρυπτόμενος τῇ δρυΐ.

551. *πόρφυρε] παρὰ τὸ πορφύρω, ὃ σημαίνει τὸ διανοοῦμαι καὶ σκέπτομαι.

555. αἱρήσει με καὶ ὥς] καὶ οὕτως συλλήψεταί με καὶ οὐδὲ ἀμυνόμενον ἀναιρήσει, ὡς ἀνάλκιδα δηλονότι.

556. διὰ τὸν εἰ σύνδεσμον ὑποστικτέον μετὰ τὸ ῥωπήϊα δύω, τοῦ ἑξῆς συνδέσμου περιττεύοντος, τοῦ δέ. δύναται δὲ καὶ στίζεσθαι ἐπὶ τοῦ δύω, τοῦ εἰ συνδέσμου κειμένου ἀντὶ τοῦ ἆρα διαπορητικοῦ. ἔσται δὲ καὶ οὕτως ὁ ἂν περιττός.

5. κλόνις] κλονίς falso accentu B.

557. ἄλλῃ] ἀντὶ τοῦ εἰς τόπον ἄλλον.

558. Ἰλήϊον] τὸ πρὸς τῷ τάφῳ τοῦ Ἴλου. ὁ δὲ Κράτης Ἰδήϊον γράφει, ἵν' ᾖ τὸ ὑποκείμενον τῇ Ἴδῃ.

559. κατά τε ῥωπήϊα δύω] ὑποκρυβήσομαι τοῖς θαμνώδεσι τόποις.

561. ἱδρῶ ἀποψυχθείς] πνεύμασι τὸν ἱδρῶτα ξηράνας.

563. ἀπαειρόμενον] ἀντὶ τοῦ ἀπαίροντα καὶ ἀποχωροῦντα.

*Πορφυρίου. τὸ μή μ' ἀπαειρόμενον πόλιος πεδίονδε νοήσῃ μετενήνεκται ἀπὸ τῶν πλεόντων καὶ ἐπαιρόντων τοὺς ἱστούς· "ἱστὸν δ' εἰλάτινον κοίλης ἔντοσθε μεσόδμης στῆσαν ἀείραντες" (Od. 2, 424). οὕτω δὲ λέγουσι καὶ τὸ ἐπαίρειν. οὕτως ἔχει καὶ τὸ "μῆλα γὰρ ἐξ Ἰθάκης Μεσσήνιοι ἄνδρες ἄειραν" (Od. 21, 18) ἀντὶ τοῦ ἀείραντες ἀπήλασαν.

569. ἐν δὲ ἴα ψυχή] ὁ διαλογισμὸς ἀνθρώπινος, ὅτι ἓν σῶμα καὶ μία ψυχὴ καὶ τρωτὸς ὁ χρώς· ἀλλὰ τὴν ἀρετὴν αὐτοῦ οὐδαμοῦ ἐνθυμεῖται. εἰ δὲ τοιαῦτα πάντες ἐνενόουν οἱ μαχόμενοι, οὐκ ἂν ἔδεισάν ποτε τοὺς πολεμίους.

571. ἀλεὶς μένεν] συστρέψας τὸ πρώην ὁρμώμενον σῶμα εἰς φυγὴν ἔμενεν.

573. ἠΰτε πόρδαλις] θυμικὸν τὸ ζῷον καὶ πολεμικὸν μέχρι θανάτου. τοσοῦτον δὲ τῶν ἄλλων προὔχει ὅσον ἐκεῖνα τῶν ἡμέρων. ἐν δὲ παρδάλεσι καὶ ἄρκτοις τὰ θήλεα ἰσχυρότερα.

575. Ἀρίσταρχός τινάς φησι γράφειν κυνυλαγμόν· καὶ Στησίχορος ἔοικεν οὕτως ἀνεγνωκέναι· φησὶ γὰρ "ἀπειρέσιοι κυνυλαγμοί." οὐχ ὁρῶμεν δέ τι πλέον ἐκ τῆς συνθέσεως· ὁ γὰρ ὑλαγμὸς καὶ χωρὶς τοῦ προσκεῖσθαι τὸ ὄνομα ἰδίως ἐπὶ κυνῶν ἀκούεται, ὡς ὁ χρεμετισμὸς ἐπὶ τῶν ἵππων. ἄλλως τε τὰ εἰς γμος ῥηματικὰ μετὰ προθέσεως πέφυκε συντίθεσθαι, τῆς αὐτῆς τάσεως μενούσης, παιγμός ἐμπαιγμός, κηρυγμός ἐκκηρυγμός. καὶ τὸ ὑλαγμός οὖν παρὰ τὸ ὑλάσσειν γεγονὸς οὐ συντεθήσεται μετ' ἄλλου μέρους λόγου. σύνδεσμος οὖν ἐστὶν ὁ κέν.

581. ἀσπίδα μὲν πρόσθ' ἔσχετο] φησὶν Ἡρακλέων ἐν Ῥώμῃ τοῦτο τεθεᾶσθαι. ὁ δὲ βαλών, φησί, τὸ θωράκιον ὃ περιέκειτο, ἑτέρῳ περιέθηκεν ὡπλισμένῳ καὶ ἀκμῆτι, ἵνα ἐπ' αὐτὸν τραπῇ.

582. τιτύσκετο] κατεστοχάζετο.

583. περισπῶμεν τὸν ἦ σύνδεσμον, ἠθικὸν καὶ ἐρωτηματικὸν ὄντα.

7. Πορφυρίου] om.

588. σὺ δ' ἐνθάδε] ἡ πεπρωμένη σοι, φησὶν, ἐνθάδε τελευτηθήσεται, καὶ παρ' ἡμῶν ἀναιρεθήσῃ.

589. ἔκπαγλος] προπετὴς, θρασύς.

591. κνήμην] τὴν κνημῖδα.

598. ἡσύχιον] λάθρα, κρυφῇ καὶ ἀθορύβως.

602. πυροφόρου] εὐθέτου πρὸς ἄροσιν.

604. τυτθὸν ὑπεκπροθέοντα] θνητὴν γὰρ ἐμιμεῖτο ταχυτῆτα, καταλιμπάνων ἐλπίδα τῷ διώκοντι.

605. ὑποστικτέον εἰς τὸ οἷσιν· ἡ γὰρ ἀνταπόδοσις, ἕως ὁ τόν, τόφρ' ἄλλοι Τρῶες.

606. πεφοβημένοι ἦλθον ὁμίλῳ] ὑπὸ τῶν Ἑλλήνων διωκόμενοι. ἀλλὰ διὰ τὸ τὸν λόγον εἶναι περὶ τῆς Ἀχιλλέως ἀριστείας, παραιτεῖται καὶ ἄλλους εἰσάγειν ἀριστεύοντας.

ὡς εἶχε ποδῶν ἕκαστος ἐσώζετο, μὴ μεμνημένος τῶν συμμάχων, ἀλλὰ τὸ καθ' ἑαυτὸν σκοπῶν.

ΕΙΣ ΤΗΝ Χ.

1. πεφυζότες] καὶ τὴν μετὰ δέους κατάπληξιν οὕτως καλεῖ. ἔστιν οὖν ἀντὶ τοῦ δεδειλιακότες· καὶ ἔστιν ὅμοιον τῷ "τίπτ' αὔτως ἕστητε τεθηπότες ἠΰτε νεβροί" (Il. 4, 243). ἔστιν οὖν φύζα φυζῶ, ὡς κίσσα κισσῶ· καὶ μέσος παρακείμενος πέφυζα, οὗ ἡ μετοχὴ πεφυζώς.

νεβροί] νεβροὶ οἱ νεωστὶ ἐπὶ βορὰν ἰόντες· ἢ νεόποροι, οἱ μηδέπω δυνάμενοι πορεύεσθαι. βραχὺ δὲ διασταλτέον ἐπὶ τὸ νεβροί.

2. ἱδρῶ ἀπεψύχοντο] ἀντὶ τοῦ τὸν ἱδρῶτα τῷ ἀνέμῳ ἀνεψύχοντο καὶ παρηγοροῦντο. ὁ δὲ Ἀρίσταρχος ἀνεψύχοντο γράφει. χαριέστερον δὲ τὸ ἀπεψύχοντο.

ἀκέοντο] ἀκεῖσθαι κυρίως τὸ τὸ ἄχος ἰᾶσθαι· ὅθεν Φρύγες ἀκεστήν τὸν ἰατρὸν, καὶ Ἀθηναῖοι ἀκέστριαν.

δίψαν] δίψα Ἰωνικῶς, δίψος δὲ Ἀττικῶς.

3. κεκλιμένοι καλῇσιν ἐπάλξεσιν] ἤτοι ἐπαναπαυόμενοι καὶ ἐπερειδόμενοι ταῖς ἐπάλξεσιν, διὰ τὸν κόπον, ὡς Αὐτόχθων καὶ Ἐπαφρόδιτος διὰ τὸν κόπον· χαρίεν γὰρ τὸ μὴ ἀναχωρεῖν ἀπὸ τοῦ τείχους

18. τίπτ' αὔτως] * τίφθ' οὕτως Townl.

22. νεόποροι] * νήπορα

28. ἀκέστριαν] τὴν ἠπήτριαν addit Valcken. Opusc. vol. 2 p. 64.

εἰσδραμόντας εἰς τὴν πόλιν. ἐπάλξεσιν δὲ ἀπὸ μέρους τῷ παντὶ τείχει.

*Πορφυρίου. ἠγνόησαν οἱ πολλοὶ ὅτι ἡ κλίσις παρ' Ὁμήρῳ τὴν περιοχὴν σημαίνει, καὶ πάντα τὰ ἐσχηματισμένα ἀπ' αὐτῆς ῥήματα· "ὣς οἱ μὲν κατὰ ἄστυ πεφυζότει ἠΰτε νεβροὶ κεκλιμένοι καλῇσιν ἐπάλξεσιν" (1—4)· λέγει γὰρ, περιεχόμενοι τῷ τείχει οἱ Τρῶες, οἱ δ' Ἀχαιοὶ τὰ σάκη τοῖς ὤμοις περιέχοντες. οὕτω λύσεις καὶ τὸ "οἱ δ' ἐπὶ ῥηγμῖνι θαλάσσης κεκλίατο" (Il. 16, 67)· λέγει γὰρ ὅτι περιεχόμενοι ὑπὸ τῶν Τρώων ἐπὶ ῥηγμῖνι θαλάσσης συνηλάθησαν. καὶ τὸ "ἠέρι δ' ἔγχος ἐκέκλιτο καὶ ταχέ' ἵππω" (Il. 5, 356) δηλοῖ περιείχετο. καὶ τὸ "κεῖθ' ἁλὶ κεκλιμένη ἐριβώλακος ἠπείροιο" (Od. 13, 235) ἀντὶ τοῦ κεῖται περιεχομένη. καὶ πάλιν "ὃς δ' ἐν Ὕλῃ ναίεσκε, μέγα πλούτοιο μεμηλὼς, λίμνῃ κεκλιμένος" (Il. 5, 708) δηλοῖ περιεχόμενος. καὶ "ἀσπίσι κεκλιμένοι" (Il. 3, 135) ἀντὶ τοῦ περιεχόμενοι ὑπὸ τῶν ἀσπίδων. ἀπὸ τοῦ κλείω δὲ γέγονεν· τὸ γὰρ ἀποκλεισθὲν περιέχεται· καὶ τὸ "ἀλλ' ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων πόντῳ κεκλιμένοι ἑκὰς ἥμεθα" (Il. 15, 739) ἀντὶ τοῦ ὑπὸ τοῦ πόντου περιεχόμενοι.

6. ἐν ἀριστερᾷ τοῦ τείχους αἱ πύλαι ἔκειντο, αἳ ἐκαλοῦντο Δαρδανίαι.

11. ἦ νύ τοι] ἆρα, φησὶν, οὐ κεκόπωσαι διώκων τοὺς Τρῶας; τὸ δὲ ἐφόβησας, εἰς φυγὴν ἔτρεψας.

12. οἱ δή τοι] ἐκεῖνοι, φησὶ, σοῦ ἐνταῦθα ἀποκλιθέντος πρὸς τὴν πόλιν συνεστράφησαν.

13. οὔτι μόρσιμός εἰμι] οὐκ εἰμὶ, φησὶ, φονεύσιμος. οἷον οὐχ ὑπόκειμαι μοίρᾳ, ὡς Ἕκτωρ ὃν ἤλπισας διώκειν.

15. ἔβλαψάς μ' ἑκάεργε] στοχάζεται ἢ ἀπὸ τοῦ "μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων" (Il. 16, 94). ἢ ὅτι καὶ ἀπὸ Αἰνείου γινώσκει ὅτι αὐτός ἐστιν ὁ ἐμποδίζων, παρὰ Ποσειδῶνος μαθὼν (Il. 20, 330). ὀλοώτατε δὲ ὀλέθρου παρασκευαστικὲ, δηλονότι ἐμοί· τινὲς δὲ δολοώτατε, διὰ τὸ "δόλῳ γὰρ ἔθελγεν Ἀπόλλων" (Il. 21, 604). ἐκθύμως δὲ παρρησιάζεται, ἀφῃρημένος ἑταίρου καὶ νίκης.

20. ἦ σ' ἂν τισαίμην] ἐτισάμην ἄν σε, εἴ μοι δύναμις ἦν ἴση τῇ σῇ. γενναῖος δὲ ὁ μὴ καταπτησσόμενος τὸν φονέα, καὶ μεγαλόφρων ὁ μετὰ θάρσους ἀπειλῶν θεῷ.

3. *Πορφυρίου] om.

22. ἀεθλοφόρος] νικητής. πρὸς τὸ τάχος δὲ καὶ τὸ σοβαρόν. καὶ μᾶλλον κέλητι αὐτὸν εἰκάζει· εἷς γὰρ ὄχημα οὐ φέρει. κέλητα οὖν φησὶν ἁμιλλώμενον ὀχήματι.

23. θέῃσι πεδίοιο ἀντὶ τοῦ διὰ τοῦ πεδίου.

24. λαιψηρά] ἀντὶ τοῦ λαιψηρῶς ἤτοι λίαν ταχέως.

25. τὸν δ' ὁ γέρων Πρίαμος] ἡ γὰρ περὶ τὸν υἱὸν εὔνοια παραιρεῖται τὴν ἀμβλυωπίαν τοῦ γήρως. ἄλλως τε προτρέχει τῶν αἰσθήσεων ὁ νοῦς· καὶ "νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει."

26. πάλιν διὰ πεδίου.

27. εἶσι] ἐξέρχεται καὶ ἄνεισιν. ἔδει δὲ πρὸ ὀπώρας εἰπεῖν· τότε γὰρ ἡ τοῦ κυνὸς ἐπιτολὴ γίνεται.

28. ἄστρασιν] κατὰ μεταπλασμὸν γίνεται ὡς τὸ πρόβασι καὶ ἔγκασιν.

29. κύν' Ὠρίωνος] τὸν ἀστρῷον κύνα οὕτως ἔφη. ἔνιοι δέ φασι τὸν κατηστερισμένον κύνα οὐκ Ὠρίωνος, ἀλλ' Ἠριγόνης ὑπάρχειν, ὃν καταστερισθῆναι διὰ τοιαύτην αἰτίαν. Ἰκάριος γένος μὲν ἦν Ἀθηναῖος, ἔσχε δὲ θυγατέρα μονογενῆ Ἠριγόνην, ἥτις κύνα νήπιον ἔτρεφε. ξενίσας δέ ποτε τὸν Διόνυσον ὁ Ἰκάριος ἔλαβεν ἀπ' αὐτοῦ οἶνόν τε καὶ ἀμπέλου κλῆμα. κατὰ δὲ τὰς τοῦ θεοῦ ὑποθήκας περιῄει τὴν γῆν, προφαίνων τὴν τοῦ Διονύσου χάριν, ἔχων σὺν ἑαυτῷ τὸν κύνα. γενόμενος δὲ ἐκτὸς τῆς πόλεως βουκόλοις οἶνον παρέσχεν· τῶν δὲ ἀθρόως ἐμφορησαμένων οἱ μὲν εἰς βαθὺν ὕπνον ἐτράπησαν, οἱ δὲ περιλειπόμενοι, θανάσιμον νομίσαντες εἶναι τὸ πόμα, πλήσσοντες ἐφόνευσαν τὸν Ἰκάριον. μεθ' ἡμέραν δὲ νηψάντων αὐτῶν, καταγνόντες ἑαυτῶν εἰς φυγὴν ἐτράπησαν. ὁ δὲ κύων ὑποστρέψας πρὸς τὴν Ἠριγόνην δι' ὠρυγμοῦ ἐμήνυσεν αὐτῇ τὰ γεγονότα· ἡ δὲ μαθοῦσα τἀληθὲς ἑαυτὴν ἀνήρτησε. νόσου δὲ ἐν Ἀθήναις γενομένης, κατὰ χρησμὸν Ἀθηναῖοι τόν τε Ἰκάριον καὶ τὴν Ἠριγόνην ἐνιαυσιαίαις τιμαῖς ἐγέραιρον. ὧν καὶ καταστερισθέντων, Ἰκάριος μὲν Βοώτης ἐκλήθη, Ἠριγόνη δὲ παρθένος· ὁ δὲ κύων τὴν ἑαυτοῦ ὀνομασίαν ἔσχεν. ἱστορεῖ Ἐρατοσθένης ἐν τοῖς ἑαυτοῦ καταλόγοις.

32. χαλκὸς ἔλαμπε] ἔδει χρυσὸς ἔλαμπεν ἀπὸ κρείσσονος καὶ

2. * κέλητα] κέλημα
8. νοῦς—] Epicharmi verba.
14. τὸν ἀστρῷον—] De hoc scholio v. Valcken. p. 67–70.
* οὕτως] οὗτος
19. * περιῄει] προῄει
21. * ἐκτὸς] ἐντὸς
24. μεθ' ἡμέραν Valcken. p. 67] μεθημέρας
26. * ὠρυγμοῦ] ὀρυγμοῦ

λαμπροτέρου. συμφωνεῖ γοῦν τοῦτο τῷ περὶ τὴν ἐπιφάνειαν τῆς ἀσπίδος εἶναι τὴν χαλκῆν πτυχήν.

34. *ὑψόσ' ἀνασχόμενος*] *πρῶτον τοῖς θεοῖς ἄρας τὰς χεῖρας, οὕτω κόπτει τὴν κεφαλήν.*

36. *Ἀχιλῆϊ μάχεσθαι*] *ἄξιον ζητήσεως πῶς ἀπόντος Ἀχιλλέως μηδεὶς πολεμεῖ Ἕκτορι. ἢ τάχα συνεπορεύοντο αὐτῷ καὶ οἱ λοιποὶ ἀριστεῖς διώκοντι Ἀπόλλωνα. Μεγακλείδης δέ φησι ταῦτα πάντα πλάσματα εἶναι.*

37. *χεῖρας ὀρεγνύς*] *ὡς ἐπ' αὐτὸν ἐκτείνας τὰς χεῖρας· ἔδει γὰρ οὐ μόνον λόγοις παρακαλέσαι τὸν Ἕκτορα, ἀλλὰ καὶ διὰ τοῦ σχήματος, ἵν' εἰ τύχοι μὴ ἀκούσας τῶν λεγομένων, ἀλλὰ οὖν τὸ σχῆμα τοῦ πατρὸς ὁρῶν οἰκτείρῃ τὸν γέροντα.*

38. *Ἕκτορ*] *πιθανῶς διεῖλε τὸν οἶκτον εἰς μέρη, τό τε πρὸ θανάτου καὶ μετὰ θάνατον, ἵνα μήτε μακρὸς εἴη μήτε ἀσυμπαθής. πῶς οὖν Ἀλεξάνδρου μὲν τὸ μονομάχιον οὐ καρτερεῖ θεωρεῖν, Ἕκτορος δέ; ἢ ὅτι ὁ μὲν ἐν τῷ πεδίῳ συνέβαλεν, ὁ δὲ πρὸ τοῦ τείχους, ἔνθα παρῆσαν πάντες τῷ μεγέθει τοῦ κινδύνου καταπλησσόμενοι. ἄλλως τε ἐκεῖνον μὲν ἀπιὼν ἐᾷ πολεμεῖν, εἰδὼς ὀλίγον λειπόμενον Μενελάου καὶ τῶν θανάτων πρόξενον γεγονότα, καὶ ὅτι οὐδὲν πρὸς σωτηρίαν τῆς πόλεως ἐκεῖνος ὡς Ἕκτωρ ἠδύνατο· τὸν δὲ μένων ἱκετεύει μὴ πολεμεῖν, τὸ διάφορον ἑκατέρων εἰδὼς τῆς τε ἰσχύος καὶ τῆς πρὸς τὴν πόλιν ὠφελείας. ἄλλως τε οὐ θεατὴς τοῦ πολεμεῖν, ἀλλ' ἱκέτης τοῦ μὴ πολεμεῖν ἐπιμένει.*

ἀνέρα τοῦτον] *οἱονεὶ δακτυλοδεικτεῖ αὐτῷ τὸν Ἀχιλλέα.*

39. *οἶος*] *περικόπτει αὐτοῦ πάσας τὰς ἀντιρρήσεις, λέγων ὅτι εἰ μένειν δεῖ, ἀλλ' οὐ μόνον.*

41. *αἴθε θεοῖσι φίλος*] *ἀντὶ τοῦ εἰπεῖν, εἴθε ἐχθρὸς τοῖς θεοῖς γένοιτο ὡς ἐμοί, ὁμοίως εἶπε τῷ "τίω δέ μιν ἐν Καρὸς αἴσῃ"* (Il. 9, 378). *σημειοῦνται δέ τινες ὅτι ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον δεδήλωκεν.*

42. *τινὲς ἔδοιντο γράφουσιν εὐκτικῶς. ἃ δὲ ἀπεύχεται τῷ παιδί, ταῦτα τῷ πολεμίῳ ἀρᾶται.*

44. *εὔνιν*] *ὅ ἐστιν εὐναζόμενον, ἐξ οὗ τὸ ἡσυχάζον δηλοῦται, ἐξ οὗ τὸ ἠρημωμένον, ἐξ οὗ τὸ ἐστερημένον· ἢ παρὰ τὸ εἷς ἑνός ἕνις*

14—23. *πῶς οὖν* —] Scholion Porphyrii: v. ad vol. 3 p. 181. 19. *θανάτων*] *Δαναῶν* Schraderus p. 39.

εὖνις ὁ μεμονωμένος. καὶ δασύνεται. καὶ τοῦτο δὲ εἰς ἔλεον εἰσάγει, ὡς ἄξιον κἂν διὰ τὴν τῶν ἄλλων παίδων ἀποβολὴν ἐλεῆσαι τὸν πατέρα. ἅμα δὲ καὶ ὑπομιμνήσκει τῆς Ἀχιλλέως δεινότητος καὶ ἀνδρείας.

48. κρείουσα γυναικῶν] ἀντὶ τοῦ βασιλικωτάτη καὶ ἐντιμοτάτη, ὡς τὸ "δῖα γυναικῶν."

49. εἰ μὲν ζώουσι] ἐλεεινὴ λίαν ἡ ἄγνοια τοῦ πατρός. ὁ δὲ Ἕκτωρ ᾔδει περὶ τῆς ἀναιρέσεως αὐτῶν. ἴσως δὲ διὰ τοῦτο λέγει, ἵνα εἰ μὴ ἐκεῖνοι ζῶσι καὶ ἀναρρύονται, κἂν οὗτος ὑπολειφθῇ, τὸν πατέρα ἐλεήσας τῆς στερήσεως τῶν τοσούτων καὶ τοιούτων υἱῶν.

περισσὸς ὁ ἄν· εἰ γὰρ ἦν εὐκτικὸν, ἔδει τὸ ἑξῆς ἀπολυσαίμεθα. ἢ παραπληρωματικός ἐστιν.

51. Ἀρίσταρχος ὑφ' ἓν ὡς πασιμέλουσα (Od. 12, 70). ἐν δὲ Ὀδυσσείᾳ "ὄνομα κλυτὸς Αἴθων" κατὰ παράθεσιν. εἰ δὲ, φασὶν, οὐκ ἔστιν ἐξ οὐδετέρου καὶ ἀρσενικοῦ σύνθετον, τί ἐστι τὸ Ἀστυάναξ καὶ ποιηματογράφος; κατὰ σύνθεσιν οὖν ἐστὶν, ὡς τὸ τοξόκλυτος παρὰ Πινδάρῳ καὶ περίκλυτος.

53. τοὶ τεκόμεσθα] ὁμοίως τῷ "Δάρδανον αὖ τέκετο" (Il. 19, 215) ἐπὶ ἀρσενικοῦ.

55. ἢν μὴ καὶ σὺ θάνῃς] οὐδεὶς γὰρ αὐτοὺς ποθήσει σοῦ περιόντος. ἄκρως δὲ αὐτὸν ὑπερηύξησε· τὴν μὲν γὰρ τῶν ἄλλων παίδων ἀναίρεσιν μόνοις φησὶ τοῖς γονεῦσι πένθος παρασχεῖν, τὸν δὲ Ἕκτορος θάνατον δημοσίαν ἔσεσθαι συμφορὰν, ἵνα εἰ καὶ πρὸς τὴν ἰδίαν σωτηρίαν ὀλιγωροίη, ἀλλὰ οὖν τῶν κοινῇ συμφερόντων προνοησάμενος ἀποστῇ τοῦ κινδύνου.

[* ὁ νοῦς τῶν ἐπῶν οὕτως ἔχει· τοῖς ἄλλοις δὲ λαοῖς ὀλίγη γενήσεται ἡ θλῖψις, ἐὰν οὐ θάνῃς καὶ σὺ, δαμασθεὶς ὑπὸ τοῦ Ἀχιλλέως, ὥστε ἢν καὶ σὺ ἀποθάνῃς, μεγάλη ἐσεῖται τοῖς λαοῖς καὶ ἡ ὑπὲρ ἐκείνων λύπη.]

56. τεῖχος τὴν πόλιν· Καλλίμαχος "ὁ δ' ἐκ Λοκρῶν τείχεος Ἰταλικοῦ παρῆν ἀμύντωρ." φιλοπάτριδα δὲ ὄντα ὑπομιμνήσκει τῆς πόλεως. τινὲς δὲ συμπαθέστερον γράφουσιν ἐμὸν θάλος.

στικτέον δὲ μετὰ τὸ Τρῳάς, ἵνα ἀπ' ἄλλης ἀρχῆς ἀπαγορευτικὸς ὁ λόγος γένηται, μηδὲ μέγα κῦδος ὀρέξῃς.

26—29. Scholion manus recentissimae seculi 15.
30. Καλλίμαχος] V. Schneider. vol. 2 p. 650.

56, 57. ὄφρα σαώσῃς Τρῶας] φιλότιμον δὲ αὐτὸν εἰδὼς ὑπήλλαξε τὴν ἀδοξίαν πρὸς εὔκλειαν, καὶ κοινὴν σωτηρίαν αὐτῷ τὴν φυγὴν εἶναι λέγει.

58. φίλης αἰῶνος] ἔοικε ταῦτα πατρὶ καὶ γέροντι καὶ πεῖσαι θέλοντι, ἐγκωμιάζειν τὸ ζῆν καὶ ἐπὶ φιλοψυχίαν παρακαλεῖν. ἀντιτέθεικε δὲ τῇ τοῦ ἐχθροῦ δόξῃ τὴν αὐτοῦ ἀτυχίαν, εἰς φθόνον κινῶν τὸν Ἕκτορα. ἡ δὲ κατασκευὴ ἀπὸ τοῦ ποιεῖν καὶ πάσχειν.

59. ἀντὶ τοῦ ἔτι τὸν εὖ φρονοῦντα καὶ συμβουλεύοντα. ἢ ἀντὶ τοῦ ζῶντα· τὸ γὰρ ζωτικὸν φρένας καλεῖ, ὡς ἐπὶ Πατρόκλου "ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν" (Il. 23, 104), ὅ ἐστι τὸ συνεκτικὸν τοῦ ζῆν.

60. γήραος οὐδῷ] ἐξόδῳ τοῦ βίου, ἐφ' ᾧ ἤδη ὁ βίος ἐπεραιώθη καὶ διεξελήλυθεν ἐξ αὐτοῦ.

62. ἐναργῶς πέφρακε τὰ τῶν πορθήσεων, ὡς καὶ ἐν ἄλλοις· "ἄνδρας μὲν κτείνουσι, πόλιν δέ τε" (Il. 9, 593). καὶ μὴ γράψας δὲ τὴν Ἰλίου πόρθησιν ὅμως ἐδήλωσεν αὐτῆς τὰ παθήματα, πᾶσαν ἡλικίαν τὴν ἐν πολέμῳ τι πάσχουσαν παραλαβών. ταῖς δὲ γυναιξὶν ἡ εἰς τὸ σῶμα ὕβρις δαιμονίως μείζων πάντων, καὶ τοῖς ἀνδράσιν ἐπιφθονωτέρα. πάντα δὲ ὑπ' ὄψιν ἤγαγεν ἐν βραχεῖ, χρησάμενος ἅμα καὶ ἀπεριέργως ταῖς λέξεσιν· οὐ γὰρ ὑψορόφους ἢ δαιδαλέους θαλάμους λέγει, οὐδὲ θύγατρας καλλικόμους ἢ καλλισφύρους· ἀλλ' ἀπήλλακται τῶν ἐπιθέτων αὐτῷ τὰ δυστυχοῦντα τῶν σωμάτων.

63. κεραϊζομένους] ἡ μεταφορὰ ἀπὸ τῶν τοῖς κέρασι βαλλόντων ζῴων· ὅθεν τὸν ἄθυμον καὶ ἀόργητον ἀκέραιον καλοῦμεν.

65. νυούς] τὰς τῶν υἱῶν γυναῖκας.

66. περισσὸς ὁ ἄν. πρώταις δὲ θύραις ταῖς αὐλείοις, ταῖς ὑπὸ τὴν εἴσοδον. πρώταις ὡς πρὸς τὰς ἔνδον. καὶ τὸ πύματον δὲ πολλῆς οἰκτρότητος, οἷον θεασάμενον πάντα τὰ προκείμενα δεινά.

67. ὠμηστής καὶ ὀρχηστής παραγωγά, οὐ σύνθετα. τὸ δὲ ἐρύουσιν ἐνεστώς ἐστιν ἀντὶ μέλλοντος. οἰκτροτάτη δὲ ἡ μετὰ θάνατον αἰκία· καὶ ὅτι οὐδὲ ἐν τοῖς βασιλείοις ταφήσεται, ἀλλ' ἔξω που ῥιφήσεται.

68. ῥεθέων] τῶν μελῶν. δείκνυσι δὲ ὅτι κατὰ παντὸς μέλους τὸ ζωτικὸν καὶ ψυχικόν ἐστι. ῥέθη δὲ τὰ ζῶντα μέλη, δι' ὧν ῥέζεταί τι· Αἰολεῖς δὲ τὸ πρόσωπον· καὶ ῥεθομαλίδας τοὺς εὐπροσώπους

19. δαιδαλέους] δαιδαλαίους
34. τούς] * τάς: sed masculinum ῥεθομαλίδαι est apud Suidam. Sed probabilius est femininum.

φασί. Διονύσιος δὲ καὶ νῦν τὸ πρόσωπόν φησι δηλοῦσθαι· διὰ γὰρ μυκτήρων ἢ στόματος ἐκπνέομεν, καίτοι γε τοῦ ποιητοῦ λέγοντος (Il. 14, 518) "ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλήν."

69. Ἡρωδιανὸς θυραωρούς γράφει· πύλας γὰρ ἐπὶ πόλεώς φασι. παλαιὸν δὲ ἔθος τηρεῖσθαι κυσὶ τοὺς πυλῶνας, ἵνα βαΰζοντες δηλοῖεν τοῖς ἔνδον τοὺς ξένους.

70. ἀλύσσοντες] ἄγαν λυσσῶντες· τοῦτο γὰρ τοῖς κατοικιδίοις συμβαίνει κυσὶν, ἐπὴν γεύσωνται σώματος. οἱ δὲ, ἐν ἄλῃ ἰόντες, ὡς τὸ "ἡ δ' ἀλύουσ' ἀπεβήσετο." οἱ δὲ παρὰ τὴν ἄλυν, ὅ ἐστι παίγνιον, ὁμοίως τῷ "κυνῶν μέλπηθρα."

71. νέῳ δέ τε πάντ' ἐπέοικεν] δοκεῖ τοῦτο προτρεπτικὸν εἶναι μᾶλλον ἐπὶ θάνατον ἢ ἀποτρεπτικόν· καίτοι φαίνεται βουλόμενος πείθειν τὸν Ἕκτορα εἰσιέναι εἰς τὸ τεῖχος καὶ μὴ ὑπομένειν τὸν Ἀχιλλέα. ῥητέον δὲ ὅτι τῷ ἅπαξ ἀναγκασθέντι ἀποθανεῖν νέῳ τοῦτο ἔοικεν, ὁ δὲ τὸν ἐκ προπετείας ὑφίστατο θάνατον. διό φησι σαφηνίζων τὸν νοῦν "πάντα δὲ καλὰ θανόντι περ ὅττι φανήῃ," ὡς ἄρα καλὸν τὸ ἀποθανεῖν ὑπὲρ πατρίδος καὶ οἰκείων ἐπὶ λυσιτελείᾳ τῶν προσηκόντων, ἵν' ᾖ, πάντα δὲ τὰ τῆς αἰκίας καλά εἰσι τῷ θανόντι, ἐὰν ἐκ τοῦ ἀποθανεῖν καλόν τι φανῇ καὶ λυσιτελές. σὺ δὲ, φησὶ, ῥιψοκινδύνως ταῦτα βούλει παθεῖν, οὐκ ὠφελῶν τοὺς οἰκείους.

75. αἰδώς ἐστιν ἡ ἀπὸ τῆς τοῦ σώματος ὄψεως αἰσχύνη.

77. πολιάς] ὅρα πῶς εἰς αὐτὰ λήγει ἀφ' ὧν ἤρξατο· "ᾤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅγε κόψατο χερσίν.—ἦ ῥ' ὁ γέρων, πολιὰς δ' ἀνὰ τρίχας ἕλκετο χερσὶ τίλλων ἐκ κεφαλῆς" (33–78).

79. μήτηρ δ' αὖθ' ἑτέρωθεν] παθητικὰ ταῦτα, καὶ κόρον φέροντα τῷ μήκει· διὸ ταμιεύεται τὴν Ἀνδρομάχην ἐπὶ νεκρῷ καὶ συρομένῳ τῷ Ἕκτορι, ἵνα μὴ πάλιν οἱ αὐτοὶ θρῆνοι ὦσιν.

80. γυμνοῦσα τὸ περὶ τοὺς μαζοὺς κόλπωμα· καὶ "αἶγας ἀνιεμένους" ἀντὶ τοῦ γυμνοῦντας καὶ ἐκδέροντας. κινητικὸν δὲ καὶ γραφικὸν τὸ σχῆμα. ἔδειξε δὲ ὅσον φιλοτεκνότεραι γυναῖκες· ὁ μὲν γὰρ περὶ ἑαυτοῦ δέδιεν, ἡ δὲ περὶ παιδὸς καὶ ἄνω καὶ κάτω βοᾷ "φίλον θάλος, ὃν τέκον αὐτή" (87), τῶν ἐπὶ τῇ πατρίδι δεινῶν ἐπιλελησμένη. παρατηρητέον δὲ καὶ τὸ σχῆμα τοῦ λόγου, ἀπὸ μετοχῆς εἰς ῥῆμα μεταβαῖνον. ἀποκαλύπτει δὲ ὡς ἀπὸ τοῦ κόλπου

5. φασι Ven. 458] φησι   32. θάλος] θάλος καὶ

τὰ γεννήσαντα καὶ θρέψαντα μέρη. ἐλέγετο δὲ κόλπος τὸ ἐπάνω τῆς ζώνης κόλπωμα τοῦ πέπλου· ὅθεν καὶ προκόλπιον· περὶ γὰρ τὰς ὀσφῦς ἐζώννυντο.

82. τέκνον ἐμόν] οὐκ ἀρκεῖται τῷ τέκνον, ἀλλὰ τὸ ταραχῶδες καὶ ἐναγώνιον τῆς ψυχῆς παρασκευάζει αὐτὴν καὶ τὸ ἐμόν προσθεῖναι. τὸ δὲ αἴδεο ἀντὶ τοῦ ἀπόδος τούτοις τὴν χάριν ὑπὲρ ὧν σοι ἐποίησαν.

83. αὐτήν] εἰ μὴ σαυτὸν, φησὶν, ἐλεεῖς καὶ τῆς σῆς φροντίζεις ζωῆς, ἐμὲ αὐτὴν τὴν γεννήτριαν καὶ τροφὸν ἐλέησον. συναπτέον δὲ μέχρι τοῦ ἐπέσχον, καὶ ἀπὸ ἄλλης ἀρχῆς τὸ εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον· μετὰ δὲ τὸ ἐπέσχον ὑποστιγμή.

84. φίλε τέκνον] πρὸς τὸ σημαινόμενον ὑπήντησε. τὸ δὲ ἄμυνε ἀντὶ τοῦ ἀμύνου. ἱκανὰ δὲ ταῦτα πρὸς πειθώ· οὐ γὰρ ἀποστῆναι τῆς μάχης αὐτῷ συμβουλεύει, ἀλλὰ μετὰ ἀσφαλείας ἀπομάχεσθαι. ἄκρως δὲ τῶν φυσικῶν ὀνομάτων οὐκ ἀφίσταται, Ἕκτορ, φίλον τέκνον, φίλον θάλος, ὃν τέκον αὐτή.

85. ἐών γραπτέον, οὐκ ἰών. πρόμος δὲ ὁ πρὸ τῶν ἄλλων μαχόμενος, οὐχ ὁ βασιλεύς.

86. σχέτλιος] ὁ πολλῶν ἡμῖν αἴτιος κακῶν. ἐπιφωνήσεις δὲ πολλὰς καὶ ποικίλας ἀπαιτεῖ τὸ πάθος.

88. οὐδ' ἄλοχος] φίλοικτον χρῆμα γυνή. καὶ τοῦτο μέγα τοῖς τεθνεῶσιν ᾤοντο. πολύδωρος δὲ ἡ εὔμορφος· περὶ γὰρ τούτων πολλὰ τοῖς συγγενέσιν ἐδίδοτο.

τὸ μέγα νῦν ἐπὶ τόπου. οἶδε δὲ αὐτὸν τοῦτο μάλιστα δεδοικότα, τὴν τοῦ σώματος ἀπώλειαν· διὸ καὶ εἰς μέσον αὐτὸ ἤγαγε· φησὶ γὰρ οὗτος πρὸς Αἴαντα "οἴκαδ' ἐμὸν σῶμα δόμεναι πάλιν" (Il. 7, 79).

91. πολλὰ λισσομένω] σημαίνει ὅτι πολλὰ παραλέλοιπεν, ἃ προσεπινοεῖν δεῖ.

ἔστι γὰρ θρασὺς μὲν καὶ ἕτοιμος, ἀλόγιστος δὲ καὶ ἀμετάβλητος.

93. χειῇ] ἐπὶ μὲν τῶν ἄλλων ζῴων ξυλόχους τε καὶ εὐνάς φησι· δύναται γὰρ καὶ ἕτερα ζῷα χωρῆσαι. νῦν δὲ χειὰν, τὴν αὐτὸν μόνον χωροῦσαν καὶ τρόπον τινὰ ἔλυτρον αὐτοῦ οὖσαν· "οὐδὸς ἀμφοτέρους

10. ἀπὸ Vill.] ὑπὸ   17. οὐκ ἰών Vill.] οὐχὶ ὤν

ὅδε χείσεται" (Od. 18, 17). ἢ ὅτι δίκην ὕδατος ἐκχεῖται εἰς αὐτὴν τὸ θηρίον. ἀγριώτερα δὲ τὰ ἐν ἐρήμῳ γεννώμενα. φησὶ δὲ ἐν τῷ ς' περὶ ζῴων Ἀριστοτέλης ἐσθίοντα αὐτὸν μύρμηκας ἢ κανθαρίδας ἰοῦ πληροῦσθαι πλείονος τοῦ ἐμφύτου καὶ ἐρεθίζεσθαι καὶ λυσσᾶν, ἐπιθυμοῦντά που ἀπομάξασθαι τὸν ἐνοχλοῦντα ἰόν.

*ὀρέστερον] ὁ ἐν ὄρει διατρίβων.

95. σμερδαλέον δέ] εἰκαστικὸς ὁ λόγος· βλέπων γὰρ χαλεπὸν, ἑλίσσει τὴν σπεῖραν περὶ τὴν χειάν· γίνεται γὰρ ἐπὶ τῇ μάχῃ αὐτοῦ τεθηγμένου ὅ τε ἑλιγμὸς τῶν σφονδύλων χαλεπὸς καὶ ὁ συριγμὸς σφόδρα φοβερὸς καὶ τὸ βλέμμα δεινὸν καὶ ὕφαιμοι οἱ ὀφθαλμοί. ἡ δὲ τροφὴ ὕλη τῆς ὀργῆς, ἡ δὲ στάσις τεκμήριον τῆς ῥώμης καὶ εὐτολμίας, ὁ δὲ τόπος ἔρημος καὶ ἀνήμερος πρὸς κατάπληξιν.

97. πύργῳ ἔπι προὔχοντι] παρὰ τὸ προέχον τοῦ πύργου, ὡς νείατον ἀνθερεῶνα καὶ νείαιραν γαστέρα. ἡ δὲ ἐπί ἀντὶ τῆς παρά. ὑπονοητέον δὲ τὴν οἰκοδομὴν κάτωθεν οὖσαν πλατεῖαν καὶ καταλήγειν εἰς στενόν. προὔχοντα δὲ τὸ προέχον τοῦ πύργου λέγει.

99. ὤ μοι ἐγών] διαπόρησις ὁ τρόπος. δείκνυσι δὲ ὅσον κακὸν ἡ φιλοτιμία· διὰ γὰρ τὸ μὴ ἀκοῦσαι κακὸς ὑπὸ κακωτέρου ἀπόλλυται. καὶ ἔστιν ὁ λογισμὸς γενναίου μὲν φρονήματος, ἄφρονος δὲ μᾶλλον· κακὸν γὰρ κακῷ ἠθέλησεν ἰάσασθαι.

100. ἀναθήσει] ἀντὶ τοῦ περιάψει. καὶ πάλιν ἐκ τοῦ ἐναντίου "ἀγάλματ' ἀνῆψεν" (Od. 3, 274) ἀντὶ τοῦ ἀνατέθεικεν. Ἀττικοὶ δέ φασιν ἀναθεῖναι τὸ φορτίον ἀντὶ τοῦ ἐπιθεῖναι. οἱ δὲ ἀντὶ τοῦ αὐξήσει.

101. τὸ ἑξῆς, ὅς μ' ἐκέλευε νύχθ' ὕπο τήνδ' ὀλοὴν Τρωσὶ ποτὶ πτόλιν ἡγήσεσθαι. στικτέον δὲ εἰς τὸ ὀλοήν· ἐὰν γὰρ συνάψωμεν, ἐναντίον φαίνεται· οὐ γὰρ νυκτὸς ὥρμησεν Ἀχιλλεὺς, νυκτὸς μέντοι ὁ Πολυδάμας συνεβούλευσεν (Il. 18, 254).

105. καὶ Τρῳάδας] τὰ γὰρ τῶν γυναικῶν ὀνείδη χαλεπώτερα.

106. κακώτερος] ἀντὶ τοῦ ἥσσων· οὐ γὰρ κακὸς Ἕκτωρ. ἔθος δὲ τοῖς χείροσι ψέγειν τὰ τῶν κρεισσόνων ἔργα, καὶ τοῖς μείζοσιν ἀνιαρὸν τὸ ὑπὸ ἐλασσόνων κακολογεῖσθαι.

110. ἠέ κεν αὐτῷ ὀλέσθαι] οἰωνίζεται νῦν ἐν κινδύνῳ ὢν τῶν δυσχερῶν τι καὶ τῶν καλῶν.

8. τῇ μάχῃ] τὴν μάχην Valcken. p. 72.

πρὸ πόληος] ὑπὲρ τῆς πόλεως· ὑπὲρ αὐτῆς γὰρ ἀγωνίζεται.

111. εἰ δέ κεν] ἤρτηται μέχρι τοῦ (122) "ἀλλὰ τίη μοι ταῦτα," καὶ οὐκ ἔχει ἀνταπόδοσιν. ἤτοι οὖν διαπορητικός ἐστιν ὁ λόγος· ἆρα τὴν ἀσπίδα κατάθωμαι καὶ τὴν περικεφαλαίαν καὶ τὰ καὶ τὰ ποιήσω· λέγει δὲ ἀποθέσθαι τὰ ὅπλα, ὅπως μὴ δοκῇ ὡς πολεμίῳ προσιέναι· ἢ ἵνα μὴ διὰ τῆς θέας τῶν ὅπλων ἐπ' αὐτὸν ὁρμήσῃ. ὅσον δέ ἐστιν ἐν ταῖς νίκαις ἀφόρητος, τοσοῦτον ἐν ταῖς ἀτυχίαις ταπεινός. ἄλλως τε τὸ μὲν ἅπαντα ἐνθυμεῖσθαι συνετοῦ, τὸ δὲ ἐκλέγεσθαι τὰ ἄριστα γενναίου.

118. ἅμα δ' ἀμφὶς ἄλλ' ἀποδάσεσθαι] ἅμα τῇ προτέρᾳ ὑποσχέσει καὶ ἕτερα, χωρὶς ὧν Ἀλέξανδρος ἥρπασεν. οἱ δὲ τὸ ἀμφίς ἀντὶ τοῦ δίχα, ὅ ἐστιν εἰς δύο· ταύτην δὲ τὴν ἀντέκτισιν ἴσως ποινὴν Ἀγαμέμνων καλεῖ.

119. μετόπισθε] μετὰ τὴν πρὸς Ἀχιλλέα ὑπόσχεσιν. γερούσιον δὲ σεμνόν, ἢ τὸν τοῖς γέρουσιν ὀφείλοντα προτείνεσθαι. τὸ δὲ Τρωσίν ἀντὶ τοῦ παρὰ Τρώων.

123. διὰ τοῦ ἰών ἐδήλωσεν ὅτι τὸ ἵκωμαι ἀντὶ τοῦ ἱκετεύσω, ὡς τὸ "τὴν ἱκόμην φεύγων." ἀνάπαλιν δὲ ἐκεῖ "ἐς Πηλῆ' ἱκέτευσεν" (Il. 16, 574) ἤτοι ἦλθεν.

124. αἰδέσεται] μετὰ αἰδοῦς ἀποδέξεται.

γυμνὸν ἐόντα] τοῦτο γὰρ αἰσχρὸν ἡγεῖται, εἰ δίχα τῶν ὅπλων ἀποθανεῖται.

126. *οὐκ ἔστι, φησίν, ἄντικρυς Ἀχιλλέως μύθους διηγεῖσθαι, ὁποίους ἂν παρθένοι καὶ ἠίθεοι. οἱ γὰρ ἀρχαῖοι νομαδικῷ βίῳ χρώμενοι μηδέπω οἰκίας κεκτημένοι ἀναίδην ἀλλήλοις ἐπιπλεκόμενοι εἰς κοῖλα τῶν δρυῶν καὶ τῶν λίθων ἐξετίθεσαν τὰ γεννώμενα βρέφη. εὑρίσκοντες δέ τινες ταῦτα ἐνόμιζον ἐκ τούτων γεγεννῆσθαι, αἱ τίκτουσαι γυναῖκες ἀνέτρεφον τὰ ἐκτιθέμενα παρὰ τούτων βρέφη ἐν τοῖς κοιλώμασι τῶν δρυῶν καὶ πετρῶν. τοῦτο δὲ καὶ κατὰ τὴν Ὀδύσσειαν ἐμφαίνει· "οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου" (Od. 19, 163) καὶ τὰ ἑξῆς.

127. ληρῶδες ἀρχαιολογίας διηγεῖσθαι, ἀπὸ τοῦ τὸ παλαιὸν ὀρεινόμων ὄντων τῶν ἀνθρώπων ἐκεῖσε τίκτεσθαι· ἢ χρησμοὺς διηγεῖσθαι·

23. ἄντικρυς Bekk.] ἀντικρὺ fuit: v. Valcken. p. 73.
30. παλαιφάτου] *παλαιφάγου, quae aliorum librorum scriptura
32. ληρῶδες Cobetus] ληρώδεις

Δωδώνη γὰρ δρῦς, πέτρα δὲ Πυθών. ἢ περιττολογεῖν ἀπὸ τῶν περὶ τὰς δρῦς φύλλων καὶ τὰς πέτρας κυμάτων. καλῶς δὲ τὸ φλύαρον τῶν λόγων ἀκάκων ὁμιλίαις παραβάλλει μύθοις παλαιοῖς τερπομένων. διὰ δὲ τὴν πολυλογίαν τῇ ἀναλήψει ἐχρήσατο.

129. ἔριδι ξυνελαυνέμεν] εἰς ἔριν ἢ μετ᾽ ἔριδος συμβαλεῖν.

130. εἴδομεν] λείπει τὸ ἵνα. καίτοι δὲ προλογισάμενος οὐ μένει τὴν θέαν Ἀχιλλέως, ἀλλὰ νικᾶται τῷ πάθει.

131. ὁ δέ οἱ σχεδὸν ἦλθεν] ὑφ᾽ ἓν πάντα πράττεται. οἱ μὲν δέονται, ὁ δὲ διαλογίζεται, ὁ δὲ ἔπεισιν. ἅμα δὲ πάντα λέγειν ἀδύνατον.

132. κορυθάϊκι] τῷ κινοῦντι ἐν τοῖς πολέμοις τὴν περικεφαλαίαν· "ἀμφὶ δὲ πήληξ σμερδαλέον κροτάφοισι τινάσσετο" (Il. 15, 609).

135. ἠελίου ἀνιόντος] πρὶν διασκεδάσει τὰς αὐγάς, ὅτε καὶ ὁραθῆναι δύναται.

136. ὑπερβατῶς, Ἕκτορα δ᾽ ἕλε τρόμος.

137. ὀπίσω δὲ πύλας λίπε] φεύγει γὰρ ἐπὶ τὸν ἐρινεὸν καὶ τὸ τοῦ Ἴλου σῆμα εἰς τὰ δεξιὰ τῆς πόλεως· ὁ γὰρ Ἀχιλλεὺς ἀπὸ τοῦ Σκαμάνδρου καὶ τῶν ἀριστερῶν μερῶν ἀναστρέφει. ἢ ὀπίσω ἀντὶ τοῦ κατὰ νώτου, καὶ πυλῶν ἐφ᾽ ὧν ὁ Πρίαμος εἱστήκει.

φοβηθεὶς γὰρ βῆ ἀντὶ τοῦ φεύγων ἀπέβη.

139. κίρκος ὄρεσφιν] ὄρειος γάρ ἐστι καὶ ὀξύπτερος καλεῖται διὰ τὸ τάχος τῆς οἰκείας πτήσεως.

141. πάλιν φοβεῖται ἀντὶ τοῦ φεύγει. ὕπαιθα δὲ ἀντὶ τοῦ ἔμπροσθεν ἢ ἐκ πλαγίου.

ὀξὺ λεληκώς] ἐγγὺς γὰρ γεγονὼς πυκνὰς τὰς ἐπιπτήσεις ποιεῖ καὶ βοᾷ τῇ τοῦ λαβεῖν ἐλπίδι. ἰδίωμα δὲ φωνῆς τὸ λεληκέναι ὡς τὸ κλάζειν.

145. σκοπιὴν καὶ ἐρινεόν] οὐ τὸν ὄντα πρὸς τὸ τεῖχος, ἀλλ᾽ ἐπὶ τὸ σῆμα τοῦ Ἴλου.

146. τὸ ἑξῆς, κατ᾽ ἀμαξιτὸν αἰὲν ἐσσεύοντο ὑπὲκ τείχεος. βραχὺ δὲ διασταλτέον μετὰ τὸ ὑπέκ. ἐμφαντικώτατα δὲ κεῖνται αἱ προθέσεις. δηλοῦσι γὰρ τὸν μὲν ὑποδῦναι τὸ τεῖχος σπεύδοντα, τὸν δὲ ἐξωθοῦντα αὐτόν. ἀμαξιτὸς δὲ ἡ λεωφόρος καὶ βασιλικὴ ὁδός.

147. κρουνοὶ καλοῦνται καὶ οἱ ἀπὸ τῶν ὀρέων μετὰ ψόφου καὶ κρούσεως νάοντες χειμάρροι. νῦν δὲ αἱ τῶν πηγῶν ἀπόρροιαι· ὁ γὰρ Σκάμανδρος κατὰ ἀνατολὰς τῆς Ἴδης ῥεῖ, πρὸ τριῶν τῆς Ἰλίου

σταδίων, ὑπόγειος δὲ γινόμενος ἐν Ἰλίῳ δύο ἀναδίδωσι πηγάς, ἀφ' ὧν οἱ κρουνοί. εἰς δὲ τὸ Σκαμάνδρου λείπει ἡ ἀπό, ἵν' ᾖ ἀπὸ Σκαμάνδρου. δαιμονίως δὲ τὸν τῆς διώξεως καιρὸν οὐκ ἀργὸν κατέλιπεν, ἀλλ' ὥσπερ διατριβὴν πορίζομενος τῇ ἀκοῇ τοὺς μὲν τρέχειν φησὶν, αὐτὸς δὲ ψυχαγωγεῖ τῇ ἐπεισαγωγῇ τῆς ἀφηγήσεως τὸν ἀκροατήν.

* Πορφυρίου. ζητοῦσί τινες πῶς τὸν Σκάμανδρον ἀπὸ τῆς Ἴδης εἰπὼν ῥεῖν (κατηρίθμητο γὰρ δῖός τε Σκάμανδρος τοῖς ἀπ' Ἰδαίων ὀρέων ἅλαδε προρέουσιν Il. 12, 19. 21) ὕστερόν φησιν "κρουνὼ δ' ἵκανον καλλιρρόω, ἔνθα δὲ πηγαὶ δοιαὶ ἀναΐσσουσιν Σκαμάνδρου δινήεντος," ὑπὸ τὸ τεῖχος τὰς πηγὰς τοῦ Σκαμάνδρου λέγων ῥεῖν· μάχεται γὰρ δὴ τὸ ἐν τῷ πεδίῳ ὑπὲκ κατ' ἀμαξιτὸν τὰς πηγὰς εἶναι τοῦ Σκαμάνδρου τῷ ἐκ τῆς Ἴδης αὐτὸν λέγοντι ῥεῖν. λύεται δὲ ἐκ τῆς παραλείψεως τῆς ἔξ. ἔστι γὰρ τὸ πλῆρες, ὅτι πηγαὶ δύο ἐκ τοῦ Σκαμάνδρου ἀνίασι κατὰ τὸ πεδίον, ἀλλ' οὐχ ὅτι τοῦ Σκαμάνδρου εἰσὶν αἱ ἐν τῷ πεδίῳ πηγαί.

149. ὕδατι λιαρῷ ῥέει] ἀντὶ τοῦ περιρρέεται τῷ ὕδατι. προσληπτέον δὲ τὸ χειμῶνι.

152. χιόνι ψυχρῇ] ψυχροτέρα γὰρ χαλάζης χιών· καὶ θέρους γὰρ γίνεται χάλαζα. ὁ δὲ κρύσταλλος καὶ τῆς χιόνος ψυχρότερος.

154. καλοὶ λαΐνεοι] ἐκ καλῶν λίθων γεγονότες, ἢ διαυγὲς ὕδωρ ἔχοντες.

157. διώκων] ἀεὶ τὸ διώκειν ἐπὶ τοῦ φεύγοντός τινος κατόπιν ἐπιτρέχοντος τίθησιν.

159. βοείην] τὸ παλαιὸν γὰρ ἐν ἀγῶνι βύρσας ἐδίδουν ἔπαθλα. καὶ ἱερεῖον μὲν πᾶν θῦμα, ἰδίως δὲ παρὰ Ἀττικοῖς τὸ πρόβατον.

ἄρνυσθαι τὸ ἀντί τινος λαμβάνειν τι.

161. ἐλεεινὸν τὸ πρᾶγμα· τὸ θατέρου γὰρ ἴδιον κοινὸν ἆθλον ἦν ἀμφοτέρων, τοῦ μὲν, εἰ ἐκφύγοι, τὸ ἴδιον ὡς ἆθλον ἔχοντος, τοῦ δὲ, εἰ προφθάσοι, τὸ ἐκείνου λαμβάνοντος.

162. ὡς δ' ὅτ' ἀεθλοφόροι] οὐχ ἁπλῶς δρόμον ἵππων παρέλαβεν, ἀλλ ἀγωνιστῶν, καὶ οὐ καθολικὸν δρόμον, ἀλλὰ τὸν περὶ τὰ τέρματα, ὅτε ὀξύτερον θέουσι πλησιαζούσης τῆς νίκης. ἴδε δὲ τὸ ἆθλον, ὅτι μέγα· ὡς περὶ μεγάλων γὰρ πάσῃ προθυμίᾳ χρῶνται.

163. ῥίμφα] λίαν ταχέως, μετ' εὐμαρείας.

6. * Πορφυρίου] om. 17. τὸ Bekk.] τῷ
28. ἐκφύγοι Bekk.] ἐκφύγῃ

164. κατατεθνειῶτος] ἡ κατά ἀντὶ τῆς ἐπί, ἐπὶ ἀνδρὸς τεθνεῶτος. οὐκ οἶδε δὲ στεφανίτας, ἀλλ' ἐπιταφίους ἀγῶνας.

165. περιδινηθήτην] δίκην τόρνου περιεστράφησαν. τὸ τάχος δὲ καὶ τὸ εἰς μίαν τρέχειν αὐτοὺς γραμμὴν διὰ τούτου δηλοῦται. πῶς δὲ, φασὶν, ὁ ποδωκίστατος πάντων οὐ καταλαμβάνει τὸν Ἕκτορα; πρόχειρον μὲν οὖν τὸ λέγειν ὅτι Ἀπόλλωνα ἔχει συμμαχοῦντα· καὶ ὅτι ὁ μὲν Ἀχιλλεὺς ἄριστός ἐστι πλὴν κέκμηκεν ὑπὸ Ξάνθου καὶ Ἀγήνορος· ὁ δὲ Ἕκτωρ καὶ ἀναπέπαυται παρὰ τῷ τείχει καὶ περὶ ψυχῆς τρέχει. οὐκ ἦν τε ἐξ εὐθείας ἡ δίωξις τῷ Ἀχιλλεῖ προϋποτρέχοντι καὶ παρεκκλίνοντι τὸν Ἕκτορα.

168. τὸ διωκόμενον ἀντὶ τοῦ διώκοντα. ἄτοπον γὰρ μεμνῆσθαι Ἕκτορος, μή γε μὴν Ἀχιλλέως.

170. Ἕκτορος] λείπει ἡ περί.

ὅς μοι πολλὰ βοῶν] τοῦτο πρὸς τὴν ἡμετέραν εὐσέβειαν.

172. πόλει ἀκροτάτῃ] τῇ ἀκροπόλει, ὡς (Il. 5, 754) ἀκροτάτῃ κορυφῇ.

174. ἀλλ' ἄγετε φράζεσθε] διδάσκει παρρησίας μεταδιδόναι τοῖς ἀρχομένοις καὶ κοινωνεῖν αὐτοῖς τῆς βουλῆς.

181. ἐπαινέομεν] εὖ τὸ μὴ εἰπεῖν μεμφόμεθά σοι.

183. *Πορφυρίου. ὁ νοῦς ἀσαφὴς, ὅντινα ἀγνοήσαντες ἠθέτησαν τὰ ἔπη. ἡ δὲ ἀσάφεια ἐκ τοῦ πρόφρονι· ἀπέδοσαν γὰρ ὡς δηλοῦντος τοῦ ποιητοῦ διὰ τοῦ πρόφρονι, οὐ κατὰ σπουδὴν ταῦτα ἀγορεύω. ἔστι δὲ οὐ τοῦτο, ἀλλὰ τῇ πρό κέχρηται ἀντὶ τῆς ὑπέρ συνήθως, ὡς ἐν τῷ "ἀεθλεύων πρὸ ἄνακτος ἀμειλίκτου" (Il. 24, 734) ἀντὶ τοῦ ὑπὲρ ἄνακτος, καὶ ἐν τῷ "χρείῃ ἀναγκαίῃ πρό τε παίδων καὶ πρὸ γυναικῶν" (Il. 8, 57) ἀντὶ τοῦ ὑπὲρ παίδων καὶ γυναικῶν βούλεται λέγειν. φησὶν οὖν καὶ ἐνταῦθα, οὐ καθ' ὑπερφροσύνην οὐδ' ὡς τύραννος λέγω ταῦτα. βούλομαι γὰρ ἤπιος εἶναι καὶ πρᾶος. καὶ ὁ τοί οὖν παραπληρωματικὸς, καὶ οὐκ ἀντὶ τοῦ σοί παρείληπται. πρέπουσα τοίνυν ἡ διάνοια ἄρχοντι, βουλομένῳ ἐνδείκνυσθαι βασιλικὴν ἠπιότητα καὶ οὐ τυραννικὴν ἀγριότητα· οἱ γὰρ ῥηθέντες μετ' ἀπειλῆς λόγοι ὑπέρφρονα θυμὸν, καὶ ὃν ἐν ἄλλοις ἀγήνορα ἔφη, ἐνεδείκνυντο.

184. ἐθέλω δέ τοι ἤπιος εἶναι] ταυτὸν ἡ παρὰ θεοῖς εἱμαρμένη ὃ νόμος παρὰ ἀνθρώποις. ὡς οὖν ὁ παρ' ἡμῖν κριτὴς οὐ παρανόμως δικάζει, οὐδὲ Ζεὺς παρὰ τὴν εἱμαρμένην. πολλάκις δὲ καὶ ἠπιότητος

5. ποδωκίστατος] ποδωκέστατος Vill. 20. *Πορφυρίου] om.

χάριν καὶ βιάζεσθαι σπουδάζομεν τὸν νόμον. τοῦτο δέ φησι καὶ Ζεύς, ὅτι ᾔδειν τὸ δίκαιον τῆς εἱμαρμένης, διὰ δὲ τὸ ἤπιον τοῦτο εἶπον· ἵνα ᾖ ὁ τοί σύνδεσμος παραπληρωματικός.

185. ἐρώει] μὴ ἀποχώρει, ὡς τὸ "ἐρωῆσαι πολέμοιο" (Il. 13, 776).

189. ὄρεσφι] δι' ὀρέων ἢ ἐν ὄρεσι. περισσὸν δὲ τὸ ἐλάφοιο· ὁ γὰρ νεβρὸς ἐπὶ ἐλάφου μόνον, ὡς καὶ ὁ μόσχος ἐπὶ βοὸς καὶ ὁ πῶλος ἐφ' ἵππου λέγεται.

190. ἀντὶ τοῦ δι' ἀγκῶν καὶ βησσῶν, ὡς τὸ "διά τ' ἔντεα καὶ μέλαν αἷμα" (Il. 10, 298). τοῦ δὲ ὄρους τὰ μὲν ἀνωτάτω ἀκρώρειαι, τὰ δὲ ὑψηλὰ σκοπιαί, τὰ δὲ προνενευκότα πρῶνες, τὰ δὲ κεκλιμένα κλιτύες, τὰ δὲ βάσιμα βῆσσαι, τὰ δὲ κοῖλα ἄγκη, τὰ δὲ σύνδενδρα νάπαι, τὰ δὲ κάτω πρυμνώρειαι, ἡ δὲ παρὰ ταῖς πρυμνωρείαις πεδιὰς παρόριον.

191. καταπτήξας] ὑποπεσών. θάμνῳ δὲ τῇ συμφυΐᾳ τῶν μικρῶν δένδρων, παρὰ τὸ θαμινόν. ἔμπεδον δὲ τὸ ἀνενδότως. τινὲς δὲ εἰς τὸ ἐναποτετυπωμένον ἴχνος ἐν τῷ πεδίῳ ἀπὸ τῆς βάσεως τοῦ νεκροῦ.

193. ὣς Ἕκτωρ οὐ λῆθε] ἡ παραβολὴ πρὸς τὴν δίωξιν μόνον· οὐδὲ γὰρ κρύπτεται ὁ Ἕκτωρ. ἢ ὅτι καὶ αὐτὸς καιρὸν παρεφύλαττεν ὑποφυγεῖν εἰς τὴν πόλιν, ὡς ὁ νεβρὸς εἰς τὸν θάμνον.

194. ὁσσάκι δ' ὁρμήσειε] ὁσάκις ἂν κατὰ τὰς πύλας γενόμενος Ἕκτωρ ἐλογίζετο παρεισδῦναι εἰς τὴν πόλιν ἐπειχθεὶς τῷ δρόμῳ, τοσάκις τὸν ἔνδον ἔχων δρόμον Ἀχιλλεὺς ἐδίωκεν αὐτὸν εἰς τὸ πεδίον.

197. τοσσάκι μιν προπάροιθεν] πρῶτος αὐτοῦ γινόμενος πρὸς τὴν πόλιν ἀπέστρεφεν εἰς τοὐπίσω. ἐπὶ χρόνου δὲ τὸ προπάροιθεν.

199. τὸ ἄπρακτον θέλει δηλῶσαι· ὡς γὰρ ἐκεῖνα φαντασία καὶ οὐκ ἀλήθειά εἰσιν, οὕτω καὶ οὗτοι οὐδὲν ἤνυον, οὔτε οὗτος τὸ φεύγειν οὔτε οὗτος τὸ καταλαβεῖν· δοκοῦν γὰρ ἑκάτερον γενέσθαι οὐδέτερον γίνεται. καλῶς δὲ καὶ ἐπὶ τὴν μετάφρασιν ἦλθε, τῷ ὑποφεύγειν ἀντιθεὶς τὸ ἀλύξαι καὶ τῷ διώκειν τὸ μάρψαι.

205. λαοῖσι δ' ἀνένευε] Μεγακλείδης πλάσμα εἶναί φησι τοῦτο τὸ μονομάχιον· πῶς γὰρ τοσαύτας μυριάδας νεύματι Ἀχιλλεὺς ἀπέστρεφεν;

208. τὸ τέταρτον] Διοκλῆς φησὶν ὅτι συμβαίνει τῷ κύκλῳ περιτρέχοντι εἰς τὸν αὐτὸν τόπον παραγίνεσθαι. τρεῖς γὰρ ποιήσαντες

10. κεκλιμένα Vill.] κεκαυμένα hic et supra p. 251, 9.

15. θαμινόν] θαμεινόν

22. τοσάκις] τοσσάκις

κύκλους τοῦτον ποιοῦσι τέταρτον. φασὶ δὲ τὸν παλαιὸν τῆς Τροίας περίβολον ἑξήκοντα σταδίων εἶναι.

209. δύο κῆρε] κῆρας τὰς μοίρας λέγει, οὐ τὰς ψυχάς, ὡς ἐξεδέξατο φαύλως Αἰσχύλος· ἐπάγει γὰρ τὴν μέν, τὸ κέαρ δὲ λέγεται οὐδετέρως ἐπὶ τῆς ψυχῆς. ὡς δὲ οἱ καταδικάζοντες τὴν ψῆφον ἐπιφέρουσιν ὑπὲρ τοῦ κυρῶσαι, οὕτως καὶ ὁ Ζεὺς τῷ ζυγῷ χρῆται.

213. ᾤχετο δ' εἰς Ἀΐδαο] ὑπερβολικῶς, ὡς ἤδη τοῦ Ἕκτορος κατὰ τὸν τῆς πεπρωμένης λόγον μηκέτι ἐν τοῖς ζῶσιν ὄντος.

216. νῶϊ] ἀντὶ τοῦ ἡμᾶς.

218. δηϊώσαντε] καταπολεμήσαντας.

221. προπροκυλινδόμενος] πρὸ τοῦ Διὸς προκυλινδόμενος. ποιοῦσι δὲ τοῦτο οἱ ἱκετεύοντες· "κυλινδόμενος κατὰ κόπρον" (414). τινὲς δὲ προασπίζων τοῦ Διός.

222. ἄμπνυε] ἐν σεαυτῷ γενοῦ καὶ τὸ πνεῦμα συνάγαγε.

227. Δηϊφόβῳ εἰκυῖα] οὗτος γὰρ μετὰ θάνατον Πάριδος ἡγήσατο τῆς στρατιᾶς. ὡς δῆθεν δὲ συμμαχήσων ἔρχεται.

ἄτοπον θεὸν οὖσαν πλανᾶν τὸν Ἕκτορα. ἢ τὰ ἴσα πράττει Ἀπόλλωνι, ἐπεὶ κἀκεῖνος ἐπέθετο Πατρόκλῳ καὶ Ἀχιλλεῖ.

229. ἠθεῖ'] σεπτικὴ φωνὴ πρὸς πρεσβύτερον ἀδελφόν· "ἀλλά μιν ἠθεῖον καλέω" (Od. 14, 147) ἀντὶ τοῦ ὡς πρεσβύτερον ἀδελφὸν σέβω καὶ αἰδοῦμαι. ἔστι δὲ ὑποπτεῦσαι τῶν Πριαμιδῶν πρεσβύτερον εἶναι τὸν Ἕκτορα.

234. γνωτῶν] γνωτὸς ὁ ἀδελφὸς παρὰ τὸ πλέον τῶν ἄλλων γνωρίζεσθαι.

235. τιμήσασθαι] λείπει τὸ σέ, ἵν' ᾖ νῦν δὲ καὶ μᾶλλον κατὰ νοῦν ἔχω τιμῆσαί σε.

241. τοῖον] τοίως ὡς μηδένα συγχωρεῖσθαι πολεμεῖν αὐτῷ.

246. σῷ δουρί] εὖ τὸν κίνδυνον ἐκοινοποιήσατο, τὴν δὲ νίκην μόνῳ περιῆψεν Ἕκτορι.

247. ἢ περισσὸς ὁ καί, ἢ τὸ φαμένη ἀντὶ τοῦ ἔφη. ἢ πρὸς τῷ ταῦτα εἰρηκέναι καὶ δολίως ἡγήσατο.

251. δίον] ἔδεισα· "περὶ γὰρ δίε ποιμένι λαῶν" (Il. 5, 566). ἢ ἐδιώχθην, ὡς τὸ "ἀπὸ μεγάροιο δίεσθαι" (Od. 17, 398). ἢ φοβηθεὶς ἔφυγον.

2. ἑξήκοντα] τριάκοντα Townl.
4. Αἰσχύλος] Fr. 276.
33. * ὡς τὸ] om. μεγάροιο] στρατοῖο

253. ἕλοιμί κεν ἤ κεν ἁλοίην] τὰ ἀμείνω πρῶτα λέγει καὶ λίαν θρασύνεται. ἔστι δὲ τὸ θράσος αὐτοῦ ἐλεεινόν, ἐκ φενακισμοῦ καὶ πλάνης ἐγειρόμενον.

254. ἐπιδώμεθα] ἑαυτοῖς μάρτυρας καὶ ἀναδόχους ἢ ἐπόπτας ποιήσωμεν πρὸς τὸ ἰδεῖν. ἢ εἰς οὐρανὸν ἀποβλέψωμεν, οὗ εἰσὶν οἱ θεοί. ἢ ἐπικαλεσώμεθα αὐτούς.

255. ἁρμονιάων] ἁρμογῶν, ἀφ' οὗ δηλοῖ τὸ ὁμολογιῶν, συνθηκῶν, συμβολῶν.

257. καμμονίην] τὴν μονομερῆ νίκην. περὶ ὃ δὲ μάλιστα δέδιεν, αἰκιζόμενος ὁ Ἕκτωρ οἶκτον κινεῖ.

261. ἄλαστε] ἄλαστόν φησι τὸν ἀνεπίληστα κακὰ δεδρακότα. συνημοσύνας δὲ συνθήκας· οἱ γὰρ συντιθέμενοι εἰς ταὐτὸν ἀφιᾶσι τὴν γνώμην.

συνημοσύνας] σύμβολα καὶ κοινοβουλίαι.

263. οὐδὲ λύκοι τε καὶ ἄρνες] ἐντεῦθεν ἡ παροιμία φησὶν "οὕτως φιλοῦσι λύκοι τοὺς ἄρνας ὡς φιλέουσιν ἀντερασταί."

265. φιλήμεναι] ἀντὶ τοῦ φιλῆσαι ἀλλήλους.

266. εἰς τοῦτο ἡ διάνοια καταστρέφει, ὅτι πρότερον συμβήσεται τὸν ἕτερον ἡμῶν πεσεῖν πρὶν ἢ ὅρκους ἡμᾶς ποιήσασθαι.

270. οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις] ἡ καύχησις ὑπὲρ ἄνθρωπον· οὐ γὰρ ἀνατίθησι τῇ τύχῃ τὰς ἐλπίδας, ἀλλὰ θαρρῶν τῇ θεῷ διαβεβαιοῦται τὸ μέλλον.

272. κήδε' ἐμῶν ἑτάρων] ὁ νοῦς οὕτως· νῦν δώσεις δίκας ὑπὲρ τῆς λυπήσεως τῆς γενομένης μοι ἕνεκεν τῶν ἑταίρων.

274. ἠλεύατο] ἐναγώνιον τὴν στάσιν ποιεῖ διὰ τῆς ἀποτυχίας, καὶ μικροῦ δεῖν τῆς νίκης ἐλπίδας Ἕκτορι δίδωσιν. ἐπιλειψάσης δὲ ἐκεῖνον τῆς Μοίρας καὶ οἱ θεοὶ πάντες ἐῶσιν.

280. ἔφης γε] ἔφης γε μὲν εἰδέναι, οὐκ ᾔδεις δὲ ἀκριβῶς. ταῦτα δὲ διὰ τὸ "ἄφαρ δέ σε Παλλὰς Ἀθήνη ἔγχει ἐμῷ δαμάᾳ" (270).

281. ἀπηρτισμένος εἰς τὸ λέγειν ὥστε πιστεύεσθαι. ἐπίκλοπος δὲ ἠσκηκὼς λόγοις ἀπατᾶν, διὰ λόγων τοὺς πολλοὺς παραλογιζόμενος.

284. ἰθὺς μεμαῶτι] εἰς τοὔμπροσθεν κατὰ σοῦ μοι χωροῦντι. ἀγαθὰ δὲ ταῦτα τοῖς νέοις πρὸς μίμησιν.

15. παροιμία] Apud Platon. Phaedro p. 211 ὡς λύκοι ἄρν' ἀγαπῶσ', ὡς παῖδα φιλοῦσιν ἐρασταί. V. Leutsch. ad Diogen. Proverb. 8, 76. p. 320.

285. ἄλευε] προπαροξυτόνως· ἔστι γὰρ προστακτικόν. ἐν εἰρωνείᾳ δὲ ὁ λόγος.

286. ὡς] ἀντὶ τοῦ εἴθε. ἀπ' ἄλλης δὲ ἀρχῆς τοῦτο.

293. κατηφήσας] κάτω τὰ φάη ἔχων. οὐδὲ δέ: οὐ γάρ ἀεὶ δὲ δύο ἔχων δόρατα („πάλλων γάρ" φησιν „ὀξέα δοῦρα" Il. 6, 104. 11, 212). πῶς νῦν οὐκ ἔχει; ἢ κατὰ τὸ σιωπώμενον θάτερον ἐν τῷ δρόμῳ πρὸς βάρος ὃν ἀπεβάλετο.

294. ἅπαξ ἐχρήσατο. τὸ παράσημον δὲ τῶν ὅπλων τὴν ἀρετὴν ἐμφαίνει τοῦ φοροῦντος.

297. ὢ πόποι] ἐλεεινοτάτη ἡ ἀναφώνησις καὶ εἰς οἶκτον κινοῦσα.

300, 301. βραχὺ διασταλτέον εἰς τὸ κακός, καὶ στικτέον τὸ ἄνευθεν· τὸ δὲ ἀλέη καθ' ἑαυτὸ προενεκτέον, λείποντος τοῦ ἔστι. δηλοῖ δὲ τὴν ὑπάλυξιν καὶ ἔκκλισιν.

304. ἀσπουδί] δίχα ταλαιπωρίας.

305. μέγα] λείπει τὸ ἀγαθόν, ὡς Ἀλκμὰν „μέγα γείτονι γείτων." ἢ τὸ εἰς τοὺς πολεμίους κακὸν, ὡς καὶ τοὺς ἐσομένους πυθέσθαι.

307. τέτατο] ἀπὸ τελαμῶνος ἤρτηται.

308. ἀλείς] ἀθρόον συστραφείς· οἱ γὰρ εἰς δρόμον ἑαυτοὺς δόντες οὐκ ἀνειμένως πορεύονται.

310. ἀμαλήν] ἁπαλὴν, κατὰ συγγένειαν τῶν στοιχείων. οἱ δὲ ἅμα τῇ μητρὶ ἁλλομένην. οἱ δὲ τὴν μὴ ἔχουσαν τὸ μᾶλλον, ὅ ἐστι τὸ ἰσχυρόν.

317. νυκτὸς ἀμολγῷ] τὴν ἑσπέραν ἀμολγὸν καλεῖ· καὶ τότε γὰρ ἀμέλγονται τὰ θρέμματα. λέγει δὲ ἀλλαχοῦ καὶ τὸ μεσονύκτιον.

318. ἀπὸ τοῦ ἑσπέρα ἕσπερος. τὸ δὲ ἑσπέρα παρὰ τὸ τῆς ἕω πέρας εἶναι. καλεῖται δὲ ὁ ἕσπερος καὶ ἑωσφόρος κατὰ καιρῶν μεταβολάς· ὅταν μὲν προηγούμενος τοῦ ἡλίου συνδύνῃ αὐτῷ πρῶτος τῶν ἄλλων, ἕσπερος, ὅταν δὲ ἑπόμενος ἡλίῳ προανατείλῃ, τότε ἑωσφόρος καλεῖται. κάλλιστος δέ ἐστιν, ἐπεὶ μέγας καὶ λαμπρότατος. θαυμασίως οὖν ὁ ποιητὴς, ὅτε μέν ἐστιν ἑωσφόρος, φησὶν „ἔρχεται ἀγγέλλων φάος ἠοῦς ἠριγενείης" (Od. 13, 94) καὶ „εἶσι φόως ἐρέων" (Il. 23, 226)· ὁρῶμεν γὰρ αὐτὸν ἀνατέλλοντα πρὸ τοῦ ὁρίζοντος.

22. τὸ μᾶλλον] μαλίον (omisso τὸ) Leid.

32. ἀγγέλλων] ἀγγέλων

33. πρὸ τοῦ ὁρίζοντος] * ὑπὲρ τὸν ὁρίζοντα

ὅτε δέ ἐστιν ἕσπερος, οὐδεὶς αὐτὸν ὁρᾷ ἀνατέλλοντα, ἀλλ' ὑπὲρ τὴν γῆν μετέωρον ἱστάμενον ἐν τῷ δύνοντι τοῦ οὐρανοῦ μέρει.

ἵσταται] καὶ μὴν τῶν πλανήτων ἐστὶν ἤτοι τῆς Ἀφροδίτης· ἢ οὖν ἀντὶ τοῦ ἀνίσταται, ἀνατέλλει· ἢ πρὸς τὴν ἡμῶν φαντασίαν, καθὸ οὐ δυνάμεθα συνιδεῖν τὸν δρόμον αὐτοῦ.

319. εὐήκεος] καλὴν ἀκὴν ἐχούσης.

321. ὅπη εἴξειε] ὅπου χωρήσειεν ἡ αἰχμή.

322. ὅταν τὸ μὲν ἀπολειπόμενον ἔλασσον εἴη, τὸ δὲ γεγονὸς πλεῖον, τόσσον φησίν· "οἱ τόσσον μὲν ἔχον τέλος" (Il. 18, 378). λέγει δὲ ὅτι τὸ μὲν πλεῖον σῶμα τὰ τεύχη κατεῖχε κρυπτόμενον.

324. τὸ μὲν ἄλλο σῶμα ἐσκέπετο· ἐκεῖνος δὲ ὁ τόπος ἐφαίνετο, ὅπου αἱ κλῇδες τῆς λαυκανίης τὸν αὐχένα συνέχουσιν. ἐμφαίνει δὲ ὅσον ἐρεθισμὸν ἐποίει Ἀχιλλέϊ ἡ θέα αὐτοῦ. κλῇδες δὲ αἱ ἀπὸ τῶν ὤμων διήκουσαι διατάσεις τῶν νεύρων καὶ συνέχουσαι τὸν αὐχένα. λαυκανίη δὲ ἡ περὶ τὸν γαργαρεῶνα τῶν ἔξωθεν μυῶν συνοχή.

325. *ψυχῆς ὤκιστος ὄλεθρος] καίτοι ἀθάνατον οἶδε τὴν ψυχήν. νῦν οὖν τὴν ἀφάνειάν φησιν αὐτῆς καὶ τὸν ἀπὸ τοῦ σώματος χωρισμόν. Πραξαγόρας δὲ ἐν τῇ ἀνατομῇ οὕτως φησί· "μετὰ δὲ τὴν τῆς γλώττης θέσιν ὑπέρκειται κατὰ τὸ ἔσχατον τοῦ οὐρανοῦ ἡ κιονίς· μετὰ δὲ ταύτην φάρυγξ καὶ στόμαχος. ἔστι δὲ ὁ μὲν φάρυγξ ἐκ τοῦ ἐμπροσθίου, ὁ δὲ στόμαχος ἐκ τοῦ ὀπισθίου, προσπεφυκὼς τοῖς τοῦ τραχήλου σπονδύλοις. καὶ ὁ μὲν φάρυγξ ἐμφύεται εἰς τὸν πνεύμονα, ὁ δὲ στόμαχος εἰς τὴν κοιλίαν. μεταξὺ δὲ φάρυγγος καὶ γλώσσης ἐπιγλωσσὶς, ἐπιπωματίζουσα τοῦ φάρυγγος τὸ στόμα. Ποσειδώνιος δέ φησι κατὰ ῥιπὴν τῆς τροφῆς σκέπεσθαι ὑπὸ τῆς ἐπιγλωττίδος τὸν βρόγχον.

328. ἀσφάραγος ὁ γαργαρεών. ἴσως δὲ ἐκκλίναντος αὐτοῦ πλαγία γέγονεν ἡ πληγὴ καὶ οὐ διεκόπη ὅλος. καὶ τοῦτο δὲ, ἵνα καὶ ἀποθνήσκων μὴ ἀπροσφώνητος ᾖ. εἴωθε δὲ τὰ ἐκ τύχης ὡς ἐξ αἰτίας λέγειν.

333. ἀμείνων] σοῦ δηλονότι· οὐ γὰρ φιλῶν Πάτροκλον συνέκρινεν ἂν αὐτὸν ἑαυτῷ.

334. μετόπισθε] ἢ τοπικῶς, ὡς τὸ "νῦν δέ σε τῶν ὄπισθεν γουνάζομαι" (Od. 11, 66), ἢ χρονικῶς ἀντὶ τοῦ μετὰ ταῦτα.

3. ἤτοι] ὁ Bekk. 21. *ἐκ τοῦ ὀπισθίου—ὁ δὲ στόμαχος] om. 25. Ποσειδώνιος Bekk.] ποσιδώνιος 29. τύχης Vill.] ψυχῆς

335. σὲ μὲν κύνες] ἀφορμὴν αὐτῷ δέδωκε δεήσεως, ἀπειλήσας περὶ τῆς αἰκίσεως· πολλὴν γὰρ πρόνοιαν εἶχε τοῦ θάπτεσθαι.

336. ἀϊκῶς] ἀπὸ τοῦ αἰκέως, ὃ δηλοῖ τὸ αἰκιστικῶς, γίνεται αἰκῶς καὶ ἀϊκῶς.

337. ὀλιγοδρανέων] ὀλίγον τοῦ δρᾶν ἔχων. πολὺς δὲ ἔλεος τοῦ πρὸς τῷ τελευτᾶν φωνὴν ἀφιέντος.

338. ὑπὲρ ψυχῆς] κατὰ ψυχῆς, ὡς τὸ "ὑπὲρ πατρὸς καὶ μητρὸς γουνάζομαι" (Od. 13, 324).

346. τὸ ἑξῆς, οὐκ ἔστιν ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι· αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνήῃ ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι. μεταξὺ δὲ ἀνεφώνησε τὸ οἷά μ' ἔοργας.

ἐκλύει τὴν ἔμφασιν τὸ ἀποταμνόμενον, εἰ μὴ ἀντὶ τοῦ ἀποσπαράσσοντα κεῖται.

349. εἰκοσαπλᾶ, εἰκοσάκις ἐξισούμενα τοῖς ὑπὸ σοῦ νοουμένοις δώροις· τὸ γὰρ ἐρίζειν καὶ ἐπὶ τοῦ ἐξισοῦσθαι τάσσεται.

εἰκοσινήριτ'] ὑφ' ἓν ἀναγνωστέον, ὡς τὸ εἰκοσάβοια· παραφυλακτέον δὲ ὅτι ὁ εἴκοσιν ἀριθμὸς, ὅταν συντίθηται, εἰς ῡ λήγει. τὸ γὰρ ῡ τοῦ εἴκοσίν ἐστι καὶ ἔστι τὰ εἰκοσάκις ἐρίζοντα καὶ ἐξισούμενα.

350. στήσωσ'] παραστήσωσιν, ἢ ἰσόσταθμά σοι κομίσωσιν.

351. οὐδ' εἴ κεν] οὐδὲ ἐάν σοι ἰσοστάθμῳ χρυσῷ ἀναλαβεῖν βουληθῇ· οὐδὲ ἐὰν θελήσῃ σε πρὸς χρυσὸν ἀντιστῆσαι. τοῦτο δὲ ὑπερβολικῶς εἶπεν.

354. κατὰ πάντα δάσονται] ἀντὶ τοῦ κατέδονται. ἔμφασιν δὲ ἔχει τῆς διακοπῆς τὸ ὑπερβατόν.

355. τὸν δὲ καταθνήσκων] δαιμονίως τὸν καιρὸν στοχάζεται· ἔμπροσθεν μὲν γὰρ ὠλιγοδράνει παρ' αὐτὴν τὴν τρῶσιν, νυνὶ δὲ ἀποθνήσκει.

356. προτιόσσομαι] προσφθέγγομαι, παρὰ τὴν ὄσσαν, ἢ προορῶμαι.

358. μὴ ὁ ἐμὸς θάνατος τὴν ἐκ θεῶν μῆνιν ἐπὶ σὲ ἐρεθίσῃ.

359. οἱ μέν φασιν ὅτι ταῦτα λέγει, ἐπεὶ αἱ ψυχαὶ ἐξερχόμεναι μαντικαὶ γίνονται, οἱ δὲ, ὅτι στοχάζεται αὐτὸν εἰς τὴν πόλιν εἰσελθεῖν σπεύδοντα καὶ λοχηθῆναι ὑπονοεῖ.

5. τοῦ δρᾶν Bekkerus] τὸ δρᾶν 6. τῷ Bekkerus] τὸ 26. τὸν καιρὸν] τῶν καιρῶν

365. κῆρα δ' ἐγὼ τότε δέξομαι] καλὸν τοῖς νέοις μεμνῆσθαι τῶν ἐπῶν· ὁ δὲ Ἕκτωρ φιλόψυχος ὢν φησι πρὸς Πάτροκλον "τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον" (Il. 16, 859); ὑπερβολὴ δὲ μανίας τὸ πρὸς νεκρὸν ὁμιλεῖν.

369. περίδραμον] ὡς ἐπὶ παράδοξον γὰρ πρᾶγμα συντρέχουσι.

370. φυὴν καὶ εἶδος ἀγητόν] καὶ ταῦτα εἰς οἶκτον τοῦ ἀνῃρημένου.

371. δημώδους πλήθους τὸ ἔργον· συνέχονται γὰρ δύο πάθεσιν, ἐκπλήξει τε καὶ μίσει. αὔξεται δὲ διὰ τούτου ἡ ἀρετὴ τοῦ κειμένου.

373. ἦ μάλα δή] σαρκαστικὸς ὁ λόγος, ὅταν ἐν ἐπαίνῳ λεγόμενος ψόγον ἔχῃ, ὡς τὸ "ἦ μάλ' ἐλαφρὸς ἀνήρ" (Il. 16, 745).

375. καὶ οὐτήσασκε παραστάς] ἅμα λέγοντες ἐτίτρωσκον. τὸ δὲ ὁμοιοτέλευτον σχῆμα οὐκ ἐπὶ τέλους· ἔνθεν λανθάνει τὸν ἀκροατὴν προσέχοντα ταῖς αἰκίαις Ἕκτορος.

378. Ἑλληνικῶς κοινοποιεῖται τὴν νίκην, τὸ συμμαχικὸν ἀναζωπυρῶν. οἴχεταί φησι τοῖς Τρωσὶ τὰ πράγματα μετὰ τελευτὴν Ἕκτορος.

379. παιδευτικὸν καὶ τοῦτο πρὸς εὐσέβειαν· ἐπὶ τηλικούτῳ γὰρ κατορθώματι οὐδὲν ἀλαζονεύεται. τὴν δὲ αἰτίαν τοῦ πράγματος προὔθηκεν· ἔδει γὰρ εἰπεῖν δεῦτε πειραθῶμεν εἰ καταληψόμεθα τὴν πόλιν, ἐπειδὴ τόνδε ἄνδρα.

381. ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν] στρατηγικῶς μὲν τὸν καιρὸν συνίησι, καταπλήσσων τοὺς πολεμίους παρὰ τὴν πτῶσιν τῶν ἀπολωλότων· φιλοστόργως δὲ μετάγεται, τὸ φιλέταιρον προθεὶς τοῦ φιλοτίμου.

390. αὐτὰρ ἐγὼ καὶ κεῖθι] κάλλιστα πρὸς φιλεταιρίαν τὰ ἔπη καὶ φίλοις ἀναγινώσκειν ἁρμόδια.

391. οὐ μόνον συμποτικὴ καὶ μετ' ὀρχήσεως ἡ πάλαι μουσική, ἀλλὰ καὶ εἰς θρήνους ἐπιτηδεία. πῶς δὲ τὸν πολέμιον Ἀπόλλωνα ὑμνεῖ; οὗ ὁ ὕμνος. ἢ ὡς Τρῶες Ἀθηνᾶν εὐμενίζονται (Il. 6, 87), οὕτως οὗτος τὸν θεόν· οὐδεὶς γὰρ ἐχθρὸς εἶναι δύναται θεῷ. ἢ εὕρημα μὲν αὐτοῦ ὁ παιάν, οὐ πάντως δὲ ἀεὶ εἰς αὐτὸν ᾀδόμενος.

395. ἀεικέα] χαλεπὰ καὶ αἰκιστικά, ἢ ἀπρεπῆ. μήδετο δὲ ἀντὶ τοῦ εἰργάζετο.

397. *ἐς σφυρὸν ἐκ πτέρνης] διὰ τί Ἀχιλλεὺς θανόντα σύρει τὸν Ἕκτορα; λέγομεν οὖν ὅτι οὐ δι' ὠμότητα, ὅς γε καὶ Ἠετίωνα

φονεύσας οὐκ ἐσύλησεν, ἀλλὰ σὺν αὐτοῖς τοῖς ὅπλοις ἔθαψεν (Il. 6, 417), ἀλλ' ὅτι πρότερον ὁ Ἕκτωρ εἰς τὸν Πάτροκλον "ἀεικέα μήσατο ἔργα," οἷα καὶ λέγει περὶ αὐτοῦ· "κεφαλὴν δέ ἑ θυμὸς ἄνωγε πῆξαι ἀνὰ σκολόπεσσι, ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς" (Il. 18, 176)· παρανομοῦσι δὲ οὐχ οἱ ἀμυνόμενοι, ἀλλ' οἱ ἄρξαντες. ὁ δὲ Καλλίμαχός φησιν ὅτι πάτριόν ἐστι Θετταλοῖς τοὺς τῶν φιλτάτων φονέας σύρειν περὶ τοὺς τῶν φονευθέντων τάφους· Σῖμον γάρ φησι, Θεσσαλὸν τὸ γένος, Εὐρυδάμαντα τὸν Μειδίου ἀποκτείναντα Θράσυλλον τὸν ἀδελφὸν αὐτοῦ ἄρξασθαι τοῦ νόμου πρῶτον· τοῦτον γὰρ ἐξάψαι τοῦ δίφρου τὸν φονέα καὶ περὶ τὸν τοῦ τετελευτηκότος τάφον ἕλκειν. ὡς Θεσσαλὸν οὖν καὶ τὸν Ἀχιλλέα πατρίῳ ἔθει τοῦτο ποιῆσαι καὶ δῆσαι τὸν Ἕκτορα.

ἐκ τῶν σφυρῶν καὶ τοῦ κάτω μέρους τῆς πτέρνης ἐτρύπησεν, ὥστε ὑπολύσασθαι τὴν ἀγκύλην.

402. πίτναντο] ἐξεπετάννυντο καὶ πρὸς γῆν ἥπλωντο.

406. τίλλε κόμην] οὐ λειποψυχεῖ ὡς ἐθὰς φόνων υἱῶν πολλῶν καὶ προαρξαμένη τῆς λύπης ἐν τῷ διώκεσθαι αὐτόν. τῇ δὲ Ἀνδρομάχῃ ἀθρόον προσέπεσε τὸ πάθος.

408. ἐπὶ μὲν ἄρρενος ᾤμωξεν, ἐπὶ δὲ τῆς θηλείας κώκυσεν· ἡ μὲν γὰρ ἄναρθρος, ὁ δὲ μετὰ λόγου. καὶ ἑξῆς "κωκυτῷ τ' εἴχοντο" γυναῖκες δηλονότι "καὶ οἰμωγῇ" ἄνδρες.

410. *ὁ λόγος τοιοῦτος· τοιούτῳ θρήνῳ ὅμοιον ἦν ὥσπερ εἰ κατεφλέγετο ὑπὸ τοῦ πυρὸς ἡ Ἴλιος ἅπασα.

411. σμύχεσθαι τὸ ἐκ τοῦ κατ' ὀλίγον αὔξεσθαι τὸ πῦρ μὴ τρεπόμενον ἐς φλόγα.

414. κατὰ κόπρον] ἀντὶ τοῦ κατὰ τὸν συρφετὸν τῆς γῆς. ἔστι δὲ καὶ ἐπίγραμμα εἰς Ἐπίχαρμον οὕτως· "εἰμὶ νεκρὸς, νεκρὸς δὲ κόπρος, γῆ δ' ἡ κόπρος ἐστίν· εἰ δέ γε γῆ θεός ἐστ', οὐ νεκρὸς, ἀλλὰ θεός."

5. Καλλίμαχος] Aristoteles nominatur ad 24, 15.

7. * Σῖμων (sic scripsi pro σιμόν) —Θεσσαλὸν] σιμὸς—θετταλός. In Leid. Σίμωνα—Θεσσαλὸν, in scholio Ven. A Σίμων appellatur.

8. * Μειδίου] μηδίου

*ἀποκτείναντα—ἄρξασθαι] σύραι ἀποκτείναντα ἅψασθαι. (σῦραι non debebam recipere vol. 2 p. 243, 29.)

* Θράσυλλον] θράσυλον

26. τὸν scripsi pro τό

27. εἰς Ἐπίχαρμον οὕτως] * ὃ εἰς Ἐπίχαρμον ἀναφέρεται: quod verum videtur. Non esse autem hoc epigramma Epicharmi pluribus docuit M. Hauptius in Prooemio Lectionum Berolinensium aestivarum a. 1861, p. 4 b.

28. * κόπρος ἐστίν] ἐστιν om.

εἰ δέ γε (in Leid. τε) γῆ θεός ἐστ', οὐ νεκρὸς, ἀλλὰ θεός Cobetus]

416. καί μ' οἶον ἐάσατε] εἰ καὶ ὑμεῖς, φησὶ, δειλιᾶτε ἐξελθεῖν, ἀλλ' ἐμὲ μόνον ἐάσατε.

418. ἀτάσθαλον ὀβριμοεργόν] λοιδορεῖ ὃν ἱκετεύει, ἐπεὶ στασιάζει ἐπ' αὐτῷ τῷ πάθει.

420. καὶ δέ νυ τῷδε πατήρ] προμελετᾷ τὴν ἱκετηρίαν· καὶ γὰρ ἱκετεύων τὰ περὶ τοῦ πατρὸς πρῶτον προβάλλεται· "μνῆσαι πατρὸς σεῖο" (Il. 24, 486).

428. δυσάμμορος] δεδιπλασίακε πρὸς τὴν ἐπίτασιν· τὸ γὰρ δυς καὶ ᾱ ταυτὸν δηλοῦσιν.

430. ἀδινοῦ] πυκνοῦ καὶ συνεχοῦς. ἢ οἰκτροῦ κατὰ Αἰτωλούς.

431. τέκνον] ἡ συνεχὴς τοῦ ὀνόματος ἀνάκλησις ἐπικουφίζει μικρόν. τὸ δὲ βείομαι Ἀρίσταρχος διὰ τοῦ ῑ γράφει, ἵν' ᾖ πῶς βιώσομαι καὶ ζήσομαι σοῦ θανόντος. τὸ δὲ αἰνὰ παθοῦσα τεκοῦσα γράφει, ἵν' ᾖ ὅμοιον τῷ δυσαριστοτόκεια. τινὲς δὲ ἀντὶ τοῦ πῶς ἀποβήσομαι, πῶς φροντισθήσομαι, ὡς τὸ "οὔτι βέομαι Διός" (Il. 15, 194) ἤτοι οὐ φροντίζω.

*Πορφυρίου. τί νυ βείομαι] τουτέστιν εἰς τί βιώσομαι. τὸ δὲ βείω παρὰ τὸ βαίνειν τὸν ζῶντα ἐπὶ τὴν γῆν· "ὄφρ' ἂν ἐγὼ βείω προτὶ Ἴλιον" (Il. 6, 113). ὅτι γὰρ ζῶντα λέγει τὸ ἕκαστον ἐπὶ τῆς γῆς βαδίζειν "ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει" (Il. 17, 447). αἰῶνα δὲ λέγει τὸν ἑκάστου βίον· "ἐκ δ' αἰὼν πέφαται" (Il. 19, 27)· ἔφθαρται δὲ αὐτοῦ ὁ βίος· καὶ "μινυνθάδιος δέ οἱ αἰών" (Il. 4, 478). ὅπερ ἐν ἄλλοις "ἆνερ ἀπ' αἰῶνος νέος ὤλεο" (Il. 24, 725), ἀπὸ τοῦ βίου νέος, οὐ γηράσας τὸν βίον οὐδὲ τὸν αἰῶνα καὶ βίον πολυχρόνιον ἔσχες. καὶ πάλιν "φίλης αἰῶνος ἀμερθῇς" (Il. 22, 58), ὅμοιον τῷ "γλυκὺς αἰών" (Od. 5, 152). καὶ τίς ὁ αἰὼν ἐξηγούμενος "τῇς περ ῥηΐστη βιοτή" (Od. 4, 565). τὰ δὲ τῇ βιοτῇ ἀναγκαῖα βίοτος· "βίοτον δέ οἱ ἄλλοι ἔδουσι" (Od. 13, 419). καὶ ζωήν· "ἡ γάρ οἱ ζωὴ ἦν ἄσπετος, οὔ τινι τόσση" (Od. 14, 96).

433. εὐχωλή] ἐμοὶ, φησὶ, δόξα ἦς, τοῖς δὲ πολίταις ὄφελος. καὶ καθ' ἑκάστην ἡμέραν, ὡς θεῷ σωτῆρί σοι εὔχοντο, ἀλλ' ὁ ζῶν ἰσόθεος νῦν οὐδὲ θανὼν εὐτυχής.

440. καλῶς τὸ μυχῷ προσέθηκε, πρὸς τὸ μὴ ῥαδίως αἴσθεσθαι.

ἡ δὲ γῆ νεκρός, reliquis omissis, B. ἀλλὰ θεός.
*εἰ δέ τε γῆ νεκρός ἐστ', οὐ νεκρὸς, 17. *Πορφυρίου] om.

441. δίπλακα] διπλοΐδα, ἣν οἷόν τε διπλῆν περιβαλέσθαι. θρόα δὲ τὰ βαπτὰ ἔρια. ἡ δὲ ἐν πρὸς τὸ ἔπασσεν. δηλοῖ δὲ κατὰ Κυπρίους τὸ ποικίλλειν· ἀφ' οὗ καὶ παστός.

444. Ἕκτορι θερμὰ λοετρά] αὔξει τὸ πάθος· τοσοῦτον γὰρ ἀπέχει τοῦ ἐννοεῖν τι τῶν συμβεβηκότων ὡς καὶ λουτρὰ τῷ ἀνδρὶ παρασκευάζειν, μονονουχὶ ὁρῶσα αὐτόν· διὸ καὶ ἐπεφώνησεν ὁ ποιητὴς συμπαθῶς τὸ νηπίη οὐδὲ νόησεν, ὥσπερ ἐλεῶν τὴν ἄγνοιαν αὐτῆς.

447. *κωκυτοῦ δ' ἤκουσε] ἐζήτηται πῶς τοσούτου γενομένου θορύβου μόλις Ἀνδρομάχη προῆλθεν; ῥητέον οὖν ὅτι ἡ προτέρα τοῦ ἀνδρὸς ἐπιζήτησις (Il. 6, 490). σωφρονεστέραν αὐτὴν ποιεῖ.

448. ἐλελίχθη] ἀνυπέρβλητον τὸ πάθος· ἐννοεῖν γὰρ χρὴ ποδαπὴ ἔσται ἐπιγνοῦσα τὴν συμφοράν, ὁπότε ἐν ἀμφιβόλῳ τῇ ὑπονοίᾳ κατείληπται μὲν τρόμῳ, ὅπερ σημαίνει διὰ τοῦ τῆς δ' ἐλελίχθη γυῖα, ἀκρατὴς δὲ γέγονε τῶν ἐν χερσίν. οὐ γὰρ ἀποβάλλει τὴν κερκίδα ὡς ἐγνωκυῖα τὸ κακόν, ἀλλὰ χαλασθέντων αὐτῇ τῶν μελῶν ἐκπίπτει τῶν χειρῶν.

451. ἑκυρῆς ὀπὸς ἔκλυον] δι' ἔθους μὲν γὰρ οἰμωγῆς ἤκουε, τὸ δὲ τῆς Ἑκάβης λίαν αὐτὴν ἐξένισεν.

452. πάλλεται ἦτορ ἀνὰ στόμα] ἐμφαντικῶς δηλοῖ τὴν ψυχὴν ἐκπηδῆσαι βιαζομένην. καὶ Καλλίμαχος "ἐκόλλησαν γὰρ ἀνῖαι γούνατα" (Lav. Pallad. 83).

455. θρασὺν Ἕκτορα] οἶδε γὰρ αὐτοῦ τὸ φιλότιμον· φησὶ γοῦν "φθίσει σε τὸ σὸν μένος" (Il. 6, 407).

459. τὸ ὃν μένος οὐδενὶ εἴκων] προέτρεχε, φησίν, οὐδενὶ παραχωρῶν τὴν ἑαυτοῦ ψυχικὴν δύναμιν.

463. ἔστη παπτήνασ'] εὖ τὸ μὴ πυθέσθαι παρ' ἑτέρων· ψυχῆς γὰρ φιλάνδρου καὶ ταρασσομένης ἔργον τὸ αὐτόπτιν ἐθέλειν γενέσθαι τῶν τοιούτων.

465. ἀπὸ τῆς Ἀχιλλέως διαθέσεως ἀκηδέστως φησὶ καὶ τοὺς ἵππους ἕλκειν. οἶκτον δὲ ἔχει καὶ τὸ ἐν ὄψει τῶν φιλτάτων ἕλκεσθαι, οὐδενὸς ἀμύνειν δυναμένου.

466. τῆς μὲν τὸ πάθος ἐμάρανεν ἡ κατ' ὀλίγον θέα, τὴν δὲ ἡ αἰφνίδιος ὄψις ἐπάταξεν.

11. ἐπιζήτησις] *ἐπίπληξις 21. γὰρ] γάρ μοι

467. ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν] ὑπερβολικῶς, ἀντὶ τοῦ ἐξέπνευσεν.

468. καὶ πῶς ἀποψύξασα ἐνεργεῖ; ἔστι δὲ σύνηθες Ὁμήρῳ τὸ ὀφειλόμενον ἁπλῶς ἑρμηνεύεσθαι ἐν δυσὶ περικοπαῖς ἐκφέρειν· "αὐτὰρ ἐπὴν πάντα τελευτήσῃς τε καὶ ἔρξῃς" (Od. 1, 293) ἀντὶ τοῦ ἔρξας τελευτήσῃς· "ἄνεσάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας" (Il. 21, 537) ἀπώσαντες ἄνεσαν· "τιμήσῃ, ὀλέσῃ δὲ πολέας" (Il. 2, 4) ἀντὶ τοῦ ὀλέσας τιμήσῃ· "φθέγγεο καὶ ἐγρήγορθαι ἄνωχθι" (Il. 10, 67) ἀντὶ τοῦ φθεγγόμενος ἄνωχθι γρηγορεῖν. οὕτως "ἐκάπυσσε, τῆλε δ' ἔχεεν" ἀντὶ τοῦ χέασα τῆλε ἐκάπυσσε. τινὲς δὲ ὡς τὸ "θρέψασα τεκοῦσά τε" (Od. 12, 134).

δέσματα σιγαλόεντα] εἰς μνήμην ἄγει τῆς παλαιᾶς εὐδαιμονίας, ὅπως τῇ μεταβολῇ αὐξήσῃ τὸν οἶκτον. μὴ ἐῶν δὲ ἡμᾶς ἄσχημόν τι σκοπεῖν περὶ τὸ πτῶμα τῆς γυναικὸς, ἠσχόληκέ τε ἡμᾶς περὶ τὴν κεφαλὴν αὐτῆς καὶ περιέστησε τὰς συγγενεῖς. ὅρα δὲ καὶ ἐν τοῖς λεπτοτάτοις τὴν παρατήρησιν τοῦ ποιητοῦ. ἐπὶ μὲν γὰρ τῆς Ἑκάβης διὰ συντόμων εἶπεν "ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην" (406)· ἑνὸς γὰρ ἔδει καλύμματος τῇ πρεσβύτιδι· ἐπὶ δὲ ταύτης ὡς ἂν νέας καὶ μάλιστα γυναικὸς τοῦ μᾶλλον εὐδοκιμοῦντος ἐπεξεργασίᾳ χρῆται.

469. ἄμπυξ ἀρσενικῶς τὸ διάδημα τὸ πρὸς ἀνάδησιν τῶν τριχῶν, ἃς περιστέλλοντες οἱ παλαιοὶ ὑπὸ τοῦτον περιήγοντο. καὶ νῦν ἀμπυκίζειν τὸ τὰς ἐμπροσθίους τρίχας ἀναδεῖσθαι. καὶ "χρυσάμπυκες ἵπποι" διὰ τὸ δεῖσθαι στροφίῳ τὰς κορυφαίας τῶν τριχῶν. ἀναδέσμη δὲ σειρὰ ἣν κύκλῳ περὶ τοὺς κροτάφους ἀναδοῦνται. κρήδεμνον δὲ τὸ ὠμοφόριον, ὡς τὸ "σχομένη λιπαρὰ κρήδεμνα" (Od. 1, 334).

473. γαλόῳ] μετὰ τοῦ ῑ γραπτέον· ἔστι γὰρ πληθυντικὴ εὐθεῖα Ἀττικὴ, ὡς τὸ οἱ Μενέλεῳ. σημαίνει δὲ τὰς τοῦ ἀνδρὸς ἀδελφάς. εἰνατέρες δὲ αἱ γυναῖκες τῶν τοῦ ἀνδρὸς ἀδελφῶν.

474. ἀτυζομένην] ταρασσομένην, ἄτῃ συνεχομένην. ἢ ἑαυτὴν ἀπορρῖψαι τοῦ τείχους θέλουσαν· ἔλεγε γὰρ "ἐμοὶ δέ κε κέρδιον εἴη σεῦ ἀφαμαρτούσῃ χθόνα δύμεναι" (Il. 6, 410). ἔστι δὲ ἰδεῖν

9, 10. ἐκάπυσσε] ἐκάππυσσε
21. διάδημα Bekk.] διάδεμα
22. * περιήγοντο] παρῆγον
23. * ἀναδεῖσθαι] ἀναδεῖν
26. ὠμοφόριον] μαφόριον (vocabulum Graecobarbarum)

οἰκτροτάτην ὄψιν, ἐκεῖθεν μὲν Πρίαμον κατεχόμενον, ἐξελθεῖν θέλοντα πρὸς Ἀχιλλέα, ἐντεῦθεν δὲ τὴν Ἀνδρομάχην ὑπὸ τῶν γυναικῶν διειλημμένην πρὸς τὸ μὴ ῥιφῆναι τοῦ τείχους.

475. Ἀρίσταρχος ἔμπνυτο γράφει, ἔμπνους ἐγένετο, ἐν ἑαυτῇ τὸ πνεῦμα ἤγαγε καὶ συνῆξεν.

θυμὸς ἀγέρθη] ἠθροίσθη ἡ ψυχή, ἐσκορπισμένη οὖσα τὸ πρίν.

476. ἀμβλήδην] ἀντὶ τοῦ οὐκ ἀπὸ τῶν ἐνεστώτων ἀρξαμένη δεινῶν, ἀλλ' ἐκ προοιμίων ἑτέρων.

477. Ἕκτορ, ἐγὼ δύστηνος] ἠθικὸς ὁ λόγος καὶ ἁρμόδιος γυναικί. λέγει δὲ ἑαυτὴν δύστηνον διὰ τὸ μὴ συναποθανεῖν· ὁ γὰρ ἀποθανὼν πάντων ἀπήλλακται τῶν δεινῶν. στικτέον δὲ μετά τε τὸ Ἕκτορ καὶ μετὰ τὸ δύστηνος.

484. αὔτως] ἀντὶ τοῦ ὡσαύτως ἐμοί· ἐγὼ γὰρ χήρα, καὶ οὗτος νήπιος καὶ ὀρφανός. ἢ ὃν ματαίως ἐτέκομεν. σύνηθες γὰρ ταῖς γυναιξὶν ἐν τῇ μνήμῃ τῶν ἀνδρῶν τῆς ὀρφανίας τῶν παίδων μνημονεύειν.

485. τέκομεν σύ τ' ἐγώ τε] πρὸς τὴν τῶν παίδων γένεσιν ἀμφοτέρων ἡ ἐνέργεια.

486. οὔτε σοὶ οὗτος] δαιμονίως ἔμιξε τὸ πάθος, ἐφ' ἑκατέρῳ οἶκτον κινοῦσα, ἐπί τε τῷ ἀπολειφθέντι τῆς τοῦ πατρὸς ἀρετῆς, ἐπί τε τῷ μὴ ἀπολαύσαντι τοῦ παιδός.

487. ἕως τοῦ "δακρυόεις δέ τ' ἄνεισιν" ἀθετοῦνται στίχοι ιγ', ὡς καὶ τὴν σύνθεσιν εὐτελεῖς καὶ τῷ καιρῷ ἀνάρμοστοι· ἀδολεσχίαν γὰρ ποιοῦσι τοσούτῳ προσώπῳ περικείμενοι. ἀλλὰ ἦθος γυναικῶν ἄκρως ἀπεμιμήσατο· σύνηθες γὰρ γυναιξὶ πολυλογεῖν ἐν τοῖς πένθεσι καὶ μάλιστα ἐπὶ τοῖς πάθεσι πάθος κινεῖν.

489. ἀπουρήσουσιν] κυρίως τῶν ὅρων ἀφαιρήσονται· ὁ μὲν γὰρ Πρίαμος ἔργον ἐσχάτου γήρως, ἄλλος δὲ οὐκ ἔστιν ὁ ἐλεήσων τὴν ὀρφανίαν αὐτοῦ. ἡ δὲ ἀτυχία πάντα τὰ χείρω προσδοκᾶν αὐτὴν ποιεῖ.

490. ἦμαρ δ' ὀρφανικόν] τὸ τῆς ὀρφανίας ἦμαρ τῶν ἀμφηλικιωτῶν ἔρημον τίθησι τὸν παῖδα. οἱ δὲ διεσταλμένως πᾶν, εἶτα ἀφήλικα, ἵν' ᾖ πᾶν ἦμαρ ὀρφανικὸν παῖδα ἀφήλικα τίθησιν, ὅ ἐστιν ἐκτὸς τῶν ἡλικιωτῶν.

491. πάντα δ' ὑπεμνήμυκε] πάντα αὐτὸν τὰ δεινὰ εἰς ἀνάμνησιν

28. ἔργον ἐσχάτου γήρως] ἐσχατογήρως Bekkerus

ἄγει τοῦ δυσφορεῖν. ἢ πάντα αὐτῷ καταπέπτωκε καὶ κατακέκλιται, παρὰ τὸ ἡμύω ἡμύσω ἤμυκα ἐμήμυκα, καὶ περισσὸν τὸ ῡ. οὐδετέρως δὲ τὰ παρειά.

*ἔνιοι τὸ ὑπεμνήμυκεν ἀντὶ τοῦ στυγνάζειν καὶ καταμεμύχθαι.

494. κοτύλη εἶδος ποτηρίου, ἢ τὸ κοῖλον τῆς χειρός.

495. ὑπερώη τὰ οὖλα, ἢ ἀπὸ μέρους τὸ ὅλον στόμα. οἱ δὲ τὸν γαργαρεῶνα.

496. ἀμφιθαλὴς ὁ ἐπ' ἀμφοῖν μητρὶ καὶ πατρὶ καὶ πλούτῳ εὐδαίμων, παρὰ τὸ ἀμφοτέρωθεν θάλλειν. ἅπαξ δὲ εἴρηται ὁ ἀμφιθαλὴς παρ' Ὁμήρῳ.

500. Ἀστυάναξ] τὸ ἀπὸ τῆς εὐδαιμονίας αὐτῷ συμβὰν ὄνομα λέγουσα πλέον οἰκτίζεται καὶ συμπάθειαν κινεῖ.

501. ἐσήμανεν οἵοις τε καὶ ὅσοις δεῖ τιθηνεῖσθαι τοὺς παῖδας. εὖ δὲ τὸ ἁβροδίαιτον ἐδήλωσε τοῦ βασιλικοῦ καὶ μονογενοῦς παιδός.

503. ἀγκαλίδεσσι] ἔχουσι γὰρ ἐν ταῖς ἀγκάλαις στρωμνὴν σύμμετρον· ἢ ὡς συγκοιμωμένης αὐτῷ. ἐμείωσε δὲ τὴν λέξιν ὁμοίως τῇ βραχύτητι τοῦ παιδός.

504. θαλέων] παντοδαπῶν τροφῶν καὶ ἐδεσμάτων.

509. αἰόλαι] εὔστροφοι καὶ ποικίλαι. πιθανῶς δὲ ἀνέστρεψεν ἐπὶ τοὺς ὀδυρμοὺς ἀφ' ὧν ἤρξατο.

511. λεπτά τε καὶ χαρίεντα] οὐ τὸν κόπον καὶ τὴν δυστυχίαν ἑαυτῆς, ἀλλὰ τὴν Ἕκτορος ἐμφαίνει, ὡς δι' αὐτὸν τὰ τοιαῦτα ποιήσασα, οἷς οὐκ ἐπανεπαύσατο.

512. πάντα καταφλέξω] παθητικὰ ταῦτα καὶ βιωτικά· συναφανίζουσι γὰρ τοῖς τεθνεῶσι τὰ κάλλιστα, ἐξασφαλιζόμενοι αὐτὰ εἰς ἑτέρων μὴ ἥκειν χρῆσιν. λέγει δὲ ὅτι ὄντως φλέξω αὐτά· σοὶ γὰρ ἐξ αὐτῶν οὐδὲν ὄφελος.

ΕΙΣ ΤΗΝ Ψ.

2. νῆας τὸν τόπον τῶν νηῶν, Ἑλλήσποντον δὲ τὴν μέχρι Σιγείου θάλασσαν.

3. ἐσκίδναντο] ἀπ' ἀλλήλων ἐχωρίζοντο.

4. ἀποσκίδνασθαι] ἀπ' αὐτοῦ χωρίζεσθαι. ἢ παρέλκει ἡ ἀπό, ὡς τὸ ἀπητίμησεν (Il. 13, 113).

8. αὐτοῖς ἵπποισι] λείπει ἡ σύν.

10. τεταρπώμεσθα γόοιο] Αἰσχύλος (fr. 382) φησὶν ὅτι στεναγμοὶ τῶν πόνων ἰάματα οὐ μέτρια τυγχάνουσιν.

14. ἰάσατο τὸ ἀπρεπὲς τοῦ κλαίειν ἐνόπλους στρατιώτας διὰ τῆς Θέτιδος. καὶ ἦρξε μὲν τῆς οἰμωγῆς Ἀχιλλεύς, οἱ δὲ συνῴμωξαν, ὥσπερ ἐνδόσιμον λαβόντες καιρὸν ὑπ' αὐτοῦ, καὶ πρότερον μὴ κλαύσαντες.

15, 16. τινὲς διαστέλλουσιν ἐπὶ τὸ τεύχεα, ἵνα, φασὶ, τοῖς τῶν ἀνθρώπων δάκρυσιν αἵ τε ψάμαθοι καὶ τὰ ὅπλα βρέχηται· τερατῶδες γὰρ τὸ δακρύειν τὰ ὅπλα.

16. τοῖον] αὐξητικῶς καὶ θαυμαστικῶς μετ' ἐμφάσεως, ἵν' ᾖ τὸν μέγαν καὶ περιβόητον. οἱ δὲ γλωσσογράφοι ἀντὶ τοῦ ἀγαθὸν ἤκουσαν.

μήστωρα φόβοιο] μήσασθαι φυγὴν πολεμίοις δυνάμενον.

17. ἀδινοῦ] ἀθρόου, οἰκτροῦ· δεῖ γὰρ ἐν τοῖς θρήνοις προϊέναι μὲν ἀθρόον τὸ πνεῦμα, μὴ δυνάμενον δὲ φέρειν ὑπεκλύεσθαι.

18. δίχα δύναται λέγεσθαι, ἐάν τε αὐτὸς ᾖ ὁ τὰς χεῖρας ἐπιθεὶς τῷ φίλῳ, ἐάν τε τὰς ἐκείνου χεῖρας τοῖς ἑαυτοῦ στήθεσιν ἐπιθείς.

19. χαῖρέ μοι] οἴκτου κινητικὸν ἡ πρὸς νεκροὺς ὁμιλία. κατέχεται δὲ τῇ κοινῇ ἐννοίᾳ Ἀχιλλεύς, καὶ ἔοικεν ἀηδές τι τὸν θάνατον ὑπειληφέναι· τοῦτο γοῦν ἐν ὑπερβολῇ φησὶν, καὶ εἰν Ἀΐδαο δόμοισιν ὢν χαῖρε, οἷον εἰ ἔστι παραμυθία τοῖς τετελευτηκόσι, ταύτην δέχου παρ' ἡμῶν.

21. ὠμὰ δάσασθαι] ὠμῶς ἀπομερίσασθαι. εἰώθασι δὲ οἱ κύνες ἄλλος ἄλλοσε ἀποσπᾶν καὶ μερίζεσθαι τὸ σῶμα.

24. ἀεικέα] ἀπεοικότα καὶ ἀπρεπῆ. τοῦτο δέ ἐστι τὸ ἐπὶ στόμα ἐκτεῖναι τὸ σῶμα καὶ ἐνυβρίζειν τῷ οὐκ ἀντιλαμβανομένῳ. ἢ τοῦτο ἀεικὲς τὸ τὸν μείζω παρὰ τῇ τοῦ ἥσσονος ἐρρῖφθαι σκηνῇ.

μήσατο] νῦν ἀντὶ τοῦ εἰργάζετο, ἐποίει.

26. οἱ δέ] ἀντὶ τοῦ τῶν δὲ ἕκαστος.

27. ὑψηχέας] ὑψοῦ ἠχοῦντας· φησὶ γοῦν "οὐρανὸν ἐς πολύχαλκον ἐπέπληγον πόδες ἵππων" (Il. 5, 504). ἢ ὑψοῦ ἀνέχοντας ἑαυτούς· φησὶ γοῦν "ὑψοῦ δὲ κάρη ἔχει" (Il. 6, 509).

29. ἢ τὴν μετὰ τὸν τάφον εὐωχίαν, ἵν' ᾖ τὸ δαίνυ ἀντὶ τοῦ παρε-

1. ὅτι] * οἵ τοι (οἵ τε apud schol. Soph. El. 286). Trimeter est οἵ τοι —ἰάματα

2. ἰάματα] ἐρείσματα schol. Sophoclis.

29. τοῦ τῶν] τούτων

σκεύαζεν, ἢ τὴν πρὸ τοῦ τάφου, ἵνα δύο εὐωχίαι ὦσιν, ἡ μὲν πρὸ τοῦ τάφου πρὸς τὸ προθύμως ὑπουργῆσαι τῇ ταφῇ, ἡ δὲ μετὰ τὸν τάφον διὰ τὸν ἐκ τῆς ταφῆς κόπον καὶ εἰς εὔκλειαν τοῦ ταφέντος.

30. ἀργοί] ταχεῖς· ἀλλὰ εἰλίποδες. λευκοί· ἀλλ' οὐ θύεται λευκὰ τοῖς τεθνεῶσι· δῆλον γὰρ ἐκ τοῦ "ἔνθ' ὄϊν ἀρνειὸν ῥέξειν θῆλύν τε καὶ μέλαιναν" (Od. 10, 527) καὶ "ὄϊν ἱερευσέμεν οἴῳ παμμέλανα" (ib. 524). ἢ οὖν μετὰ τὸ ἐκδαρῆναι διὰ τὴν πιμελήν· ἢ ὅτι οὐ τῷ Πατρόκλῳ, ἀλλ' εἰς τὸ δεῖπνον τῶν ζώντων τοὺς βόας ἔθυον.

ὀρέχθεον] κατὰ μίμησιν ἤχου τραχέος πεποίηται τὸ ῥῆμα, ἀντὶ τοῦ ἔστενον ἀναιρούμενοι.

*ἀπεστείνοντο ἀναιρούμενοι· τὸ γὰρ ἰδίωμα μιμεῖται τῆς φωνῆς, ὃ προΐενται ἀναιρούμενοι οἱ βόες. οἱ δὲ, διεκόπτοντο· ἀπὸ τούτου καὶ ἐρεγμὸς ὁ ἀποκεκομμένος κύαμος.

31. πολλοὶ δ' ὄϊες καὶ μηκάδες αἶγες] οὐκέτι ὀρέχθεον, ἀλλ' ἐμήκαζον. ἡ δὲ ἐπανάληψις τοῦ πολλοί τὸ πλῆθος ἐμφαίνει καὶ τὸ ἀόριστον.

33. εὑόμενοι] τὸ εὕειν ἐστὶ τὸ ἀποκαίειν τὰς τρίχας.

34. ἔρρεεν αἷμα] οὐχ ὅτι ἥπτετο τοῦ νεκροῦ (κεῖται γὰρ ἐν τοῖς λέχεσιν), ἀλλὰ περὶ αὐτὸν ἐχεῖτο. κοτυλήρυτον δὲ τὸ δαψιλὲς, τὸ κοτύλῃ ἀρυόμενον, παρὰ τὸ ἀρύω ἀρύσω ἀρυτόν, κοτυλάρυτον. καθόλου δὲ κοτύλας ἐκάλουν πάντα τὰ κοῖλα· καὶ Αἰσχύλος ἐν Ἠδωνοῖς (fr. 55) τὰ κύμβαλα· "ὁ δὲ χαλκοδέτοις κολύλαις ἠχεῖ." ἔστι δὲ καὶ τὸ μικρὸν ποτήριον, ὡς τὸ "κοτύλην τις τυτθὸν ἐπέσχεν" (Il. 22, 494) καὶ "πύρνον καὶ κοτύλην ὀρέξει" (Od. 15, 312). καὶ αἱ τῶν πολυπόδων φολίδες, ὡς τὸ "πρὸς κοτυληδονόφιν πυκιναὶ λάϊγγες ἔχονται" (Od. 5, 433). καὶ τὸ κοῖλον τῆς χειρός. καὶ κοτυλίσκος ὁ μικρὸς κρατήρ.

36. εἰς Ἀγαμέμνονα] ἀντὶ τοῦ πρός.

37. σπουδῇ] μόγις. παροξυτόνως δὲ τὸ παρπεπιθόντες· ἔστι γὰρ δευτέρου ἀορίστου.

χωόμενον] συγκεχυμένον καὶ λυπούμενον.

8. εἰς τὸ] εἰς τὸν
12. * μιμεῖται] μέμνηται
13. ὃ] * ἦν
23. ἠχεῖ] * στοβεῖ, quod est ὀτοβεῖ, ut legitur apud Strabonem 10 p. 470.
24. * ἐπέσχεν] om.
30. παρπεπιθόντες] πεπιθόντες

39. ἐκέλευσαν, πληθυντικῶς, οἱ βασιλεῖς, ὡς Ἡρωδιανός.

40. εἰ πεπίθοιεν] φιλικῶς ἄγαν· προειλήφασι μὲν γὰρ ὅτι οὐκ ἐθελήσει, παρασκευάζονται δὲ ὅμως. τοῦτο δὲ δηλοῖ διὰ τοῦ εἰ πεπίθοιεν.

41. βρότον αἱματόεντα] τὸν ἐξ αἵματος μολυσμόν.

42. στερεῶς] ὁλοσχερῶς, ἀπαρακλήτως.

43. οὐ μὰ Ζῆν'] τὴν ἄρνησιν καὶ ἀπόμοσιν ὁμοῦ τέθεικεν. θεῶν ὕπατος καὶ ἄριστος] δυνάμει καὶ τιμῇ τῶν ἄλλων προὔχων θεῶν

44. καρήατος] λείπει τὸ ἐμοῦ· ἀσεβεῖν γὰρ οἱ φιλόστοργοι νομίζουσι τὴν τοῦ σώματος ἐπιμέλειαν τῆς κηδείας προτιθέντες.

48. ἄκρως διὰ τοῦ πειθώμεθα τὸ πρὸς βίαν καὶ παρὰ τὸ δέον δηλοῖ.

50. παρά τε σχεῖν ὡς ἐπιεικές] παρασχεῖν ὡς ἁρμόζει καὶ καθῆκόν ἐστιν.

53. θᾶσσον ἀπ' ὀφθαλμῶν] ἵνα ταχύτερον ἀπὸ τῆς ὄψεως ἡμῶν γένηται. τιμὴ γὰρ τοῦ νεκροῦ ἐδόκει τὸ τάχιον ταφῆναι.

55. οὐ παρέλκει νῦν τὸ ἐσσυμένως, ἀλλ' ἑσπέρας οὔσης καὶ κομίσαι τὴν ὕλην παρασκευαζομένους ἔδει ταχῦναι τὸ δεῖπνον. ἀποσιωπᾷ δὲ τὴν περὶ τὸ δεῖπνον διάθεσιν· ἐν γὰρ πένθει καὶ κατηφείᾳ ἦν. ἰστέον οὖν ὡς τὸ μὲν πρῶτον οἱ Μυρμιδόνες εὐωχοῦνται μόνοι, νῦν δὲ καὶ Ἑλλήνων πλῆθος.

59. ἐπὶ θινί] πρέπουσα κοίτη πενθοῦντι καὶ ἀλύοντι. τάχα δὲ τὰς παρηγορίας τῶν φίλων οὐ φέρων καθ' αὑτὸν τρέπεται, σχολάζειν τῷ πένθει θέλων.

62. * εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ] δικαίως οὖν προφκονόμει τὸν δρόμον Ἀχιλλέως, ὅπως περιπαθὲς ἐπεισόδιον ἐνέγκῃ. πῶς γὰρ ἂν οὕτως ἔμφροντις βαθεῖ ὕπνῳ ἐβλήθη; τὸ δὲ εὖτε ἀντὶ τοῦ ἡνίκα.

65. Πατροκλῆος] ἐντεῦθεν Ἀντισθένης ὁμοσχήμονάς φησι τὰς ψυχὰς τοῖς περιέχουσι σώμασιν εἶναι. ἄκρως δὲ ἐπεξεργάζεται τὴν ἐπιφάνειαν τοῦ ὀνείρου· ἔναυλος γὰρ τῷ Ἀχιλλεῖ ὁ τοῦ φίλου τύπος.

1. πληθυντικῶς] Nam in aliis libris est κέλευσεν.

12. πρὸς Bekkerus] παρὰ

27. προφκονόμει Bekkerus] παροικονομεῖ

28. οὕτως ἔμφροντις] οὕτως ἔμφροντις Vill. ὁ ἄφροντις οὕτω Bekkerus.

πιθανὴ ἡ περιπέτεια· μετὰ γὰρ τοὺς Ἀχιλλέως θρήνους ἐξεῦρέ τι καινότερον, καὶ τῷ τετελευτηκότι λόγους περιτίθησι διὰ τοῦ ὀνείρου.

69. εὕδεις, αὐτὰρ ἐμεῖο] πλήρης φιλοστοργίας ὁ λόγος καὶ μέμψεως ἠθικῆς. λελασμένος δὲ ὑπάρχεις ἀντὶ τοῦ ἐπιλέλησαι.

70. ἀκήδεις] περιπαθὲς τὸ ἀναμνῆσαι τῆς φιλίας. μαρτυρῶν δὲ αὐτοῦ τὴν ἐν τῷ ζῆν ἐπιμέλειαν, ἐπὶ τὰ ἴσα προτρέπεται.

71. *Πορφυρίου. πῶς ὁ μὲν Πάτροκλος λέγει "θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω," εἰπὼν δὲ καὶ τὴν αἰτίαν προστίθησι δι' ἣν βούλεται ταφῆναι ("τῆλέ με εἴργουσι ψυχαί, εἴδωλα καμόντων")· ἐν δὲ τῇ Ὀδυσσείᾳ (24, 1) ἀποθανόντων τῶν μνηστήρων, πρὶν ταφῆναι φησὶν "Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο ἀνδρῶν μνηστήρων·" εἶτα ἄγει λαβὼν αὐτὰς εὐθὺς εἰς Ἅιδου, κἀκεῖ τοῖς περὶ τὸν Ἀγαμέμνονα ἐντυγχάνουσιν. εἰ γὰρ οἱ ἄταφοι τοῖς ἄλλοις οὐ μίγνυνται νεκροῖς, ἐνταῦθα δὲ πλησιάζουσιν, μὴ ἐναντίωμα ᾖ. λύεται δὲ τοῦτο ἐκ τοῦ προσώπου· τὰ μὲν γὰρ περὶ τοὺς μνηστῆρας ὁ ποιητὴς ἀπεφήνατο, καὶ τὸ ἀληθὲς οὕτως ἔχει· τὰ δὲ ἕτερα φαντασθῆναί φησι τὸν Ἀχιλλέα, εἴτε ἀληθῶς ἐπιστάντα αὐτὸν εἴτε καὶ ἄλλως τοῦτο νομίσαντα.

74. εὐρυπυλές] τὸ πᾶσιν ἐφηπλωμένον.

78. γενναίως οὐδενὸς τῶν ἡδέων ἐμνήσθη, ἀλλ' ἐν οἷς περὶ τῶν συμφερόντων ἐβουλεύοντο.

79. ἀμφέχανε] κατέφαγε καὶ κατέπιεν.

80. καὶ δὲ σοὶ αὐτῷ] εὐαγγελίζεται αὐτῷ μετ' οὐ πολὺ πρὸς αὐτὸν ἀπελεύσεσθαι, ἵνα μὴ τῆς κηδείας ἀμελῇ.

81. εὐηγενέων] τῶν καλοὺς ἀγροὺς ἐχόντων ἢ γένη. οἱ δὲ εὐηφενέων, παρὰ τὸ ἄφενος, τῶν καλῶς χρωμένων τῷ ἀφένῳ.

82. *τὸ ἐφήσομαι ἐντολήν σοι δώσω, ἐξ οὗ λέγονται ἐφέται οἱ ἐντολεῖς.

86. ἀνδροκτασίης] καταχρηστικῶς· παῖδα γὰρ ἀνεῖλεν τὸν Ἀμφιδάμαντος τὸν Λύσανδρον, παρ' Ὀθρυονεῖ τῷ γραμματιστῇ, ἐν παιδιᾷ ἀστραγάλων.

90. ὀνόμηνεν] καλεῖσθαι ἐποίησεν, ὅ ἐστιν εἶναι.

7. *Πορφυρίου] om.
27. τὸ ἐφήσομαι—ἐντολεῖς] Scholion manus recentissimae.
30. Ὀθρυονεῖ] ὀθρυωνεῖ
ἐν παιδιᾷ ἀστραγάλων] * ὥς φησιν Ἀλέξανδρος ὁ Αἰτωλὸς ἐν ἀστρολογισταῖς, ubi recte Meinekius Ἀστραγαλισταῖς.

92. οὐ κενὴν σορὸν δέδωκεν αὐτῷ ἡ μήτηρ (δυσοιώνιστον γὰρ τοῦτο ἐπὶ πολέμῳ ἐξιόντι), ἀλλ' ἴσως μεστὸν οἴνου ἀμφορέα, ὃν ἀξιοῖ σορὸν γενέσθαι. σορὸς δέ ἐστι κιβώτιον, οὗ ἔσω ὀροῦσαι ἔστιν.

*Διόνυσος Ἥφαιστον γενόμενον ἐν Νάξῳ μιᾷ τῶν Κυκλάδων ξενίσας ἔλαβε παρ' αὐτοῦ δῶρον χρύσεον ἀμφορέα. διωχθεὶς δὲ ὕστερον ὑπὸ Λυκούργου καὶ καταφυγὼν εἰς θάλασσαν, φιλοφρόνως αὐτὸν ὑποδεξαμένης Θέτιδος ἔδωκεν αὐτῇ τὸν ἡφαιστότευκτον ἀμφορέα. ἡ δὲ τῷ παιδὶ ἐχαρίσατο, ὅπως μετὰ θάνατον ἐν αὐτῷ ἀποτεθῇ τὰ ὀστᾶ αὐτοῦ. ἱστορεῖ Στησίχορος.

96. πάντα μάλ' ἐκτελέω] βραχὺς ὁ λόγος καὶ ἐμφαίνων τὸν σπεύδοντα πρὸς τὴν ἀμοιβήν. μῆκος δὲ λόγου ὄκνον χάριτος ἀναδέχεται.

100. ἠΰτε καπνός] διὰ τὸ λεπτὸν καὶ ἀφανὲς καὶ πνευματῶδες.

101. τετριγυῖα] ἐλεεινὰ βοόωσα, ὡς ἐπὶ τῶν νεοσσῶν (Il. 2, 314).

102. χερσί τε συμπλατάγησεν] ἐπὶ τῇ παραδόξῳ φαντασίᾳ τὰς χεῖρας συνέκρουσεν.

ἔπος ὀλοφυδνὸν τὸ μετὰ τίλσεως τριχῶν γενόμενον.

104. φρένες] τινὲς σῶμα· μέρος γὰρ σώματος αἱ φρένες. τοῦτο δὲ εἶπε, παρ' ὅσον ἐκταθεὶς οὐκ ἔλαβε. κάλλιον δὲ, ὅτι φρένας οἱ τεθνεῶτες οὐκ ἔχουσιν. ἐμέμφετο γὰρ ὡς ἠμελημένος. ἢ εἰσὶ μὲν, οὐ μὴν πάμπαν.

107. θέσκελον] ἀληθῶς, ὡσεὶ θεοῦ τὴν ὁμοιότητα κατασκευάσαντος.

108. τοῖσι δὲ πᾶσιν] ὑπερβολὴ πένθους ἐστὶν, ὥστε οἱ τὰς παραμυθίας ὀφείλοντες προσφέρειν αὐτοὶ κατάρχονται δακρύειν.

115. *σειράς] σχοίνους.

116. πάραντα] μήτε ἀνωφερῆ μήτε κατωφερῆ, ἀλλ' εὐθύτομα. δόχμια δὲ τὰ ἐκ πλαγίου.

119. κτυπέουσαι πῖπτον] ἤλλακται ἡ τάξις κατὰ παράφρασιν.

120. διαπλήσσοντες] διακόπτοντες πρὸς τὴν συμμετρίαν· τὸ δὲ διαπλίσσοντες ἀντὶ τοῦ τοῖς ποσὶ διαβάντες.

121. ποσσὶ δατεῦντο] διέκοπτον ταῖς ὁπλαῖς τὸ ἔδαφος, ἢ διεμερίζοντο τοῖς ποσὶ τὴν γῆν· μερισμῷ γάρ τινι ὅμοιόν ἐστιν, ἄλλοτε ἄλλῃ τιθεμένων τῶν ποδῶν.

2. πολέμῳ] *πόλεμον *ἀμφορέα] ἀμφιφορέα hic et infra. 30. διαπλίσσοντες Cobet.] διαπλήσσοντες 31. *διεμερίζοντο] διεμερίζετο

123. πάντες δ' ὑλοτόμοι] νόμος γάρ ἐστι στρατιωτικὸς μηδένα κοῦφον ἐν ταῖς τοιαύταις χρείαις διατελεῖν.

125. ἐπισχερῶ] ἐφεξῆς, παρὰ τὸ ἄλλο ἐπ' ἄλλῳ τὴν σχέσιν ἔχειν.

131. ἐν τεύχεσσιν ἔδυνον] ἀντὶ τοῦ εἰς τὰ τεύχη.

132. ἐν δίφροισι] ἀντὶ τοῦ εἰς τοὺς δίφρους.

133. νέφος εἵπετο πεζῶν] τὸ πλῆθος διὰ τοῦ νέφους ἐδήλωσε, καὶ τὸ σχῆμα, καὶ πῶς ἐπορεύοντο.

135. καταείνυον] ἀντὶ τοῦ περιεκάλυπτον. τὸ πλῆθος δὲ τῶν κειρομένων διὰ τούτου ἐμφαίνει.

139. μενοεικέα] τὴν ἀρεσκομένην Ἀχιλλεῖ, ἢ τὴν πρέπουσαν τῇ πυρᾷ.

142. τοῖς ποταμοῖς ἔτρεφον τὰς κόμας, ἐπεὶ κουροτρόφοι νομίζονται, διὰ τὸ αὐξητικὸν τὸ ὑγρὸν εἶναι. ὅτι δὲ αὐξητικόν ἐστι, καὶ παῖδες πρώτῃ τροφῇ χρῶνται τῇ ὑγρᾷ.

143. ὀχθήσας] στενάξας, καὶ ὡς ἐπὶ τὴν πατρίδα καὶ τὸν Σπερχειὸν ἀποβλέψας.

147. δυνάμεως καὶ αὐξήσεως αἴτιον τὸ ὕδωρ· ὅθεν ἔνορχα θύουσιν, οἱονεὶ τὰ εὐθαλέστερα καὶ δυνάμει προὔχοντα τοῖς αἰτίοις τοῦ δύνασθαι.

155. εἰ μὴ Ἀχιλλεύς] τοσοῦτος ὁ θρῆνος ὅτι καὶ Ἀχιλλεὺς διαγινώσκει τὴν ἀμετρίαν αὐτοῦ.

157. λείπει τὸ ὕστερον, ἵν' ᾖ, ἔστι καὶ ὕστερον ἆσαι γόοιο. ἐνέφηνε δὲ αὐτὸ διὰ τοῦ "νῦν δ' ἀπὸ πυρκαϊῆς σκέδασον" (Il. 23, 158).

158. δεῖπνον] τὴν πρὸ τοῦ δείπνου τροφήν. ὑπερβολικῶς οὖν εἶπε τὸ "καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος" (Il. 23, 154).

160. ὀξυτόνως τὸ κηδεός παρὰ τὸ κηδεύω, ὡς λοχεύω λοχεός. δηλοῖ δὲ τὸν κηδεύσιμον. τὸ δὲ ἑξῆς παραμενόντων ἄμμι οἱ ἀγοί.

*τὸ κηδεός τινὲς ἀντὶ τοῦ φροντίδος ἄξιος.

163. κηδεμόνες] οἱ εἰς τοῦτο τεταγμένοι πρὸς τὸ ἀδιασπάστως φροντίζειν αὐτοῦ παρὰ τοὺς ἄλλους.

164. ἑκατόμπεδον] ἑκατὸν ποδῶν πλευρὰς ἐκ παντὸς μέρους ἔχουσαν, ὡς τὸ τετράπους λίθος.

165. ἐν δὲ πυρῇ ὑπάτῃ] ἐν τῷ ἀνωτάτω αὐτῆς καὶ μέσῳ, ὡς τὸ "ῥινὸς ὕπερ πυμάτης" (Il. 13, 616).

168. δημὸν ἑλών] πρὸς τὸ ταχὺ τὴν πιμελὴν ἐξυφαφθῆναι τοῦτο ποιεῖ Ἀχιλλεύς.

169. περὶ δὲ δρατὰ σώματα νήει] περὶ αὐτὸν ἐσώρευεν ὑπὲρ τοῦ καὶ τὴν ἀπ' ἐκείνων πιμελὴν συμπράσσειν πρὸς τὴν καῦσιν. δρατὰ δὲ τὰ ἔκδαρτα κατὰ ἀντιστροφήν.

171. πρός] πρὸς τὸ σῶμα αὐτοῦ, ἢ πρὸς τὰς πλευρὰς, ἢ πρὸς ὃν ἔκειτο τόπον.

173. καὶ πρότερον λίαν ὠμὸν ὄντα πλέον ἠγρίωσε νῦν ὁ Πατρόκλου θάνατος, ὡς καὶ κύνας αὐτῷ συγκαίειν. διὸ ὡς ἀγανακτῶν ὁ ποιητής φησι (176) "κακὰ δὲ φρεσὶ μήδετο ἔργα."

177. σιδήρεον] ἄμφω γὰρ τμητικὰ, πῦρ καὶ σίδηρος.

νέμοιτο] ἐμφαντικῶς ἀντὶ τοῦ φάγοι.

179. χαῖρέ μοι] ἀντὶ τοῦ ἥδου, ὅτι σοι τὰ πρὸς ἡδονὴν ἀπεπλήρωσα.

184. ἀπειλήσας] διὰ τῆς ἀναφωνήσεως ἐθεράπευσε τὸν ἀκροατήν· ἤδη γὰρ συνέπασχε τῇ τοῦ Ἕκτορος αἰκίᾳ.

186. χρῖεν ἐλαίῳ] ἰσχυροποίησε τὸ σῶμα διὰ τῆς χρίσεως, ἵνα μὴ ἑλκόμενον ὑπ' Ἀχιλλέως ἀποξέοιτο.

190. μὴ πρίν] μή πως πρὸ τοῦ ἀπολυθῆναι τοῖς οἰκείοις τὸ σῶμα σκελετῶδες ποιήσειεν.

192. οὐδὲ πυρή] τὴν ἔμφασιν διὰ τούτου τῶν ὑγρῶν ἐμφαίνει, νικησάντων τὸ πῦρ.

195. Βορέῃ καὶ Ζεφύρῳ] ὡς Θρᾳξί· Θρᾴκη γὰρ Τροίας πλησίον.

198. ἀντὶ τοῦ ὁρμὴν λάβοι ἡ ὕλη τοῦ καῆναι, ἵν' ᾖ, ὕλη τ' ἐσσεύοιτο καήμεναι. εἰ δὲ ᾖ ὕλην τ' ἐσσεύαιτο καήμεναι, ἀντὶ τοῦ ἵν' ὁρμήσειαν οἱ ἄνεμοι τὴν ὕλην καίειν.

199. μετ' ἄγγελος ἦλθ' ἀνέμοισιν] Ἰωνικῶς, ἀντὶ τοῦ πρὸς ἀνέμους ἦλθεν, ὡς Ἀρχίλοχος "μετέρχομαι σύμβουλον." οὐκ ἐποίησε δὲ ἐκείνους ἀκούοντας, ὅτι βούλεται δηλῶσαι ὡς ἡ Ἶρις φανεῖσα πολλάκις ἀνέμων κίνησιν δηλοῖ, οἱονεὶ πρὸς διέγερσιν αὐτῶν ὁρωμένη.

200. δυσαέος] οὐκ ἀεί, ἀλλὰ χειμῶνι. ἔστι γὰρ χειμῶνος μὲν δυσαὴς, θέρους δὲ προσηνής.

205. οὐχ ἕδος] οὐχ ἑδραστέον.

1. ἐξυφαφθῆναι] * ἐξαφθῆναι
25. ἐσσεύαιτο] ἐσσεύατο: in textu ἐσσεύ^οι^ατο

206. Αἰθιόπων ἐς γαῖαν] χαρίεν ἐν παρέργῳ δεδήλωκεν ὅτι ἀπηλλάγησαν οἱ θεοὶ τοῦ πολέμου καὶ παρ' Αἰθίοψι πανηγυρίζουσι, πέρας ἐχόντων ἤδη τῶν περὶ τὴν Ἀχιλλέως βούλησιν. ἢ τάχα πρὸς ἀπαλλαγὴν τῶν ἐνοχλούντων ψεύδεται. χθὲς γὰρ θεαταὶ τῆς μάχης ἦσαν, καὶ ἕωθεν φιλονεικοῦσι περὶ Ἕκτορος.

208. τὸν δυσαῆ νῦν κελαδεινὸν εἶπεν· ἔστι δὲ ταυτὸν ἐκ παραλλήλου.

218. ὁ δὲ πάννυχος] πολὺ τὸ φιλέταιρον, ὅτι τοσαύτην ἀγρυπνίαν φέρει καὶ χοὰς τοσαύτας χέει.

222. ὡς δὲ πατήρ] αὔξησιν μεγίστην ὅλη ἔχει ἡ παραβολή· εἰς γὰρ ἔνδειξιν στοργῆς πατρὶ παραβέβληται. ἀλλ' οὐκ ἤρκεσεν Ὁμήρῳ τὰ τῆς εἰκόνος· οὐ γὰρ τυχοῦσαν ἡλικίαν παιδὸς παρέλαβεν, ἀλλὰ νυμφίον, τέλειον μὲν, παίδων δὲ οὔπω πατέρα, ὥστε οὖν ὁ πατὴρ καὶ παῖδας ὄψεσθαι τοῦ παιδὸς προσδοκήσας, μετὰ τῆς δευτέρας ἐλπίδος καὶ τὴν πρώτην ἀπώλεσεν.

223. νυμφίου] δηλοῖ ἡ λέξις καὶ τὸν ἤδη πατέρα παίδων· "νυμφίον ἐν μεγάροις μίαν οἴην παῖδα λιπόντα" (Od. 7, 65).

225. ἑρπύζων] βαρεῖά τις καὶ μογηρὰ κίνησις διὰ τοῦ ἑρπύζειν δηλοῦται. τοῦτο δὲ πρὸς τὸ ταπεινὸν Ἀχιλλέως διὰ τὴν λύπην.

232. κλίνθη κεκμηώς] ἐξέφρασε τὸν μετὰ πολὺν τὸν κόπον εἰς ὕπνον ἀποκλίναντα. καὶ διὰ τοῦ ὄρουσε τὸ τάχος ἐνέφηνε τοῦ ὕπνου, διὰ πολλὴν ἐπελθόντος ἀγρυπνίαν.

234. δοῦπος ἔγειρεν] τῶν γὰρ λυπουμένων ἐπιπόλαιος καὶ εὐδιάλυτος ὁ ὕπνος.

243. φιάλῃ] ἀγγείῳ λεβητοειδεῖ, ἐκπεπλατυσμένῳ ἄνωθεν. δημῷ δὲ τὰ ὀστᾶ καλύπτει πρὸς τὸ λιπαινόμενα μὴ εἶναι εὔσηπτα.

245. πολλόν] μέγαν· "πολλὸς γάρ τις ἔκειτο" (Il. 7, 156).

246. ἐπιεικέα τοῖον] ἠθικῶς, ἀντὶ τοῦ μικρὸν καὶ σύμμετρον.

248. δεύτεροι] ἔσχατοι. γενναίως δὲ τὸν ἑαυτοῦ οὐκ οἰκτίζεται θάνατον.

255. ὡς ὁ ζωγράφος προϋπογράφει πρῶτον, οὕτως καὶ οὗτοι προδιέγραψαν τὸ σχῆμα τοῦ τάφου. τὸ δὲ τορνογραφεῖν κυκλοτερῆ δείκνυσι τὸν τάφον.

τοῦτο ποιοῦσιν, ὅπως καὶ τὰ ὑπὸ τοῦ πυρὸς διαφθαρέντα μὴ ἐκτὸς

18. μογηρὰ] Probabilius μογερά: v. Thes. vol. 5 p. 1127.
29. * οὐκ] om.

ἐαθῇ. τὸ δὲ προβάλοντο ἀντὶ τοῦ πρὸ τῆς πυρᾶς ἔβαλον, ὅ ἐστι κύκλῳ τῆς πυρᾶς.

258. ἀγῶνα] τὸν τόπον ἐν ᾧ ἀγωνίζονται. λείπει δὲ ἡ εἰς.

259. νηῶν] τοῦ τόπου ἔνθα ἦσαν· ἐν νεωλκηθείσῃ γὰρ νηῒ οὐδὲν τίθεται, οὐδὲ διατρίβει τις ἐν αὐτῇ· φησὶ γοῦν "οἰσέμεναι κλισίηθεν."

* Πορφυρίου. ἐκ τούτου δείκνυται ὁ Ὅμηρος, ὁπόταν τὸ γένος προείπῃ τὸ συνεκτικόν τινων, ἐπιφέρειν εἴωθε καὶ τὰ περιεχόμενα εἴδη, οὐ μέντοι διὰ τοῦ διαζευκτικοῦ συνδέσμου, ὃς οὐκ ἔστι συναγωγὸς, διὰ δὲ τοῦ συμπλεκτικοῦ καὶ ἀναφορικοῦ καὶ ὑπάρχειν πάντα σημαίνοντος, ὥσπερ ἐν τούτοις (Il. 23, 259) "νηῶν δ' ἔκφερ' ἄεθλα" τὸ γενικὸν τοῦτο. τὰ δὲ εἴδη "λέβητάς τε τρίποδάς τε, ἵππους θ' ἡμιόνους τε βοῶν τ' ἴφθιμα κάρηνα, ἠδὲ γυναῖκας ἐϋζώνους πολιόν τε σίδηρον." πάλιν εἰπὼν (Od. 3, 274) "πολλὰ δ' ἀγάλματ' ἀνῆψεν" ἐπάγει τὸ εἶδος "ὑφάσματά τε χρυσόν τε" καὶ πάλιν εἰπὼν (Od. 9, 164) μῆλα ἐπάγει τὸ εἶδος "ὄϊές τε καὶ αἶγες." (Il. 2, 194) πάλιν φυτὸν εἰπὼν (Od. 24, 246) ἐπάγει "οὐ συκῆ, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη, οὐκ ὄχνη, οὐ πρασιή τοι ἄνευ κομιδῆς κατὰ κῆπον." πρὸς μὲν τὸ φυτὸν ἀπέδωκε τὴν συκῆν καὶ τὴν ἄμπελον καὶ τὴν ἐλαίαν καὶ τὴν ὄχνην. πρὸς δὲ τὸν κῆπον ταῦτά τε καὶ τὴν πρασιάν. λέγει γὰρ αὐτός που (Od. 4, 737) "καί μοι κῆπον ἔχει πολυδένδρεον·" κῆπος δὲ ὁ καταπνεόμενος τόπος (Od. 7, 119) "ζεφυρίη πνείουσα τὰ μὲν φύει, ἄλλα δὲ πέσσει" καὶ (Il. 22, 467) "ἀπὸ δὲ ψυχὴν ἐκάπυσεν" ἀντὶ τοῦ ἀπέπνευσε. πρασιὰν δὲ ἀπὸ τῶν λαχανευομένων τόπων, ἅπερ καὶ ἐπ' ἐσχάτοις φυτεύουσιν. (Od. 7, 127) "ἔνθα δὲ κοσμηταὶ πρασιαὶ κατὰ νείατον ὄρχον." καὶ τὰ ἑξῆς ἔπη. τὰ μὲν οὖν συνεκτικὰ πολλῶν ὁμοῦ οὕτω, τὰ δὲ διαζευκτικὰ (Od. 17, 384) "μάντιν ἢ ἰητῆρα κακῶν ἢ τέκτονα δούρων, ἢ καὶ θέσπιν ἀοιδόν." τούτοις οὖν ὅμοιον τὸ (Il. 24, 221) "τῶν οἳ μάντιές εἰσι θυοσκόοι, ἢ ἱερῆες." ὁ δὲ Λειώδης ὅτι οὐκ ἔστι μάντις δῆλον· οὐδὲν γὰρ ποιεῖ αὐτὸν προλέγοντα τοῖς μνηστῆρσιν ὥσπερ τὸν Θεοκλύμενον (Od. 20, 351) "ἆ δειλοὶ, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων εἰλύαται κεφαλαί τε πρόσωπά τ' ἔνερθέ τε γοῦνα" καὶ ἐπάγει (355) "εἰδώλων πλεῖον πρόθυρον, πλείη δὲ καὶ αὐλὴ ἱεμένων ἔρεβόσδε," ὡς τῶν παρακολουθούντων αὐτοῖς δαιμόνων ἤδη ἀφισταμένων καὶ εἰς Ἅιδου ἀπιόντων, ὡς καὶ ἐπὶ τοῦ Ἕκτορος ἔφη· "λεῖπεν δέ ἑ Φοῖβος Ἀπόλλων." καὶ ἐπὶ τῶν ἀποθνήσκειν μελλόντων (Il. 8, 73) "αἱ

6. * Πορφυρίου] om. Magna huius scholii pars repetita est in schol. ad Odyss. 3, 274, pp. 174, 175.

μὲν Ἀχαιῶν κῆρες ἐπὶ χθονὶ πουλυβοτείρῃ ἑζέσθην, Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν." πάλιν (Od. 11, 588) "δένδρεα δ' ὑψιπέτηλα κατὰ κρῆθεν χέε καρπόν." δένδρον τὸ γένος, οἷς ἐπάγει τὰ εἴδη "ὄχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι," καὶ πάλιν (Od. 5, 238) "ἔθι δένδρεα μακρὰ πεφύκει" καὶ ἐπάγει "κλήθρη τ' αἴγειρός τ', ἐλάτη τ' ἦν οὐρανομήκης," καὶ εἰπὼν "ὁ δ' ἐρινεὸν ὀξέϊ χαλκῷ τάμνεν" ἐπάγει τὸ εἰδικώτερον "νέους ὅρπηκας," καὶ πάλιν (Il. 10, 297) "ἀμφόνον" εἰπὼν ἐπάγει τὰ ἐκ τοῦ φόνου "νέκυας διά τ' ἔντεα καὶ μέλαν αἷμα." καὶ γὰρ οἱ νέκυες καὶ τὸ αἷμα καὶ τὰ ἔντεα ἐκ τοῦ φόνου. καὶ πάλιν "ἀλλὰ φόνος τε καὶ αἷμα καὶ ἀργαλέος στόνος ἀνδρῶν" (Il. 19, 214). λέγει δὲ καὶ τὸν τόπον ἔνθα οἱ φονευθέντες φόνον.

263. γυναῖκα μὲν τεχνῖτιν τῷ νικήσαντι τίθησιν, ὅτι σοφίας δεῖ καὶ τέχνης πρὸς τὴν νίκην, τρίποδα δὲ διὰ τὴν στάσιν καὶ καρτερίαν.

268. κεχανδότα] ἀντὶ τοῦ χανδάνοντα. λευκὸν δὲ τὸν καινόν.

269. πῶς τῷ τετάρτῳ πάντων μεῖζον δίδωσι; φησὶν οὖν ὁ Ἀριστοτέλης μὴ εἶναι τὸ τάλαντον ὡρισμένον ποσόν, ἀλλὰ καὶ ἐπὶ ἥσσονος καὶ μείζονος λαμβάνεσθαι· νῦν μὲν γὰρ ὡς ἧττον ἵππου λαμβάνεται, ἐν δὲ ταῖς λιταῖς (Il. 9, 122) ὡς μεῖζον. εἶχε δὲ ποτὲ μὲν ἑκατὸν δραχμάς, ποτὲ δὲ πεντήκοντα, ποτὲ δὲ λʹ, ποτὲ εἰκοσιτέσσαρας, ποτὲ δʹ, ὥς φησι Τίμαιος, καὶ τὸ τελευταῖον μίαν.

270. ἀμφίθετον] οἱ μὲν ἐξ ἀμφοῖν μεροῖν αἰρομένην, οἱ δὲ πανταχόθεν ἱσταμένην. ἀγγεῖον δὲ λεβητῶδες ἦν, δύο ἔχον ὦτα ἀμφοτέρωθεν, δι' ὧν ἐβαστάζετο.

271. μῦθον ἐν Ἀργείοισιν ἔειπε] οὐ διὰ κήρυκος· οὐ γὰρ πρὸς πάντας, ἀλλὰ πρὸς τοὺς ἀριστεῖς διαλέγεται.

281. ἐντεῦθεν Ξενοφῶν τὴν κεφαλὴν τῶν ἵππων ὕδατι πλύνειν ἀξιοῖ καὶ τὸ προκόμιον, ὁμοίως δὲ καὶ τῶν βοῶν· καὶ ἐλαίῳ τῷ ἀρκοῦντι λιπαίνειν.

287. ταχέες] ἀντὶ τοῦ ταχέως, ὡς τὸ "λῦσε δ' ἀγορὴν αἰψηρήν" (Il. 19, 276).

289. ὃς ἱπποσύνῃ ἐκέκαστο] οὐ μόνον ἵππων ἀρετῇ θαρρῶν ἀνέστη πρῶτος, ἀλλὰ καὶ τέχνῃ ἱππικῇ.

293. ὦρτο ξανθὸς Μενέλαος] εἰς τιμὴν Ἀχιλλέως οἱ βασιλεῖς ἀγωνίζονται. ἄτοπον δὲ ἦν, εἰ ἡσσήθη Ἀγαμέμνων· τὸ δὲ μηδέτερον ἀγωνίσασθαι ἀπρεπές.

295. τὴν Ἀγαμεμνονέην] τὴν τοῦ ἀδελφοῦ ζεύγνυσιν ἵππον, ἵνα τρόπον τινὰ κοινῇ ἀγωνίζοιντο. πρὸς δὲ τὸ φιλάδελφον οὐκ ἐντυγχάνοντα περὶ τῆς ἵππου πεποίηκεν αὐτὸν τῷ ἀδελφῷ, ἀλλὰ μετ' ἐξουσίας ζευγνύντα. ἔπαινος δέ ἐστι τοῦ δυναμένου εὐθύνειν τὸ ἀνόμοιον ζεῦγος. τάχα δὲ καὶ συνεργεῖ πλέον ἡ θῆλυς· οὐ γὰρ ἐδίδου ἀνοχὴν Ποδάργῳ τοῦ θηλυμανεῖν καὶ ἀμελεῖν τοῦ δρόμου. καὶ ὑπαινίττεται ὁ ποιητὴς ὡς ὅτι περὶ τὰ παιδουργὰ μόρια μόνον διαφέρειν ὀφείλουσιν ἄρρεν καὶ θῆλυ, κατὰ δὲ τὴν ἀρετὴν καὶ τὸ τοῦ βίου πρακτικὸν οὐδεμία αὐτοῖς διαφορά.

297. δῶρ' ἵνα μή οἱ ἕποιθ'] ἀπεσέμνυνε τὴν ἵππον οὕτως αὐτὴν εὐγενίσας, ὥστε καὶ δῶρον ἀστρατείας δοθῆναι. κρείττονα δὲ ἡγήσατο πολεμικὴν ἵππον ὑπὲρ ἀπόλεμον ἄνθρωπον Ἀγαμέμνων.

301. οὐ μάτην Ἀντίλοχος ἀγωνίζεται· ἱππικοῦ γάρ ἐστι πατρὸς, καὶ παρέξει ἀφορμὴν τῷ πατρὶ ὑποθήκας αὐτῷ ἡνιοχείας παραδοῦναι.

303, 304. Πυλοιγενέες] γράφεται καὶ παλαιγενέες· "ἄμφω γὰρ ἀτέμβονται νεότητος" (445). τὸ δὲ ὠκύποδες ἐπὶ νεότητος, ὡς τὸ "ἐϋμελίης Πρίαμος" (Il. 17, 9).

305. εἰς ἀγαθά] ἐπὶ τὸ ἀγαθὸν αὐτὸν σωφρονίζων καὶ ἐμβιβάζων εἰς τὴν νίκην καὶ περὶ ἱππικῆς διδάσκων.

310. τῷ τ' οἴῳ] τὸ τέλειον τῷ τοι οἴῳ· σπανία δὲ παρ' Ὁμήρῳ ἡ συναλοιφή. τινὲς δὲ τὸν τέ οἴονται, καὶ ἔστι περισσός.

311. ἀφάρτεροι] παρὰ τὸ ἄφαρ, ὃ σημαίνει τὸ εὐθέως, οἱ εὐθεῖς καὶ ταχύτατοι.

311, 312. οὐκ εἶπεν ὅτι κρείσσων τυγχάνεις, ἀλλ' ὅτι οὐδὲ ἥσσων.

314, 315. ἵνα μή σε παρεκπροφύγῃσιν ἄεθλα] οὐχ ὡς ἄμοιρον ἄθλου ἐσόμενον, ἀλλ' ἵνα μὴ πέμπτος μείνῃ· εἰ γὰρ ἄεθλόν ἐστι τὸ ἐπὶ νίκῃ διδόμενον, ἄρα τὸ πέμπτον οὐκ ἔστιν ἄεθλον.

315. μῆτι τοι δρυτόμος] ἵνα κατὰ τὴν φύσιν τοῦ ξύλου καὶ ἁρμονίαν κόπτῃ, καὶ μὴ κατὰ τὸ ἐναντίον.

316. μήτι δ' αὖτε κυβερνήτης] ἵν' ἀντιτάττηται τῷ πνεύματι, καὶ τὸ ἐπιὸν δεχόμενος ἀποκλῷ τὸ λειπόμενον· ἐκεῖνος γὰρ ἄριστος κυβερνήτης, ὁ ἐν χειμῶνι ὀρθὴν ἄγων τὴν ναῦν. ἐρεχθομένην δὲ

12. ὑπὲρ] ἤπερ Bekkerus. 22. συναλοιφὴ] συναλιφὴ

οἱονεὶ ἐρεθομένην ἤτοι ἐρεθιζομένην. γράφεται δὲ καὶ ἐεργομένην ἤτοι συνεχομένην καὶ κωλυομένην. καλῶς δὲ ἔδειξεν ὅτι ὃ μάλιστα βίας ἔργον εἶναι δοκεῖ, τοῦτο τέχνης δεῖται. τῇ δὲ ἐπαγωγῇ πρῶτος ἐχρήσατο Ὅμηρος.

319. ἐναντιότητος ἔλαβεν ἐνθύμημα, τέχνης ἐπιτυχίαν καὶ ἁμάρτημα ἐπιτυχίας. οἱ μὲν γάρ, φησίν, ἀτεχνεῖς ὄντες, ἵππων δὲ γενναίων ἐπιτυχόντες, τῇ ἐπιτυχίᾳ τὴν ἧτταν ἐκτήσαντο, μὴ περιγενόμενοι τῶν ἵππων, ἀλλὰ διὰ τὸ εὔδρομον πλείστην ὁδὸν καὶ οὐκ εὐθεῖαν εἱλούμενοι. ὁ δὲ τεχνίτης, κἂν βραδεῖς ἔχοι ἵππους, τάχιον τοῦ τέλους εὐθυδρομῶν ἐφικνεῖται.

322. ὃς δέ κε κέρδεα εἰδῇ] τέχνης βουλεύμασι "κέρδεσιν, οὔτι τάχει γε παραφθάμενος" (515).

323. στρέφει ἐγγύθεν] κάμπτει ἐγγὺς τοῦ καμπτῆρος, ἵνα μὴ ἐξαγώνιος αὐτῷ γένηται ὁ δρόμος.

οὐδέ ἑ λήθει] οὐ λήθει αὐτὸν ἐὰν ἔξω τοῦ καμπτῆρος τρέχωσιν. ἢ οὐ λήθει αὐτὸν τὸ ἐγγὺς τοῦ καμπτῆρος στρέφειν τοὺς ἵππους.

328. οὐ καταπύθεται] Θεόφραστός φησι (Hist. Plant. 5, 5) τὰ τοιαῦτα ξύλα κατορυσσόμενα ἢ ἐν λίμναις βρεχόμενα μὴ σήπεσθαι· ἐὰν δὲ ἐν θαλάσσῃ ᾖ, σήπεται.

330. ξυνοχῇσιν ὁδοῦ] ταῖς συμπτώσεσι ταῖς ἀπὸ εὐρυχωρίας εἰς στενὸν συγκλειομέναις· ἀμφίς δὲ χωρὶς ἤγουν ἐκτὸς τῆς στενώσεως.

336. ἠρέμα κλιθῆναι πρὸς τὸ μὴ τρέψαι τὸν δίφρον, καὶ τὸν δεξιὸν ἵππον κεντρίσαι πρὸς τὸ δραμεῖν.

339. δοάσσεται] φαντασθῇ, νομισθῇ.

340. λίθου] τοῦ προειρημένου λίθου. "λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκώ" (329).

*πλήμνη δὲ οἱ μὲν ἀπὸ τοῦ πλήσσεσθαι τὸν ἄξονα ὑπ' αὐτῆς· οἱ δὲ ἀπὸ τοῦ πληροῦν τὸν ἄξονα, ἐκ τοῦ πλῶ τὸ πληρῶ.

343. εἶναι] ἀντὶ τοῦ ἔσο. ἢ λείπει τὸ σπεῦδε.

345. οὐκ ἔσθ' ὅς κέ σ' ἔλῃσι] οὐδεὶς μετὰ σὲ ὁρμῶν καταλάβοι σε· εἰ δὲ καὶ καταλάβοι, ἀλλ' οὐ παρέλθοι.

346. *Ἀρίονα] Ποσειδῶν ἐρασθεὶς Ἐρινύος, καὶ μεταβαλὼν τὴν αὐτοῦ μορφὴν εἰς ἵππον, ἐμίγη κατὰ Βοιωτίαν παρὰ τῇ Τιλφούσῃ κρήνῃ. ἡ δὲ ἔγκυος γενομένη ἵππον ἐγέννησεν, ὃς διὰ τὸ κρατιστεύειν

22. τρέψαι Bekkerus] στέψαι

33. *ἐμίγη—κρήνῃ] ἐμίγη πᵉ βοιῶ τῇ τιλφούσῃ κρήνῃ

Ἀρείων ἐκλήθη. Κοπρεὺς δὲ Ἁλιάρτου πόλεως Βοιωτίας βασιλεύων ἔλαβε δῶρον αὐτὸν παρὰ Ποσειδῶνος· οὗτος δὲ αὐτὸν Ἡρακλεῖ ἐχαρίσατο γενομένῳ παρ' αὐτῷ. τούτῳ δὲ ἀγωνισάμενος Ἡρακλῆς πρὸς Κύκνον Ἄρεως υἱὸν καθ' ἱπποδρομίαν ἐνίκησεν ἐν τῷ τοῦ Παγασαίου Ἀπόλλωνος ἱερῷ. εἶθ' ὕστερον οὗτος ὁ Ἡρακλῆς Ἀδράστῳ τὸν πῶλον παρέσχεν· ὑφ' οὗ μόνος ὁ Ἄδραστος ἐκ τοῦ Θηβαϊκοῦ πολέμου διεσώθη, τῶν ἄλλων ἀπολομένων. ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς.

δῖον] διὰ τὸ λίαν ταχὺ τοῦ δρόμου καὶ τὸ κάλλος τοῦ εἴδους θειοτέρας αὐτὸν ὑπερβολικῶς ἔφησε φύσεως. καλῶς δὲ τὰ ἐν ἑκατέρᾳ ἠπείρῳ διαφέροντα τῶν ἵππων γένη παρέλαβεν.

350. ἑκάστου πείρατ'] τὰ ἀπὸ τῆς ἐμπειρίας ἀποβησόμενα πράγματα.

351. Μηριόνης δ' ἄρα] οὐδὲ ὁ Μηριόνης ἀσκόπως πρὸς τὴν ἀγωνίαν παρείληπται, ἀλλ' ἵνα διάθηται τὰ περὶ τὸν Ἰδομενέα περιέχοντα φιλονεικίαν ὄχλῳ πρέπουσαν.

353. ἐκ δὲ κλῆρος θόρε Νεστορίδαο] ἐναγώνιον συνίστησι τὸν ἀγῶνα, εἴγε ὁ πρῶτος ὕστερος καὶ ὁ ὕστερος πρῶτος ὁρᾶται. ἦν δὲ ὁ δρόμος οὐ δόλιχος. κάμπτουσι δὲ ὀλιγάκις. ἔδει δὲ πολλάκις εἶναι τὸν καμπτῆρα. δίαυλος οὖν ἐστὶ μακρότατος· διὸ καὶ σκοπὸς κάθηται Φοῖνιξ καὶ σημαίνει τὸ τέρμα τηλόθεν, μή πώς τις ἐντὸς τοῦ καμπτῆρος κάμψῃ· ἅπαξ γὰρ ὁρῶνται ἐπὶ τοῦ αἰγιαλοῦ καὶ ἅπαξ φιλονεικοῦσι περὶ αὐτῶν.

358. μεταστοιχεί] ἀντὶ τοῦ μετὰ στοιχειώσεως καὶ τάξεως.

361. μεμνέῳτο] ἐπιμέλοιτο· "μεμνῆσθαι πατρὸς καὶ μητρός" (Od. 18, 267). προπαροξυντέον δὲ καὶ μετὰ τοῦ ῑ γραπτέον.

362. οἱ δ' ἄρα πάντες] πᾶσαν φαντασίαν ἐναργῶς προβέβληται, ὡς μηδὲν ἧττον τοὺς ἀκροατὰς τῶν θεατῶν ἐσχηκέναι.

365. νόσφι νεῶν] ἤρξαντο μὲν ἀπὸ Σιγείου, ἔνθα ἦν Ἀχιλλεύς, ἔτρεχον δὲ ἐπὶ τὸ Ῥοίτειον· νόσφιν οὖν νεῶν τῶν πρὸς τῷ αἰγιαλῷ νεωλκηθεισῶν. κατὰ δὲ Ἀρίσταρχον ὁ δρόμος γέγονεν ἐν τῷ ἀπὸ τοῦ τείχους διαστήματι ἄχρι τῆς θαλάσσης.

368. ἐν μὲν τῇ πεδιάδι χθονὶ πίλνατο, ἐν δὲ τοῖς πετρώδεσιν ἄνω ἦρτο. βεβαία δὲ αὐτῶν ἡ στάσις, ὅτι μὴ ἔπιπτον τῇ τῶν ἁρμάτων ἀναβολῇ.

7. *ἀπολομένων] ἀπολλομένων   29. ἤρξαντο Bekk.] ἤρξατο

372. ἐπέτοντο] πρὸς γὰρ τῷ τέλει πλέον ταχύνουσι διὰ τὴν νίκην. κονίοντες δὲ κονιόμενοι ἢ κόνιν ἐγείροντες.

382. ἀμφήριστον] ἀμφισβητήσιμον.

383. σεμνοποιῆσαι θέλων τὸν ἀγῶνα, καὶ θεοὺς συμφιλονεικοῦντας εἰσάγει. κατὰ Διομήδους δὲ χωρεῖ ὁ Ἀπόλλων, ὅτι οὐ θεὸν μέγαν ἅζετο, εἰ μὴ μόνῃ εὔχετο Ἀθηνᾷ.

*δεόντως τῶν Εὐμήλου ἵππων προνοούμενος εἰσάγεται ὁ Ἀπόλλων, ἐπεὶ αὐτὸς ἀνεθρέψατο αὐτὰς κατὰ τὸν ποιητὴν λέγοντα "τὰς ἐν Πιερίῃ θρέψ' ἀργυρότοξος Ἀπόλλων, ἄμφω θηλείας, φόβον Ἄρεως φερούσας" (Il. 2, 766). δοκεῖ γὰρ κατὰ τὸν μῦθον Ἀπόλλων θητεῦσα Ἀδμήτῳ τῷ Εὐμήλου πατρί.

384. χωομένοιο] συγχεομένου καὶ λελυπημένου ἐπὶ τῇ ἀτυχίᾳ.

387. ἐγκλιτέον τὴν οἱ· ἔστι δὲ ἀντὶ τοῦ αὐτοῦ.

388. ἐλεφηράμενος] παραλόγως καὶ ἀδίκως βλάψας αὐτόν.

391. δεῖ τοίνυν καὶ τὰς ἐπικουρίας πεφυλαγμένως ποιεῖσθαι, ὅπως μὴ μᾶλλον, ὧν προϊστάμεθα, τούτους βλάπτοιμεν.

392. ἵππειον δέ οἱ ἦξε θεὰ ζυγόν] ἐτάχυνε τὴν ἀπαγγελίαν, μιμούμενος ψόφον ἁρμάτων κλωμένων.

393. ἀμφὶς ὁδοῦ δραμέτην] τῆς προκειμένης ὁδοῦ χωρὶς ἔδραμον. ἐλύσθη] συνερρύη, συνέπεσεν, ὡς "λασίην ὑπὸ γαστέρ' ἐλυσθείς" (Od. 9, 433).

396. ἡ ὀνοματοποιία τοῦ θρυλίχθη τὴν ταραχὴν τοῦ θραυσθέντος προσώπου δηλοῖ.

397. θαλερὴ ἡ σύντονος καὶ μεγάλη.

398. παρατρέψας] νηφαλεωτάτη ἡ προσθήκη. τοῦτο γὰρ ἦν δεξιοῦ ἡνιόχου, τὸ μὴ ἐπενεχθῆναι τῷ συντετριμμένῳ δίφρῳ.

403. ἔμβητον] ἠθικὴ ἡ προσφώνησις καὶ συνήθης· καὶ γὰρ οἱ ἐν πολέμῳ καὶ ὀνόματα αὐτοῖς εἰώθασι τιθέναι διὰ τὸ μὴ ξενοφωνοῦντας ἵστασθαι.

*σφῶϊ τιταίνετον] ἀντὶ τοῦ ὑμᾶς αὐτοὺς τείνετε πρὸς δρόμον. γίνεται δὲ ἐκ τοῦ ταίνω τοῦ σημαίνοντος τὸ τείνω, ἀφ' οὗ καὶ τιταίνω.

405. οἷσιν Ἀθήνη] τὴν ἐκ τῆς Ἀθηνᾶς στοχάζεται βοήθειαν, ὡς ἂν συνετός. καὶ Αἴας (782) "ἦ μ' ἔβλαψε θεά."

408. μὴ σφῶϊν ἐλεγχείην καταχεύῃ] αἰδοῖ καὶ φόβῳ διεγείρει αὐτούς.

413. ἀποκηδήσαντε] ἀφροντιστήσαντες, ἀμελήσαντες.

419. τὸ γενικώτερον προέταξεν, ὅτι ἦν στενὴ ὁδός· εἶτα ἐπάγει ῥωχμὸς ἔην, ὅ ἐστι χάσμα ἐκ ῥύακος γεγενημένον. στεῖνος δὲ στένωμα κοιλάδας ἔχον περικειμένας. βαρύνεται δὲ τὸ στεῖνος ὡς τὸ μάκρος.

420. ῥωχμὸς ἔην] ἔκρηξίς τις ἦν μικρὸν ἀνωτέρω τοῦ καμπτῆρος. ἐν δεξιᾷ Μενέλαος ἤλαυνεν.

422. ἁματροχιάς] τὰς εἰς ταὐτὸ συνόδους τῶν τροχῶν.

*Πορφυρίου. οὐ δεῖ δυσχεραίνειν εἰ τῶν νῦν παιδευτῶν τοὺς πολλοὺς λανθάνει τινὰ τῶν Ὁμηρικῶν, ὅπου καὶ τὸν δοκοῦντα εἶναι ἀκριβέστατον καὶ πολυγράμματον Καλλίμαχον ἔλαθεν ἡ διαφορὰ τῆς ἁρματροχίας, ἣν ἔχει πρὸς τὴν χωρὶς τοῦ ρ̄ λεγομένην ἁματροχιάν. ἔστι δὲ ἁματροχιὰ τὸ ἅμα τρέχειν καὶ μὴ ἀπολείπεσθαι, οἷον ὁμοδρομία τις οὖσα· τρόχους γὰρ τοὺς δρόμους ἔλεγον. ἁρματροχία δὲ τῶν τροχῶν τὸ ἴχνος. ἄμφω δὲ παρ' Ὁμήρῳ κεῖται, τὰς δυνάμεις αὐτοῦ τοῦ ποιητοῦ ἐξηγησαμένου. ὅτι γὰρ τὸ ἅμα τρέχειν δηλοῖ ἡ ἁματροχιὰ παρίστησιν ἐπὶ τοῦ Μενελάου λέγων "τῇ ῥ' εἶχε Μενέλαος ἁματροχιὰς ἀλεείνων." ὑπελείπετο γὰρ διὰ τὸν ῥωχμὸν τῆς γῆς καὶ τὴν ῥῆξιν, τὴν συνέμπτωσιν τοῦ δρόμου φυλαττόμενος. τοῦτο γὰρ μεταλαβὼν ἐν ἄλλοις ἐξηγήσατο, εἰπὼν (Il. 15, 635) "αἰὲν ὁμοστιχάει." καὶ ἐπὶ τοῦ Εὐμαίου δὲ ἐχομένου τῆς τροφοῦ καὶ συμβαδίζοντος μετὰ δρόμου αὐτή φησι (Od. 15, 450) "παῖδα γὰρ ἀνδρὸς ἑῆος ἐνὶ μεγάροις ἀτιτάλλω, κερδαλέον δὴ τοῖον, ἁματροχόωντα θύραζε," τουτέστιν ἤδη μοι ἔξω συντρέχειν δυνάμενον καὶ βάδην σὺν ἐμοὶ πορευόμενον, οὐκ ἐπικολπίδιον· "ἡ δέ με χειρὸς ἑλοῦσα δόμων ἐξῆγε θύραζε." ἁματροχιὰ μὲν οὖν οὕτως. μετὰ δὲ τοῦ ρ̄, ἁρματροχία, ὅτι τὸ ἀπὸ τῶν τροχῶν δηλοῖ, αὐτὸς πάλιν παρίστησι λέγων "οὐδέ τι πολλὴ γίνετ' ἐπισσώτρων ἁρματροχίη κατόπισθεν ἐν λεπτῇ κονίῃ" (504)· διὰ γὰρ τὸ λεπτὸν καὶ ὀλίγον τῆς κόνεως μὴ πολὺ γίνεσθαι τὸ τῶν ἐπισσώτρων ἴχνος φησίν. ἐξηγήσατο δὲ πῶς γίνεται ἴχνος, ὅτι λειπόμενον ὀπίσω τοῦ ἱεμένου εἰς τὸ ἔμπροσθεν. ἀγνοήσας δὲ ταῦτα ὁ Καλλίμαχός φησιν "ἀλλὰ θεόντων ὡς ἀνέμων οὐδεὶς εἶδεν ἁματροχιάς." βούλεται μὲν γὰρ εἰπεῖν ὡς οὐδεὶς εἶδεν ἴχνος διὰ τὸ θεῖν ὡς ἀνέμους· ἁματροχιαὶ δὲ οὐ

9. *Πορφυρίου] om. 24. ἤδη μοι Bekkerus] ἴδοιμι 27. τροχῶν] τρόχων

δηλοῦσι τὰ ἴχνη τῶν θεόντων ἁρμάτων, ἀλλ' αἱ μετὰ τοῦ ρ̄ λεγόμεναι ἁρματροχίαι.

424. ἐκ τῆς ὁδοῦ εἰς τὰς ῥωγάδας ἑαυτὸν δοὺς, ἵνα παρελάσῃ τὸν ἐντὸς ἔχων δρόμον ὀρθότερον, καὶ φθάσῃ ἐπὶ τὸν καμπτῆρα. ὁ δὲ Μενέλαος τὸν ἀσφαλέστερον ἤλαυνε δρόμον.

426. ἀφραδέως] ἀπείρως· οὐ γὰρ οἶδεν ὅτι κακουργεῖ.

ἄνεχ'] ἄνω ἔχε, μὴ ἐπίκεισο.

427. τάχα δ' εὐρυτέρῃ] ὅταν παρέλθῃς τὸ στενὸν, ταχέως ἐν τῇ εὐρυτέρᾳ παρελάσεις.

428. κύρσας] συμπεσὼν, συρράξας, συμβαλών.

430. οὐκ ἀΐοντι ἐοικώς] προσποιούμενος μὴ ἀκούειν.

431. οὖρα τὰ ὁρμήματα. κατωμαδίοιο δὲ τοῦ κατὰ τῶν ὤμων φερομένου· ἄνωθεν γὰρ αὐτὸν ῥίπτουσι.

433. ἠρώησαν] ὑπεχώρησαν.

440. πεπνῦσθαι] ὁ γὰρ ἀδικῶν οὐ λογισθήσεται φρόνιμος εἰκότως.

445. ἀτέμβονται νεότητος] στέρονται, ἐνδεεῖς εἰσὶ καὶ χρείαν ἔχοντες ἥβης.

450. πρῶτος δ' Ἰδομενεύς] ἀγωνιᾷ γὰρ διὰ τὸν φίλον, καὶ διὰ τοῦτο εἰς τὴν περιωπὴν ἄνεισιν ὡς σκοπήσων ὃ συμβαίνει.

451. ἐκτὸς ἀγῶνος] καὶ πῶς ἐκτὸς ὄντας ἀγῶνος ὁ ἀγωνοθετῶν Ἀχιλλεὺς διαλύει; ἴσως οὖν αἰσθόμενος διαπληκτιζομένων ἀναστὰς κωλύει. περιωπὴ δὲ, ὅθεν ἔστι πάντας ἰδεῖν ἢ ὑπὸ πάντων ὁρᾶσθαι διὰ τὸ ὕψος.

452. ἄνευθεν ἐόντος] τουτέστι μακρὰν ἀπόντος τοῦ ἡνιόχου.

454. τόσον] ἀντὶ τοῦ ὅλον· οὕτω γάρ φησι πρὸς τὰ παρ' ὀλίγον τετελεσμένα. οἱ δὲ γλωσσογράφοι τόσσον ἀντὶ τοῦ σῶμα. Χαμαιλέων δέ φησι τοὺς τοιούτους ἵππους ἀρίστους εἶναι.

458. οἷος ἐγὼν ἵππους] καὶ ταῦτα εἰωθότα ἐν τοῖς ἀγῶσι· θρύπτονται γὰρ ὡς ἀκριβέστερον θεώμενοί τινες, καὶ ἐν ἤθει καταλαζονεύονται τῶν πολλῶν.

459. παροίτεροι] παρὰ τὸ πάρος, ἵν' ᾖ οἱ πρότεροι· καὶ πλεονάζει τὸ ῑ ὡς ἐν τῷ μυχοίτατοι (Od. 21, 146). οἱ δὲ ἀπὸ τοῦ πάροιθεν τοπικοῦ.

462. τὰς πρῶτα ἴδον] καμπτούσας μὲν γὰρ αὐτὰς εἶδε, μετὰ δὲ τὸ κάμψαι οὐκέτι.

463. οὔ πω] περισσὸν τὸ πω· τὸ γὰρ πῆ τὴν εἰς τόπον δηλοῖ σχέσιν, οὐ τὸ πω.

466. οὐκ ἐτύχησεν ἑλίξας] ἀπέτυχε, φησὶ, τοῦ ἑλίξαι καὶ συστρέψαι τοὺς ἵππους.

468. ἐξερώησαν] ἔξω τοῦ δρόμου ὥρμησαν.

474. λαβρεύεαι] λάβρως καὶ οὐ μετὰ σκέψεως λαλεῖς. πρόγλωσσος δὲ ἀεὶ καὶ θρασὺς Αἴας καὶ νῦν τὸ ἴδιον νόσημα φυσικῶς ἑτέρῳ ἐπιτίθησι· διὸ καὶ διὰ γλῶτταν κολάζεται νῦν καὶ ἐν τῷ ναυαγίῳ.

ἀγροικώδης μὲν ἡ λοιδορία, ἀλλὰ μιμεῖται διαθέσεις θεατῶν· δέδοκται γὰρ τῷ ποιητῇ πᾶν εἶδος ἔργων καὶ λόγων διαγράψαι.

477. οὔτε τοι] οὔτε ἔκδηλον καὶ πολὺ ὁ ὀφθαλμός σου ὁρᾷ. ὀξύτατον δὲ, ὅτι τμητική ἐστιν ἡ θέα τοῦ ὑποκειμένου ἀέρος.

481. εὔληρα] ἅπαξ χρῆται τῇ λέξει. ὁ δὲ Ἡρωδιανὸς καὶ ἐπὶ ἱματίου καὶ ἐπὶ δεσμοῦ τίθεσθαί φησι τὴν λέξιν. ἔστι δὲ παρὰ τὸ εἰλῶ, εἴληρα καὶ εὔληρα. δηλοῖ δὲ τὰ ἤνια.

483. κακοφραδές] κακολόγε, κακὰ ἐπιλογιζόμενε.

485. τὸ δεῦρο δηλοῖ καὶ τὸ εἰς τοῦτον τὸν τόπον. λέγεται δὲ καὶ ἐγκελευστικῶς, ὡς τὸ "δεῦρ' ἄγ' ἰών" (Od. 12, 184). τὸ δὲ νῦν ἐνθάδε διὰ τὸ μέτρον συσταλτέον.

συνθώμεθα. καὶ λείπει ἡ περί εἰς τὸ τρίποδος.

486. ἵστορα] μάρτυρα, συνθηκοφύλακα.

487. ἵνα γνοίης ἀποτίνων] ἵνα γνῷς, φησὶν, ἀποδιδοὺς καὶ ζημιούμενος ὁποῖαι πρῶται ἵπποι.

490. προτέρω] ἀντὶ τοῦ εἰς τοὔμπροσθεν, εἰς μείζω προέβη τὰ τῆς ἔριδος.

491. εἰ μὴ Ἀχιλλεύς] ὡς ἀγωνοθέτης γὰρ προΐσταται τῆς εὐκοσμίας.

500. κατωμαδόν] κατὰ τῶν ὤμων τῶν ἰδίων ἵππων τὴν μάστιγα ἐπαίρων.

501. ὑψόσ' ἀειρέσθην] τοῦτο πρὸς τὸ ἁβρὸν καὶ τὸ τῶν ποδῶν εὔρυθμον.

502. ἡνίοχον] τὸν Διομήδην. καὶ τοὺς ἱππέας γὰρ ἡνιόχους καλεῖ (Il. 11, 151)· καὶ οὐκ ἄτοπον.

504. οὐδέ τι πολλή] μετὰ τάχους γὰρ διαβαίνοντες οἱ τροχοὶ οὐ πάνυ τὴν γῆν ἐχάρασσον.

507. στῆ δέ] ἀντὶ τοῦ ἐπαύσατο τοῦ δρόμου. ἀγῶνι δὲ τῷ ἀθροίσματι.

510. οὐδὲ μάτησε] οὐ μάταιον ἡγήσατο τὸ λαβεῖν τὸ ἆθλον. ἐξ οὗ τὸ οὐκ ἠφροντίστησεν, ἀφ' οὗ τὸ οὐκ ἠμέλησε νοητέον.

515. κέρδεσιν οὔτι τάχει] Ἀντίλοχος μὲν διδαχθεὶς παρὰ τοῦ πατρὸς παρατρέχει· ὁ δὲ ταχεῖς ἵππους ἔχων μέλλει παραδραμεῖν.

517. προσφυεστάτη ἡ εἰκών· χρῆται γὰρ τοῖς διαστήμασι τῶν ἁρμάτων, καὶ ἀπὸ τῆς ὁμοίας χρείας δέχεται τὴν εἰκόνα.

519. τοῦ μέν τε ψαύουσιν] ὅσον γὰρ διαβαίνει ὁ ἵππος τρέχων, τοσοῦτον ἕπεται ὁ τροχός.

521. πεδίοιο] λείπει ἡ διά.

523. τινὲς δύο μέρη φασὶν, ἵν' ᾖ δίσκου οὖρα· ἄμεινον δὲ σύνθετον εἶναι.

526. *προτέρω] ἀντὶ τοῦ πορρωτέρω.

529. δουρὸς ἐρωήν] ἔκτασιν καὶ ὁρμὴν δόρατος πορευομένου.

531. ἥκιστος] παρὰ τὸ ἧκα, ὃ δηλοῖ τὸ ἡσυχῇ. τοῦτο δὲ παρὰ τῷ ποιητῇ ψιλοῦται καὶ δηλοῖ τὸ ἐλάσσων, παρὰ δὲ Ἀττικοῖς δασύνεται καὶ σημαίνει τὸ οὐδὲ ὅλως. οἱ δὲ ἄτεχνος· ἄλλοι ἀσθενής.

533. τῶν ἔμπροσθεν αὐτοὺς ἕλκων, ὅ ἐστι διὰ τῶν ἀγωγέων ἕλκων καὶ τῇ μάστιγι τοὺς αὐχένας τύπτων. συγκέκοπται δὲ ἀπὸ τοῦ πρόσσωθεν, τὸν δὲ τόνον ἐφύλαξεν.

537. ἀλλ' ἄγε δή οἱ δῶμεν] διδάσκει τοὺς παρὰ τὴν ἀξίαν ἀτυχοῦντας ἐλεεῖν καὶ μὴ τῆς ἀρετῆς ἐᾶν ὑπερτερεῖν τὴν τύχην.

538. ἀτὰρ τὰ πρῶτα] ἵνα μὴ δοκῇ Διομήδει ὕπουλος εἶναι καὶ φοβερός.

543. ὁ τοῦ Νέστορος υἱὸς Ἀντίλοχος καὶ λόγῳ καὶ πράξει ἐστὶ δυνατός· τὸ μὲν γὰρ κεχολώσομαι ἁπλουστάτης ἐστὶ διαθέσεως καὶ φιλεταιρίας, τὸν δὲ Μενέλαον ἠπιότητι νικᾷ. καὶ μεμίμηται νέου χρηστὸν ἦθος ὁ ποιητής.

546. ἀλλ' ὤφελεν ἀθανάτοισιν] ἐναντιώσῃ οὖν τοῖς θεοῖς, εἰ ἀφῄρηνται ἐκεῖνοι, αὐτὸς δὲ δώσεις.

551. μεῖζον ἄεθλον] οὐδετέρως. εἴωθε δὲ καὶ ἀρσενικῶς λέγειν ὁ ποιητής.

556. χαίρων Ἀντιλόχῳ] λείπει ἡ ἐπί. ὅσῳ δὲ διατέταται πρὸς

18. οἱ δὲ—ἀσθενής] Haec a m. secunda. 29. χρηστὸν] χρηστοῦ Bekk.

αὐτὸν, τοσούτῳ πλέον δέδεικται τὸ γνήσιον τῆς ἑταιρίας, καὶ οὐκ ἀναβάλλεται τὸ δῶρον.

561. χεῦμα] ἐδήλωσε τὸν ἐκκεχυμένον τε καὶ πεπηγμένον τῷ δόρατι κασσίτερον.

566. θυμὸν ἀχεύων] οὐ διὰ σμικρολογίαν ἐφίεται τοῦ μείζονος ἄθλου, ἀλλὰ φύσει πάντες νικᾶν θέλομεν. φιλότιμος μὲν οὖν ἐστὶ περὶ τὴν νίκην. ὅτι δὲ οὐ δύσερις, ἔδειξε παραχρῆμα διαλυσάμενος. μέμφεται δὲ αὐτῷ ἀπατήσαντι καὶ παρὰ τὴν ἡρωϊκὴν ἁπλότητα κακουργήσαντι.

568. χειρὶ σκῆπτρον ἔθηκε] σκῆπτρον δέχεται διὰ τὸ μέλλειν δημηγορεῖν. ὁ δὲ Ἀντίλοχος πρὸς μόνον Μενέλαον διαλέγεται.

570. πεπνυμένε] φρόνιμον αὐτὸν εἰπὼν ἔδειξεν ἑκὼν ὡς ἥμαρτεν. οὕτω δὲ τὸ ἔγκλημα μεῖζον ἀποφανεῖται.

574. ἐς μέσον] ἐξ ἴσου, ἐκ παραλλήλου, μὴ ἑτεροβαρῶς. καὶ ἐπιφέρει μηδ' ἐπ' ἀρωγῇ. καὶ ἔστιν ἡ διάνοια θαρροῦντος τῷ δικαίῳ· οὐδένα γὰρ αὐτῶν διὰ τὸ ἀξίωμα καταχαρίσασθαι ἀξιοῖ.

579. καί μ' οὔ τινά φημι] ἔδειξεν ὅτι τῷ εἰς ὅρκον προκαλουμένῳ οὐκ ἔστιν ὁ ἀντερῶν.

583. ῥαδινήν] λεπτὴν, ἐπιμήκη, χαριεστάτην.

585. ὄμνυθι] εἰκότως ἐπὶ ὅρκον καταφεύγει· οὐ γὰρ ἐπὶ τοῦ πλήθους γινομένης τῆς ἐπιθέσεως, οὐδ' ὄντων μαρτύρων, ἐπὶ τὸ συνειδὸς αὐτοῦ κατέφυγεν.

589. ὑπερβασίαι] αἱ παραβάσεις τοῦ δέοντος. ἔγνω δὲ ὡς οἱ εἴκοντες νικῶσι τοὺς φίλους. τὸ δὲ συγγνώμην δεχόμενον εἰς ἀπολογίαν φέρει τὴν ἡλικίαν.

590. κραιπνότερος] ὀξύτερος κατὰ κίνησιν καὶ πρᾶξιν· ἡ δὲ βουλὴ ἀσθενής.

591. φιλοτίμως τὴν μὲν νίκην προσποιεῖται, τοῦ δὲ ἄθλου ἐξίσταται ἑκών· ὁ γὰρ λέγων αὐτὸς δώσω κατασκευάζει ὅτι ἐμὴν οὖσαν λήψῃ. τούτῳ δὲ συνᾴδει καὶ τὸ "εἰ καί νύ κεν οἴκοθεν ἄλλο."

593. ἐπαιτήσειας] ἐπὶ τῷ ἵππῳ αἰτήσειας μεῖζόν τι.

4. δόρατι] θώρακι Heynius.
12. ἥμαρτεν Vill.] ἥμαρτες
17. προκαλουμένῳ—ἀντερῶν Cobetus] παρακελευομένῳ—ἀνταίρων
32. αἰτήσειας Bekk.] αἰτήσας

595. ἐκ θυμοῦ πεσέειν] πιθανῶς τὴν ἔχθραν ἔκπτωσιν φιλίας φησίν. θεραπευτικῶς δὲ ἀγαθὸν καὶ θεοφιλῆ αὐτὸν καὶ ἰσόθεον ἀποδείκνυσι. πρὸς μὲν Ἀχιλλέα τῇ δικαιολογικῇ στάσει ἐχρήσατο, νῦν δὲ τῇ παρορμητικῇ, ἀφιστάμενος μὲν τοῦ δικαιολογεῖν, θεραπείαις δὲ καὶ τιμαῖς ὁμιλητικῶς ἀνακτώμενος.

598. ἰάνθη] καὶ οἱ γεωργοὶ πολλάκις ἱλαρὰ εἶναι λέγουσι τὰ φυτά. ὥσπερ δὲ τὸ λήϊον περιχυθὲν τῇ δρόσῳ φαιδρύνεται, μεταβαῖνον ἀπὸ στυγνότητος εἰς κάλλος, οὕτω καὶ ὁ Μενέλαος.

599. ὅτε φρίσσουσιν ἄρουραι] ὅτε τελειοῦνται οἱ στάχυες· τότε γὰρ φανερὰ γίνεται ἡ δρόσος, οὐχ ὅτε εἰσὶ ταπεινοί. ἢ ἀνορθοῦνται. ἢ κινοῦνται.

603. ἀεσίφρων] ματαιόφρων, δολιόφρων, ἢ βλαψίφρων.

605. δείκνυσιν ὡς σκαιοῦ μὲν τὸ μὴ συνεγνωκέναι καθάπαξ ἁμαρτάνοντι, ἀσθενοῦς δὲ τὸ πολλάκις.

607. διὰ τούτων καὶ τὴν πρὸς ἅπαντας χάριν ὁμολογεῖ.

610. δώσω ἐμήν περ ἐοῦσαν] ἄκρως ἐλέγχει Ὅμηρος τὰς φύσεις τῶν ἀνθρώπων, ὅτι καὶ νέοις καὶ πρεσβυτέροις ἐνέστακται τὸ φιλότιμον. ὅρα γὰρ μεθ' ὅσους λόγους ἀντιποιεῖται τῆς νίκης, καὶ παραχωρεῖν τοῦ ἰδίου ἄθλου φησὶν ἑκών.

612. Νοήμονι] ὄνομα κύριον καὶ ἐν Ὀδυσσείᾳ (2, 386) "υἱὸς Φρονίοιο Νοήμων."

616. τὴν Νέστορι] ἀγαθός ἐστι νομοθέτης, ἀξιῶν καὶ φρονήσεως ἆθλα τίθεσθαι. παρ' Ὁμήρου τοίνυν διδαχθεὶς Ἰσοκράτης ἐπιτιμᾷ τοῖς μὴ φρονήσεως ἆθλα τιθεῖσιν. ὥσπερ δὲ τὸν βασιλέα, οὕτω καὶ τὸν συνετὸν ἀκονιτὶ στεφανοῖ.

δῶκεν Ἀχιλλεύς] ηὔξησε τὴν φιλοτιμίαν οὐ διὰ θεράποντος διδούς.

622. ἐνδύσεαι] μετὰ τοῦ σ̄· οὐδέποτε γὰρ Ὅμηρος τὴν ἐν ἀντὶ τῆς εἰς τίθησιν.

624. χαίρων] ἐπὶ τῇ τιμῇ δηλονότι.

626. ναὶ δή] εἰπόντος Ἀχιλλέως "οὐ γὰρ πύξ γε μαχήσεαι" ἠθικῶς φησὶν ὅτι ἀληθῶς λέγεις, οὐ δι' ἄλλο ἢ τὸ γῆρας.

627. ἐξηγεῖται τί ἐστι γυῖα.

628. ἐλαφραί] ὅταν γὰρ ἐξασθενήσῃ τὸ κινοῦν πνεῦμα, βαρέα γίνεται τὰ μέλη.

631. βασιλῆος] ἢ οἱ τοῦ βασιλέως παῖδες, ἢ περὶ βασιλέως.

632. ἔνθ' οὔ τίς μοι ὁμοῖος] ἀεὶ παραδείγμασιν οἰκείοις χρῆται, ὅταν τινὰ πρὸς πόλεμον ἢ πρὸς μονομάχιον παρορμᾷ. καὶ νῦν ἐν τοῖς ἐπὶ Πατρόκλῳ ἄθλοις παλαιοῦ ἐπιταφίου μέμνηται.

634. Κλυτομήδεα] οἰκεῖον πύκτῃ τὸ ὄνομα· δεῖ γὰρ αὐτὸν καλῶς τὰ πρὸς νίκην μηχανᾶσθαι.

635. Ἀγκαῖον] παρὰ τὸ "ἀγκὰς ἀλλήλων λαβέτην" (711)· μεγάλας γὰρ εἶχε χεῖρας. ἴσως δὲ καὶ παρὰ τὰς πλευρὰς Πλευρώνιος. ἴσως δὲ ἀπὸ τῆς θέας ἀναστὰς ἠγωνίσατο τοῦ κήρυκος βοήσαντος.

636. Ἴφικλον] παρὰ τὸ ἰφίκωλός τις εἶναι.

640. παρ' αὐτόφι] παρ' αὐτοῖς.

641. δίδυμοι] ἀντὶ τοῦ συμφυεῖς καὶ ἅμα γεγεννημένοι.

642. ἔμπεδον] ἀντὶ τοῦ ἑδραίως καὶ ἀσφαλῶς. πολλὴν δὲ ἔχει ἡ ἐπανάληψις ἔμφασιν.

643. νεώτεροι ἀντιοώντων] νομοθετεῖ καθ' ἡλικίαν ἀεὶ ποιεῖν καὶ μὴ ὑπὲρ ὅ τις δύναται σπεύδειν φαίνεσθαι.

646. κτερέϊζε] γέραιρε καὶ δόξαζε τὸν σὸν φίλον τοῖς ἄθλοις. γίνεται δὲ παρὰ τὸ κτέρας, ὃ δηλοῖ τὸ κτῆμα. "τῇ μὲν κτέρας οὐδὲν ὁμοῖον" (Il. 10, 216).

649. ἧς τέ μ' ἔοικε τετιμῆσθαι] ὕψωσεν ἑαυτὸν ὡς ὀφείλοντα τιμᾶσθαι, εὐλόγιστον ἀποφήνας τὸν τιμήσαντα· τίνος γὰρ ἄλλου ἐδεῖτο πρεσβύτης διηνυκὼς μὲν τοσαῦτα ἐπὶ νεότητος, εἰς χάριν δὲ τῶν φίλων καὶ νῦν στρατεύων, ἐπ' ἀξιώματος ὢν μεγίστου καὶ παίδων πατὴρ καὶ οἴκου δεσπότης εὐδαίμονος.

652. αἶνον] τινὲς τὸν ἀπόκρυφον καὶ ἐσχηματισμένον λόγον, ἐπεὶ ἐδόκει αὐτῷ ἐν ὑπονοίᾳ εἶναι, νυνὶ δὲ τεθεράπευκεν, ὡς τὸ "αἶνος μέντοι ἀμύμων ὃν κατέλεξας" (Od. 14, 508). οὐ γὰρ τὸν ἔπαινόν φησιν.

653. ἀλεγεινῆς] πολυφρόντιδος καὶ πολλῆς δεομένης τῆς ἐπισκέψεως.

654. πρὸς τὴν ὑπομονὴν τοῦ πύκτου καὶ ὁ ἆθλος.

656. οἰκείως τὸ δέπας τῷ νικωμένῳ πρὸς ἀνάκτησιν δίψους, ἀφ' οὗ μάλιστα νικῶνται· ἢ ὅτι οἱ πόται ἡσσῶνται.

658. Ἀτρείδη τε καὶ ἄλλοι] τοὺς ἀρίστους καλεῖ διὰ τὸ ἐναγώ-

3. μέμνηται] ἀγῶνος addit Townl. πρεσβευτὴς διηνεκῶς
22. πρεσβύτης διηνυκώς Bekkerus] 27. ἀμύμων] ὃ ξ' suprascriptum

νιον· ᾤετο γὰρ τῶν ἐπισήμων τινὰς ἀναστήσεσθαι. οὐκ ἦν δὲ μόνων τῶν ἀρχόντων ὁ ἀγὼν, ἀλλὰ καὶ τῶν ἀρχομένων. ἦν δὲ, ὡς ἔοικε, καὶ τέχνη παρ' αὐτοῖς τῆς πυγμῆς, οὐχὶ δύναμις.

660. *Ἀπόλλων] Φόρβας ἀνδρειότατος τῶν κατ' αὐτὸν γενόμενος πυγμῇ ἐνίκα, καὶ τοὺς μὲν παριόντας ἀγωνίζεσθαι ἀναγκάζων ἀνῄρει, ὑπὸ δὲ τῆς πολλῆς ὑπερηφανίας ἠβούλετο καὶ πρὸς τοὺς θεοὺς τὸ ἴσον φρόνημα ἔχειν. διὸ Ἀπόλλων παραγενόμενος καὶ συστὰς αὐτῷ ἀπέκτεινεν αὐτόν· ὅθεν ἐξ ἐκείνου τῆς πυκτικῆς ἔφορος ἐνομίσθη ὁ θεός. ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς.

666. ἅψατο δ' ἡμιόνου] πολὺ τὸ εἶδος καὶ ἀγωνιστικόν. πάντας δὲ τοὺς μεγάλους ἥσσων τοῦτον στέφει, προδιατυπῶν ἡμῖν τὸ πρόσωπον πρὸς τὴν τοῦ ἵππου κατασκευήν.

670. μάχης ἐπιδεύομαι] τὸ ὁμολογεῖν ἐφ' οἷς τις ἡσσᾶται πίστιν ἐμποιεῖ περὶ ὧν τις ἐπαγγέλλεται.

673. ἀντικρὺ] ἐξ ἐναντίου ἀγωνιζόμενος. οὐ γὰρ κλέπτων τὴν μάχην πέποιθα ἐμαυτῷ.

674. κηδεμόνες] οἱ κηδόμενοι αὐτοῦ.

675. ἐξοίσουσιν] φοράδην δηλονότι.

676. ἀκὴν ἐγένοντο] διὰ τὸ ὑπερήφανον τῆς ἀπειλῆς.

677. Εὐρύαλος] τρίτος ἐστὶ βασιλεὺς Ἀργείων μετὰ Διομήδην καὶ Σθένελον. ἔστι δὲ υἱὸς Μηκιστέως, Μηκιστεὺς δὲ καὶ Ἄδραστος Ταλαοῦ παῖδες.

679. ὅς] ὁ Μηκιστεύς· πρὸς γὰρ τὸ δεύτερον ὑπαντᾷ, καὶ συνᾴδει τῇ ἡλικίᾳ.

*τὸ δὲ δεδουπότος ἀντὶ τοῦ τεθνηκότος ἐν πολέμῳ.

680. ἐς τάφον] ἀντὶ τοῦ εἰς ἐπιτάφιον.

681. ἀμφεπονεῖτο] διὰ τὴν συγγένειαν· ἔστι γὰρ αὐτοῦ συγγενὴς μητρῷος ἐξ Εὐρυάλου.

683. ζῶμα] περιζώματα γὰρ ἕως ποδῶν διήκοντα ἐφόρουν πρὸς τὸ μὴ εὐκόλως πλήττεσθαι. ὕστερον δὲ Ἀθήνησί τινων ἀγωνιζομένων ἄρχοντος Ἱππομένους συνέβη ἕνα αὐτῶν πεσόντα πρὸς τὸ ἐμποδισθῆναι ὑπὸ τοῦ περιζώματος τελευτῆσαι. ὅθεν ἐθεσπίσθη γυμνοὺς ἀγωνίζεσθαι μέχρι τοῦ νῦν. διὸ καὶ οἱ τόποι ἐν οἷς ἔκτοτε ἐπονοῦντο, γυμνάσια καλοῦνται. νεώτερος οὖν Ἡσίοδος γυμνοὺς εἰσάγων ἀγωνιστάς.

4. ἀνδρειότατος Bekkerus] ἀνδρειότερος 10. * εἶδος] ἦθος

686. ἄντα δ' ἀνασχόμενοι] ἀνατεινάμενοι καὶ οἷον διατιναχθέντες.

688. χρόμαδος] ὠνοματοποίησε τὸν ψόφον· ἅμα γὰρ καὶ τρίζουσιν οἱ πύκται, ἐπάγοντες τὰς πληγάς.

691. ὑπήριπε φαίδιμα γυῖα] εἰκότως· ὀστώδης γὰρ ὁ τόπος καὶ διασεῖσαι πᾶσαν τὴν κεφαλὴν δυνάμενος.

692. ὡς δ' ὅθ'] ὅταν ἀρχομένου πνεῖν ἀνέμου ὑποκινῆται καὶ οἷον μελαίνηται τὸ πέλαγος, τότε ἄλλονται οἱ ἰχθύες ἄνω καὶ κάτω. ἐναργὲς δὲ τὸ τῆς εἰκόνος· ἀναπηδᾷ γὰρ ἑκάτερος καὶ πάλιν καταφέρεται.

695. ὤρθωσε] νόμος γάρ ἐστι καὶ ἔθος ἄχρι καὶ νῦν τὸ μὴ πεσόντα πλήσσειν.

697. παχύ] πολύ· τὸ γὰρ ὀλίγου τῷ σιέλῳ λεπτύνεται.

698. * τὸ καδδ' ἀλλοφρονέοντα ἀντὶ τοῦ παραφρονοῦντα.

701. δεικνύμενος] φιλοτιμούμενος.

703. τὸν δέ] ἀπετιμῶντο τὸν τρίποδα δωδεκάβοιον.

704. γυναῖκ'] διὰ τὸ μαλακὸν καὶ ἀσθενές.

709. κέρδεα εἰδώς] δείκνυσιν ὅτι ἐφάμιλλος τέχνη ἀνδρείας.

711. παλαιὸς καὶ ἀγροικώδης ὁ τρόπος· τὴν γὰρ εὐώνυμον ἑκάτερος ὑπὸ τὴν πλευρὰν ὑπέβαλλε τοῦ ἀγωνιστοῦ, τῇ δὲ δεξιᾷ κρατεῖ τὴν ὑποβεβλημένην ἑκάτερος τοῦ ἀγκῶνος· τοῖς δὲ μετώποις ἀντηρείδοντο. δηλοῖ δὲ τὸ ἀγκάς τὴν τῶν χειρῶν περιβολήν.

ἀμείβοντες] οἱ συστάται, οἳ τὸ σχῆμα τοῦ Λ στοιχείου ἀποτελοῦσιν.

714. τετρίγει δ' ἄρα νῶτα] τοῦτο πρὸς τὸ βίαιον τῆς διατάσεως καὶ τὸ τῶν σωμάτων στερεόν.

715. ῥέεν ἱδρώς] τοσοῦτον ἦν βίαιος ἡ πρόστριψις. δεινὴ δὲ ἡ καρτερία καὶ τῶν ὑπομενόντων καὶ τῶν σφιγγόντων. δηλοῖ δὲ ὡς ἡ αὐτὴ μὲν αὐτοῖς ἦν στάσις, μετέστησαν δ' ἐπὶ πολλὰ μέρη τοῦ σώματος· ἐπεὶ πῶς ὁ πολὺς ἱδρὼς ἔρρει;

718. οὐκ ἀναστρεπτέον τὴν περί· δύναται γὰρ ἰσοδυναμεῖν τῷ περισσῶς, ἵν' ᾖ ἀντὶ τοῦ ἐξαιρέτως πεποιημένου.

720. ἲς Ὀδυσῆος] ἡ μετὰ τέχνης· τούτῳ γὰρ ἐνίκα, οὐ βίᾳ. ἔστι δὲ παλαιστὴς ἐπιστήμων.

721. ἀνίαζον] εἰς ἀνίαν ἦγον· ἀηδὲς γάρ ἐστι θεαταῖς τὸ ἐπὶ πολὺ τῶν παλαιστῶν ἢ πυκτῶν ἰσόρροπον.

17. ἀνδρείας] ἀνδρίας 24. * διατάσεως] διαθέσεως, superscripto διαστάσεως

724. ἤ μ' ἀνάειρ'] εἰκότως προκαλεῖται· πέποιθε γὰρ ἀγωνίσασθαι τῇ ἰσχύϊ. εἰώθασι δ' ἐν τοῖς ἀγῶσι τοῦτο ποιεῖν ὃ καλεῖται λαβὴ, καὶ ἀντιδιδόναι ἀλλήλοις ἢ τὸν νῶτον ἢ τὸν αὐχένα ἢ πολλάκις τὸν πόδα.

726. κώληπα] τὸν ἀστράγαλον, ἢ μᾶλλον τὴν ἰγνύην. λαβόμενος γὰρ τοῦ νώτου ἐπῆρεν· ὡς δὲ μετεωρισθέντος αὐτοῦ οἱ πόδες πρὸς τοῖς γόνασιν ἐγένοντο, ὀπισθοβαροῦς ἤδη γεγονότος Αἴαντος, τῇ πτέρνῃ βάλλει τὴν ἰγνύην. ὑπτιασθέντος δὲ Αἴαντος Ὀδυσσεὺς ἐπὶ τὰ ἴδια στήθη πίπτει. δύναται δὲ καὶ ἐπὶ τὰ τοῦ Αἴαντος.

728. θάμβησάν τε] τὸν βουγάϊον καὶ ἀνδρεῖον ὑπὸ τοῦ ὠμογέροντος καὶ ἥσσονος νικώμενον ὁρῶντες ἐθαύμαζον.

730. κίνησεν δ' ἄρα τυτθόν] εἰς ὕψος μὲν ἆραι διὰ τὸ μέγεθος οὐ δύναται· καὶ ἵνα μὴ ὃ ἐποίησε πάθῃ. ἄρας δὲ τοσοῦτον ὅσον τῆς στάσεως παρακινῆσαι, τῷ δεξιῷ γόνατι παρατρίψας τὸ ἀριστερὸν αὐτοῦ σκέλος ἔπαισε· καὶ πλάγιοι πίπτουσιν. ἔστι δὲ τὸ δεύτερον πτῶμα Ὀδυσσέως· τῷ γὰρ βάρει καμὼν συναπεκύλισεν ἑαυτῷ τὸν ἀντίπαλον. εἰ δὲ εἰς ὕψος ἦρεν, ἐδαπάνησεν ἂν τὴν ἑαυτοῦ δύναμιν.

735. μηκέτ' ἐρίδεσθον] μὴ ἐρίζετε, φησὶν, ἔτι, μηδὲ καταπονεῖσθε κακοῦντες ἑαυτούς.

736. ἀέθλια δ' ἶσ' ἀνελόντες] τινές φασιν ὅτι τὸ πρῶτόν ἐστιν Ὀδυσσέως, τὸ δὲ δεύτερον κοινόν. χαρίζεται δὲ ὡς συγγενεῖ.

742. ἐνίκα] τοὺς ἄλλους δηλονότι κρατῆρας.

743. Σιδόνες πολυδαίδαλοι] ἄριστοι τεχνῖται τὰ τοιαῦτα οἱ Σιδόνιοι. τὸ δὲ εἶδος εἰπὼν τὸ γένος ἐπήγαγεν.

745. στῆσαν δ' ἐν λιμένεσσι] ἀντὶ τοῦ προσώρμισαν, ὡς τὸ "στῆσα δ' ἐν Αἰγύπτῳ ποταμῷ" (Od. 4, 581).

757. μεταστοιχεί] κατὰ τάξιν.

758. τέτατο δρόμος] ὀλίγος τις ἦν ὁ δρόμος, ἔνθα μηδὲ κάμψαι ἐνῆν. ἐπεὶ οὖν μὴ κάμπτουσιν, οὐ ταμιεύουσιν εἰς τὸ τέλος τὸ τάχος, ἀλλ' εὐθέως προπηδῶσιν.

762. πηνίον] τὸ ὕφασμα, παρὰ τὸν Πᾶνα· οὗτος γὰρ εὑρέτης ὑφασμάτων. παρὲκ μίτον δὲ ἀντὶ τοῦ παρὰ μίτον. πάντα δὲ τὰ ἔργα ἐν παραβολαῖς εἰπὼν νῦν καὶ περὶ γυναικωνίτιδος ἔφη.

764. πάρος κόνιν ἀμφιχυθῆναι] πολλὴ ἡ ἀγχιστεία, εἴγε φθάνει

14. παρατρίψας] παρατρέψας Hermannus. 15. ἔπαισε Bekk.] ἔπεσε

τὸ βῆμα τὴν καταφερομένην ἐπὶ τὸ ἴχνος κόνιν, ἣν ὁ προτρέχων ἀνέστησεν.

765. ἀϋτμένα] παρὰ τὸ ἀΰω, ὅ ἐστι φωνῶ· φωνῆς δὲ γένεσις ἡ πνοή. τοῦτο δὲ ὡς κολοβωτέρου ὄντος Αἴαντος.

767. τοῦτο τὸ εὐνοϊκὸν τῶν Ἑλλήνων παρίστησιν. καλῶς δὲ προσέθηκε τὸ μάλα δὲ σπεύδοντι κέλευον· τοῖς γὰρ ἀμελοῦσιν ἄτοπον συναγωνίζεσθαι.

768. πύματον] τὸν πρὸς αὐτὰ τὰ τέρματα.

770. κλῦθι θεά] σύντομος καὶ ἁρμόδιος ἡ εὐχὴ τῷ καιρῷ· ἀσθμαίνει γὰρ καὶ σπεύδει.

772. περισσὸς ὁ στίχος καὶ λύων τὸ ἐναγώνιον· οὐ γὰρ βεβαρημένα ἦν αὐτῷ τὰ μέλη. ἄλλως τε ἤρκει πρὸς νίκην τὸ πεσεῖν Αἴαντα· ἢ δείκνυσιν ὅτι τοῖς ἐκ ψυχῆς αἰτοῦσι τὸ θεῖον καὶ ὑπὲρ ὃ αἰτοῦνται δίδοται.

774. Αἴας μὲν ὄλισθε] ὑπὸ Ὀδυσσέως συνεχόμενος καὶ τοὺς δέοντας δρόμους ὑπεκβὰς πίπτει πρηνής.

777. ὄνθου βοέου πλῆτο στόμα] κεχηνὼς γὰρ ἔτρεχε διὰ τὸ εὐκόλως ἀναπνεῖν. ὁ δὲ τὸν πρεσβύτην λαβραγόρην εἰπὼν (474) κατὰ τοῦ στόματος κολάζεται.

786. μειδιόων] προλαμβάνων τὸν κατάγελων καὶ ὑπεκλύων τὸ φιλότιμον τῶν νικησάντων. πάντας δὲ τοὺς διαφέροντας ἔν τινι ἡττωμένους ὁ ποιητὴς ἔδειξε, μὴ μέγα διδάσκων φρονεῖν.

789. Αἴας μέν] καὶ τὰς ἡλικίας τῶν ἡρώων σημᾶναι ἠθέλησεν· ἔστι γὰρ Ἀντίλοχος νέος, μείζων Αἴας, εἶτα ὁ Βουγάϊος, εἶτα Ὀδυσσεύς, εἶτα Ἰδομενεύς, εἶτα Νέστωρ.

791. ὠμογέροντα] τὸν μὴ τέλεον ὑπὸ τοῦ γήρως καθηψημένον δηλοῖ. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν κρεῶν τῶν ἑψηθέντων μέν, οὐ μὴν τελείως.

793. κύδηνεν] γαῦρον ἐποίησε καὶ ὕψωσε διὰ τοῦ ἐπαίνου.

795. ὅσον ἐπιδέξιος ὁμιλία δύναται, δι᾽ Ἀντιλόχου ἐδήλωσεν.

804. ἀλλήλων—πειρηθῆναι] ἔοικε σκιομαχία τις εἶναι· οὐ γὰρ ἔχει τρώσεις· φησὶ γὰρ "καί σφιν δαῖτ᾽ ἀγαθὴν παραθήσομαι" (810). τάχα οὖν ὁ εὐθυνθεὶς εἰς τὸ τρῶσαι τὸν πλησίον εὐκόλως, οὐ τρώσας δὲ διὰ τὸ ὁμογενές, ἐκεῖνος νικᾷ.

805. ὀρεξάμενος] ἀντὶ τοῦ πατάξας, ἐκ παρεπομένου· συμβαίνει γὰρ τοῖς πατάσσουσιν ἐκτείνεσθαι.

806. ἐνδίνων] τῶν ἔνδον τοῦ χρωτός· οἱ δὲ, τῶν ἐντὸς ὅπλων, ἀπὸ τοῦ ἔνδον.

818. Αἴας μέν] οὗτος ἁπλοϊκώτερον ποιεῖ καὶ γενναιότερον. ὁ δὲ Διομήδης κακοτέχνως καὶ φθονερῶς τὸν αὐχένα τηρεῖ.

821. αἰὲν ἐπ' αὐχένι κῦρε] ἀεὶ ἐπὶ τῷ αὐχένι ἐτύγχανε· διὸ καὶ δεδίασιν. ἐνταῦθα δὲ ὁ ποιητὴς τοὺς ἀρίστους ἡσσᾷ τοῖς ἐλάττοσιν, Εὔμηλον Διομήδει καὶ Αἴαντα Ὀδυσσεῖ καὶ Ἀντίλοχον.

*ἱστόρηται ὅτι κατ' ἐκεῖνο καιροῦ ἔτυχεν Ἡρακλῆς τῇ νήσῳ Σαλαμῖνι κατά τινα χρείαν προσπελάσας, Τελαμῶνι δὲ ἄρτι γενέσθαι τὸν παῖδα Αἴαντα. ἐπιστὰς οὖν Ἡρακλῆς καὶ ἀναλαβὼν τὸν παῖδα περιέβαλε τῇ λεοντῇ, ἐφ' ᾧ ηὔξατο αὐτὸν γενέσθαι ἄτρωτον. ὁ δὲ ηὐξήθη καὶ τὸ πᾶν τοῦ σώματος ἐγένετο ἄτρωτος πλὴν τοῦ αὐχένος. τοῦτο γὰρ ἐδόκει τότε κατὰ τύχην κατὰ μέρος ἐπιβεβληκέναι τῇ λεοντῇ.

823. παυσαμένους ἐκέλευσαν] τῶν γὰρ ἀγαθῶν ἐν πολέμῳ ἀνδρῶν ἐπιμελόμενοι, τὴν οἰκείαν ἡδονὴν τῆς ἐκείνων οὐ προκρίνουσι σωτηρίας.

824. διὰ τί προκρίνει τὸν Αἴαντα; διὰ τὴν στάσιν· θρασὺς γὰρ ὢν οὐκ ἂν ἠνέσχετο, ἢ καὶ ἔτι πολεμῆσαι ἠθέλησεν.

825. ἐϋτμήτῳ] εὐκατασκευάστῳ. οὐκ ἦσαν δὲ παρὰ τοῖς παλαιοῖς δερμάτινοι.

826. σόλον] ὥσπερ τοῖς μονομαχοῦσιν ὅπλα, οὕτω καὶ τοῖς δισκεύουσι τὸν δίσκον τίθησι. διὰ τί δὲ μὴ ποιεῖ καὶ δευτερεῖα; ὅτι μὴ μέγα ἦν τὸ κατόρθωμα, ἀλλὰ καὶ μεμπτὸς ὁ ἀπολειπόμενος· ὁ δὲ νικήσας εἶχε τὸν σόλον. σόλος δὲ παρὰ τὸ ὅλος εἶναι, ὅ ἐστι περιφερὴς, καὶ αὐτοχόωνος ὁ καθ' ἑαυτὸν κεχωνευμένος καὶ μηδὲν ἔχων ἐπείσακτον. ὁ δὲ Ἀρίσταρχός φησιν ὅτι χαλκοῦς ἦν· ὁ γὰρ σίδηρος οὐ χωνεύεται. ὅταν δὲ εἴπῃ "ἀτεμβόμενος σιδήρου ποιμήν," σημαίνει ὡς ἀλλάξει τοῦ χαλκοῦ τὸν σίδηρον. ὁ δὲ δίσκος λίθος ἦν κυκλοτερὴς, μέσον ἔχων ὀπὴν ἐξ ἧς ἐχάλων καλῴδιον πρὸς τὸ μετεωρίζοντας βάλλειν. καὶ ἐν Ὀδυσσείᾳ (8, 190) "βόμβησε δὲ λίθος."

833. ἕξει μιν] οὐ σταθμῷ τὸ βάρος ἐνέφηνεν, ἀλλὰ χρήσει πολυχρονίῳ.

835. ποιμήν] δεῖται γὰρ σιδήρου ὁ ποιμὴν πρὸς τὸ χειμῶνος

9. προσπελάσας] προσπλεύσας Vill. 18. τὸν Αἴαντα Bekkerus] αἴαντος

κόπτειν θαλλοὺς καὶ ἀκάνθας εἰς φραγμοὺς καὶ ξύλα πρὸς κλισιῶν κατασκευήν.

838. ἂν δ' Αἴας] ἰάσασθαι θέλων τὰ φθάσαντα καὶ δεῖξαι ὡς πάντα ἤσκηται, τούτῳ ἐπιχειρεῖ. οὐ τυγχάνει δὲ τὸ τέλειον τῷ ἤδη προκεκμηκέναι.

840. γέλασαν δ' ἐπί] βούλεται εἰπεῖν ὅτι καταγέλαστος ἐγένετο ἐπ' ὀλίγον βαλών· ἢ ὅτι εὐχερῶς ἧκεν αὐτὸν καὶ χαίροντες γελῶσιν.

845. καλαύροπα] ῥάβδον καλὴν ῥοπὴν ἔχουσαν. βάλλουσι δὲ αὐτὴν ὅτε συνενωθείσας βούλονται διακρῖναι τὰς βοῦς. ἔχει δὲ ἐν τῷ κάτω μέρει δεσμὸν, εἰς ὃν εἴρουσι τὴν χεῖρα. παρὰ τὸ ῥέπω δὲ γίνεται ῥέψω ῥέψ ῥόψ καλαῦροψ. καὶ Ἀντίμαχος "πάντες δ' ἐν χείρεσσι καλαύροπας οὐατοέσσας ἕλον." τῶν ἅπαξ δὲ εἰρημένων ἐστὶν ἡ λέξις.

846. διὰ βοῦς] διὰ βοῶν, ὡς τὸ "διά τ' ἔντεα" (806).

850. μέλανα, ὡς τὸ ἰοειδέα πόντον. οἱ δὲ εἰς βελῶν ἐργασίαν ἐπιτήδειον, ἐξ οὗ τὸν καθαρόν· ἡ γὰρ εἰς λεπτὰ κατασκευὴ καθαροῦ δεῖται σιδήρου.

851. διστόμους πελέκεις, δίχα τῶν στελεῶν· οἱ δὲ ὄνομα σταθμοῦ ἑξάμνουν παρὰ τοῖς Βοιωτοῖς οὕτω λεγόμενον. οἱ δὲ κατά τινας τάλαντον σιδήρου, κατὰ δὲ ἐνίους ἑκατὸν μνᾶς. οἱ δὲ ἃ τιθέντες δι' αὐτῶν ἐτόξευον. καὶ ἔστι χαρίεν· ὡς γὰρ τοῖς μονομάχοις ἆθλον τέθεικε πανοπλίαν καὶ τοῖς δισκεύουσιν αὐτὸν τὸν δίσκον, οὕτω τοῖς τοξεύουσι πελέκεας, οἷς εἰώθασι χρῆσθαι. δύο δὲ τίθησι διὰ τὸ μὴ εἶναι πολλοὺς ἀρίστους τοξότας τοῖς Ἀχαιοῖς. ἡμιπέλεκκα δὲ τοὺς μονοστόμους πελέκεις.

855. λείπει τὸ τάδε λέγων. εἴωθε δὲ μεταβαίνειν ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικόν. ἔστι δὲ δυσχερέστερον τὸ τῆς περιστερᾶς· τοῦ ἑνὸς γὰρ δέδεται ποδὸς, καὶ πτερυσσομένη δυσχερής ἐστι πρὸς τὴν βολήν.

859. ὦρτο δ' ἔπειτα βίη Τεύκροιο] καὶ πῶς φησὶν Ὀδυσσεὺς "οἶος δή με Φιλοκτήτης ἀπεκαίνυτο τόξῳ" (Od. 8, 219). πρὸς τοὺς ἀγνωρίστους καυχᾶται, ὡς καὶ τὸ "δουρὶ δ' ἀκοντίζω ὅσον οὐκ ἄλλος τις ὀϊστῷ" (ib. 229).

861. κλήρους δ'] ἴσως γὰρ ὁ πρῶτος βαλεῖ τὴν ὄρνιν καὶ νικήσει.

19. ἑξάμνουν] ἑξαμνοῦν 33. τις] om. 34. *βαλεῖ] βάλη

863. ἐπικρατέως] ἰσχυρῶς καὶ δυνάμει πολλῇ, πρὸς τὸ ἐπιτυχεῖν. ἠπείλησεν] οὐκ εὔξατο.

865. μέγηρε γάρ οἱ τό γ' Ἀπόλλων] ἐπὶ εὐσέβειαν τοῦτο προτρέπει.

870. σπερχόμενος] ἐπειγόμενος ἀπέσπασε τῆς χειρὸς τοῦ Τεύκρου τὸ τόξον· ἐνὶ γὰρ ἠγωνίζοντο τόξῳ ὡς ἐνὶ δίσκῳ. ὀϊστὸν γὰρ ἐξ ὅτου ἐκεῖνος ἐτόξευε καὶ ἐπὶ τὸν σκοπὸν ἴθυνεν, οὗτος ἀναλαβὼν κατεῖχεν.

*Πορφυρίου. τί λέγει ἐν τούτοις τοῖς ἔπεσι, ζητήσειεν ἄν τις· "Τεῦκρος δὲ πρῶτος κλήρῳ λάχεν, αὐτίκα δ' ἰὸν ἧκεν ἐπικρατέως" καὶ τὰ ἑξῆς μέχρι τοῦ "ἀτὰρ δὴ ὀϊστὸν ἔχεν πάλαι ὡς ἴθυνεν." οἱ μὲν ἔφασαν σπεύδοντα τὸν Μηριόνην ἑλκύσαι τὸ τόξον, τὸν ὀϊστὸν ἔχοντα πάλαι ἐγκείμενον, δηλονότι ἐνηρμοσμένον τῇ νευρᾷ· σημαίνει γὰρ διὰ τούτων ὅτι τοξεύοντος τοῦ Τεύκρου εἱστήκει ὁ Μηριόνης κρατῶν τὸ τόξον ἐντεταμένον, ἡρμοσμένον ἔχων τὸν ὀϊστὸν πάλαι ἐν τῇ νευρᾷ· τότε δ' εἵλκυσε τὴν νευρὰν, ὡς ἴθυνε βέλος. ἢ οὖν τοῦτο λέγει, ἢ ὅτι τὸ τόξον μὲν ἦν ἓν, ᾧ ἔμελλε τοξεύειν, βέλη δὲ δύο, ἑκατέρῳ ἑνὸς δοθέντος. τὸν μὲν οὖν ὀϊστὸν κατεῖχε πάλαι ὁ Μηριόνης ἕως ἴθυνεν ὁ Τεῦκρος καὶ ἐτόξευε λαχὼν πρῶτος· ἐπεὶ δ' ἀπετόξευσε καὶ ἀπέτυχε, σπερχόμενος ὁ Μηριόνης ἐξείλετο τὸ τόξον ἐκ τῆς χειρὸς τοῦ Τεύκρου· τοῦτο γὰρ παρίστησι τὸ "σπερχόμενος — ἴθυνεν." ἐνηρμοσμένον τῇ νευρᾷ ἐξείρυσε τόξον ὡς ἴθυνε τὸν ὀϊστόν· εἶχε πάλαι δηλονότι ἐνηρμοσμένον τῇ νευρᾷ. ἀντιδιαιρεῖ γὰρ τί μὲν κατεῖχε πάλαι ὁ Μηριόνης καὶ τί ὕστερον ἔλαβε· τὸν μὲν γὰρ ὀϊστὸν εἶχε πάλαι ὡς ἴθυνε. πῶς οὖν πάλαι; τοσοῦτόν φησι χρόνον ὡς ἴθυνεν ὁ Τεῦκρος πρῶτος τοξεύων. τὸ δὲ τόξον ἐξείρυσε χειρὸς, ὃ οὐ κατέσχεν αὐτὸς, τῆς τοῦ Τεύκρου. σπερχόμενος δὲ διὰ τὸ ἁρπάζοντι ἐοικέναι, διὰ τὸ τάχος τῆς πετομένης περιστερᾶς.

877. πρόσθεν Μηριόναο] τὸ εὔστοχον ἐδήλωσε τῆς βολῆς διὰ τοῦ πρὸ τῶν ποδῶν τοῦ βαλόντος παγῆναι τὸ βέλος.

879. λίασθεν] ἀπεκλίθησαν, τὴν ἰδίαν ἁρμονίαν ἀφέντα.

880. ἀντὶ τοῦ ταχέως· ἢ ἐπειδὴ πνεῦμά ἐστι. πολλὰ δὲ ἐν τῇ ποιήσει κατορθώματα Τεύκρῳ περιάψας, νῦν τοῦτο Μηριόνῃ διὰ τὸ πιθανὸν πορίζεται.

885. ἀνθεματιαῖον ἤτοι ποικίλον, ἀπὸ τῶν ἐντετορευμένων ἀνθῶν, ἃ καὶ ἄνθεμα καλοῦσιν.

8. *Πορφυρίου] om.

886. ἥμονες] τινὲς ῥήμονες· ἀλλ' εἶπεν "ἥμασιν ἔπλευ ἄριστος" (Il. 23, 891). ἀπὸ τοῦ ἥσω οὖν ἐστί. διὸ καὶ δασύνεται. καλῶς δὲ Ἀγαμέμνων ἀγωνίζεται ὡς καὶ αὐτὸς χρεωστῶν τῷ θανόντι· δι' αὐτὸν γὰρ ἀναιρεῖται· καὶ ἵνα ἀνακτήσηται Ἀχιλλέα. πανταχοῦ δὲ εὔστοχός ἐστιν ἀκοντιστής.

892. ἀλλὰ σὺ μέν] ὡς βασιλέα ἀκονιτὶ στεφανοῖ, καὶ οὐ πρότερον, εἰ μὴ αὐτὸς ἐκέλευσεν.

897. κήρυκι δίδου περικαλλὲς ἄεθλον] δηλονότι ἐπὶ τῷ ἀπαγαγεῖν εἰς τὴν βασιλικὴν σκηνήν.

ΕΙΣ ΤΗΝ Ω.

1. λῦτο] εἰ μέν ἐστι μέσος δεύτερος ἀόριστος, ἀπὸ τῶν εἰς μι γίνεται, ὁμοίως τῷ "λύτο γούνατα" (Il. 21, 114), ὃ καὶ ἄμεινον· εἰ δὲ παρατατικὸς, ἀπὸ τοῦ ἐλύετο κατὰ κρᾶσιν ὁμοίως τῷ "ῥῦσθαι γενεήν τε τόκον τε" (Il. 15, 141). ἢ ἀπὸ τοῦ λέλυτο λύτο, ὡς βέβλητο βλῆτο.

ἀγών] ἢ τὸ πλῆθος, ὡς τὸ "ἀν' ἀγῶνα νεῶν" (Il. 20, 33)· ἢ αὐταὶ αἱ ἀγωνίσεις. παρὰ δὲ Βοιωτοῖς ἀγὼν ἡ ἀγορά· ὅθεν καὶ ἀγωνίους θεοὺς Αἰσχύλος τοὺς ἀγοραίους. ἔστι δὲ καὶ ἀγὼν ὁ κυκλοτερὴς τόπος καὶ μὴ ἔχων γωνίαν. οἱ δὲ, ἀπὸ ῥήματος τοῦ ἄγω ἀγών ὡς ἀείδω ἀηδών.

2. δόρποιο] δόρπος ἡ πρὸς ἑσπέραν τροφὴ, μεθ' ἣν ἐπὶ τὸ ἰαύειν ἕρπομεν, ὅ ἐστι κοιμᾶσθαι· ἢ ἀπὸ τοῦ δρέπεσθαι τοὺς πόνους· ἢ δόροπόν τι ὂν, τὸ μετὰ τὴν παῦσιν τῶν δοράτων. μέδοντο δὲ προενοῦντο, ἢ ἐφρόντιζον.

3. ταρπήμεναι] τέρψιν λαβεῖν. ἀπὸ κοινοῦ δὲ τὸ μέδοντο. λεληθότως δεδήλωκεν ὅτι μέχρις ἑσπέρας παρετάθη ὁ ἀγών.

4. κλαῖε] ἐπειδὴ ἀπὸ τῆς ἀνέσεως τοῦ ἀγῶνος ἐν ἄλλῃ καταστάσει πεποίηκε τὸν ἀκροατὴν, ὥστε ὑπονοεῖν μὴ καὶ ἀφῆκεν ἐκ τῆς ψυχῆς τὴν ἀνίαν ὁ Ἀχιλλεὺς, πάλιν ἐπὶ τὸ συνεκτικὸν μεταβαίνει πρόσωπον· μονωθεὶς γὰρ ὁ Ἀχιλλεὺς ἔτι τῇ λύπῃ κρατεῖται.

5. ᾕρει] ᾕρει μὲν, οὐχ ὁλοτελῶς δὲ διὰ τὸ πένθος. ἢ καὶ πάντας δαμάζων αὐτὸν οὐχ ᾕρει, ὥστε ἀνωτέρω τὸ αἴτιον τοῦ ὕπνου ὁ κόπος

16. ἀν'] Immo μετ'
17. ἀγωνίσεις] * διαγωνίσεις
18. Αἰσχύλος] Vide Lexicon Aeschyl. p. 422.

ἦν. πανδαμάτωρ δὲ ὁ μηδένα ἐῶν ἀδάμαστον. Σιμωνίδης δὲ δαμασίφωτα τὸν αὐτὸν εἶπεν.

6. δεξιῶς ὑπόκειται τίνα ἦν τὰ ἀναμιμνήσκοντα αὐτὸν πένθους. οὐ γὰρ ὅτι συνέπαιζεν, οὐδ᾽ ὅτι αὐτὸν ἐκολάκευεν, οὐδ᾽ ὅτι ἡδὺς συμπότης ἦν, ὡς ὁ τοῦ Ἕκτορος "ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής" (Il. 17, 577), ἀλλ᾽ ὅτι κοινωνὸς ἀρετῆς καὶ γενναίων ἔργων. οἱ δὲ ἀθετοῦντες τοὺς στίχους πῶς οὐκ ἐμβρόντητοι, ῥηματίων κακοσχόλων ἐχόμενοι καὶ τοιούτων ἐπῶν κατηγοροῦντες; ἀθετοῦνται δὲ ὅτι ἀνδροτής ἐστιν ἡ τοῦ ἀνδρὸς φύσις. ἀλλ᾽ εἶπε καὶ μένος ἠΰ. καὶ ὅτι οὐδαμοῦ συνετολύπευσέ τι αὐτῷ. ἀλλ᾽ ἐν πᾶσιν αὐτοῦ τοῖς ἔργοις εὑρίσκομεν ὅτι συνήργει· συνέκδημος γὰρ αὐτῷ ἐξ αὐτῆς τῆς Φθίας ἦν.

7. τολύπευσε] εἰς τέλος ἤγαγεν, ἀπὸ τῶν ἐρίων· τολύπη γὰρ ἡ σφαῖρα τῶν ἐρίων, ὅθεν τὸ ἐκ πολλῶν πραγμάτων εἴς ἕν τι κεφαλαιοῦν τολυπεύειν λέγεται. καλῶς δὲ καὶ τὸ πάθεν, ἐπεὶ ῥέξαντά τι καὶ παθεῖν ἔοικεν.

8. πείρων] βαρυτόνως· φησὶ γοῦν "νύκτας τε καὶ ἠῶ πεῖρε κέλευθον" (Od. 2, 434). καὶ "περὶ δουρὶ πεπαρμένος" (Il. 21, 577). καὶ ὡς σπείρω σπόρος, φθείρω φθόρος, οὕτως πείρω πόρος· "πόρους ἁλὸς ἐξερεείνων" (Od. 12, 259). καὶ "ἀκροπόρους" (Od. 3, 463) τοὺς πείροντας τὰ κρέα τοῖς ἄκροις. ἀπὸ δὲ τοῦ περῶ γίνεται πόρος καὶ πορθμός.

11. πρηνής] οὐκ ἔχει πρόθεσιν ἡ λέξις· τὸ γὰρ "προπρηνέα τύψῃ" (Od. 22, 98) πλειόνός ἐστιν ἐμφάσεως. τὸ δὲ τότε ἀντὶ τοῦ ἄλλοτε.

12. δινεύεσκ᾽] περιήρχετο. ἀλύων δὲ ἀλώμενος τὴν ψυχὴν, λυπούμενος, ἀστατῶν, ἀδημονῶν.

15. περισσὸς ὁ δέ, καὶ χωρίς τινος ἐμφάσεως κείμενος.

*Πορφυρίου. διὰ τί ὁ Ἀχιλλεὺς τὸν Ἕκτορα εἷλκε περὶ τὸν τάφον τοῦ Πατρόκλου, παρὰ τὰ νενομισμένα ποιῶν εἰς τὸν νεκρόν; ἢ παρανομοῦσι τὰ αὐτὰ οὐχ οἱ ἀμυνόμενοι, ἀλλ᾽ οἱ ἄρχοντες, ὁ δὲ Ἕκτωρ πρότερος ἐνεχείρησε λωβήσασθαι τὸν Πάτροκλον τοιαῦτα· τίς γὰρ ἡ γνώμη Ἕκτορος περὶ Πατρόκλου; "μάλιστα δὲ — ἁπαλῆς ἀπὸ δειρῆς" (Il. 18, 175—7). εἵλκυσταί τε πρότερος Πάτροκλος

15. * ῥέξαντα] ῥέξοντα 29. * Πορφυρίου] om.

διὰ τὴν τῶν Τρώων περὶ τὸν νεκρὸν προθυμίαν· "ὡς δ' ὅτ' ἀνὴρ — εἷλκον ἀμφότεροι" (Il. 17, 389—395). καὶ πάλιν "Ἕκτωρ μὲν — κεφαλὴν τάμοι" (ib. 125—6). ἐκείνων οὖν λελυκότων τὸν νόμον οὕτως ἐχρήσατο αὐτοῖς Ἀχιλλεύς· ὅταν γὰρ βουλόμενός τις κωλυθῇ, ἐκεῖνος μὲν πεποίηκεν, ἀλλ' ὁ πάσχων οὐδὲν πέπονθεν. Πάτροκλος δὲ φθάσας περιείλκυσται γυμνὸς ἐν τῷ πεδίῳ διὰ πρόφασιν τῶν προθεμένων αἰκίσασθαι τὸ σῶμα, ὥστ' ἀπολαμβάνοντι ἔοικεν ὁ Ἕκτωρ ἃ δέδρακεν, οὐ μὴν πάσχοντι τὰ παράνομα. καὶ φιλανθρωπότερόν γε ὅτι μόνον, ἃ δρᾶσαι δεδύνηται, πέπονθεν, οὐχ ὅσα δὲ δρᾶσαι διενοήθη. ἔστι δὲ λύσις, φησὶν Ἀριστοτέλης, καὶ εἰς τὰ ὑπάρχοντα ἀνάγων ἔθη, ὅτι τοιαῦτα ἦν, ἐπεὶ καὶ νῦν ἐν Θετταλίᾳ περιέλκουσι περὶ τοὺς τάφους.

16. τρίς] ἀντὶ τοῦ πολλάκις.

17. αὖτις ἐνὶ κλισίῃ] ἀπὸ τῆς ἑαυτοῦ σκηνῆς ἀρχόμενος αὐτὸν ἐρύειν, καὶ πολλάκις ἐρύων, τελευταῖον πάλιν μέχρι τῆς σκηνῆς γενόμενος ἐπαύετο τοῦ ἕλκειν αὐτόν.

ἀντὶ τοῦ ἑνὸς οἱ δύο σύνδεσμοι, ὡς τὸ "τόνδε δ' ἐγὼν ἐπὶ νῆα δεδέξομαι" (Il. 5, 238). τινὲς δὲ δέασκεν ἀντὶ τοῦ ἐδέσμευεν.

18. πλεονάζει ἡ πρό, ὡς τὸ "νῆάς τε προπάσας" (Il. 2, 493).

19. χροΐ] ἀντὶ τοῦ χροός. προτρέπεται δὲ ἡμᾶς διὰ τούτου πρὸς ἔλεον καὶ ἐπιμέλειαν τῶν νεκρῶν.

20, 21. ἀθετοῦνται οἱ δύο. νέφει γὰρ αὐτὸν σκέπει· "τῷ δ' ἐπὶ κυάνεον νέφος ἤγαγε" (Il. 23, 188). καὶ αἰγὶς οὐκ ἔστιν αὐτοῦ.

22. *Πορφυρίου. τὸ ἀείκιζεν ἀντὶ τοῦ ὕβριζεν. αἰκία δὲ οὐχ ἡ ὕβρις μόνον, ἀλλὰ καὶ τὸ αἶσχος, παρὰ τὸ μὴ ἐοικέναι, ὃ δηλοῖ τὸ καθῆκον, ὥς φησιν "δαίνυ δαῖτα γέρουσιν· ἔοικέ τοι, οὔτι ἀεικές" (Il. 9, 70), ὡς εἰ ἔλεγε, πρέπει σοι καὶ καθήκει τοῦτο. ὅτι δὲ ἡ αἰκία καὶ ἐπὶ τοῦ αἴσχους δηλοῖ εἰπὼν "τοῖο δ' Ἀπόλλων πᾶσαν ἀεικίην ἄπεχε χροΐ," εἶτά φησιν, αἶσχος ἄπειρον, ἐξηγούμενος τὴν αἰκίαν, "ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο ἕλκει ἀκηδέστως, οὐδέ μιν αἰσχύνει" (416)· "κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαί-

10. λύσις] In cod. Mosq. λύειν, quo recepto ἀνάγων in ἀνάγειν mutandum cum Rosio in Aristot. pseudepigraph. p. 169.
Ἀριστοτέλης] Callimachus nominatur ad 22, 397.

16. *γενόμενος] γινόμενος idque post αὐτόν
17. τόνδε δ'] τόνδ'.
24. *Πορφυρίου] om.
26. *καθῆκον] καθήκειν
30. *αἰκίαν] ἀεικίαν

νων" (54). ὑβρίζει, ἢ ἀεικίζει ἐφ' οἷς οὐκ ἄν τις εἴξειεν· ἢ ἀνόμοιον ποιεῖ τῷ πρόσθεν καὶ οὐκ ἐοικὸς ἑαυτῷ. ὅθεν ἐπαγγελλόμενος τὸ μὴ αἰκίσαι φησὶν "ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ, νεκρὸν Ἀχαιοῖσι δώσω πάλιν· οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀεικιῶ" (Il. 22, 258. 259. 256). πρὸς ὃ εἶπεν οἷον, χωρὶς τοῦ ἀπεοικότα γενέσθαι δώσω τὸν νεκρόν. τὸ δὲ παρὰ τὸ καθῆκον ἀεικέλιον λέγει· "δμωάς τε γυναῖκας ῥυστάζοντας ἀεικελίως" (Od. 16, 108). ῥυστάζειν δὲ τὸ ἕλκειν εἰς ὕβριν· "πῶς νῦν, εἴ τις ξένος ἐν ἡμετέροισι δόμοισιν ἥμενος ὧδε πάθοι ῥυστακτύος ἐξ ἀλεγεινῆς. σοί τ' αἶσχος λώβη τε μετ' ἀνθρώποισι γένοιτο" (Od. 18, 223). τὴν γὰρ ὕβριν ἔφη ῥυστακτὺν μεταφορικῶς ἀπὸ τῶν ἑλκομένων· οὐ γὰρ εἱλκύσθη, ἀλλ' ὑβρίσθη. τὸ μέντοι ἕλκειν εἰς ὕβριν ἔφη· "Λητὼ δὲ εἵλκυσεν" ὕβρισε "Διὸς κυδρὴν παράκοιτιν" (Od. 11, 580). καὶ ἐκ πλήρους ἐν ἄλλοις "ἑλκύσουσιν ἀεικελίως." παρατηρητέον δὲ τὰ ἐκ πλήρους παρ' αὐτῷ λεγόμενα, ἵνα καὶ τὰ ἐλλιπῶς προενηνεγμένα ἐκεῖθεν ἀναπληρώσωμεν. ἐκ πλήρους μὲν γὰρ ἔφη "πῶς κεν ἔοι τάδε ἔργα" (Il. 11, 837), ἐλλιπῶς δὲ "πῶς κ' ἔοι, εἴ τις νῶϊ θεῶν αἰειγενετάων εὕδοντ' ἀθρήσειε" (Il. 14, 333)· καὶ ἔτι ἐλλιπέστερον "πῶς οὖν εἴ τις ξένος ἐν ἡμετέροισι δόμοισι" (Od. 18, 223). τὸ δὲ πλῆρες "πῶς κεν ἔοι τάδε ἔργα." ὅτι δὲ τὸ ἀεικίζειν ἤτοι αἰκίζειν τὸ μὴ ἐοικότα ποιεῖν, δῆλον ἐκ τοῦ κατήκισται, τουτέστιν ἀνωμοίωται. καὶ ἀσκηθὴς οὖν ὁ μὴ παθὼν ἀεικέλια μηδὲ ἀάσχετα μηδ' αἰσχυνθείς, ἀλλ' ὁλόκληρος. ἐξηγεῖται δὲ αὐτός· "ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο τεύχεσί τε ξύμπασι καὶ ἀγχεμάχοις ἑτάροισι" (Il. 16, 247). τούτῳ ἴσον τὸ ἀρτεμής. "ὡς εἶδον ζωόν τε καὶ ἀρτεμέα προσιόντα" (Il. 7, 308).

23. ἀπὸ τούτου ὀκτὼ ἀθετοῦσι, καὶ τοὺς μὲν ἓξ οὐκ ἀλόγως. ὁ δὲ πρῶτος ἐμοὶ δοκεῖ δεόντως κεχρῆσθαι, ὥστε τὴν συναφὴν εἶναι "τόνδ'

9. * ῥυστακτύος] ῥυστακτῆος
18. * ἔτι] εἴτι
22. * μηδὲ ἀάσχετα] Haec verba post αἰσχυνθεὶς collocat B.
27. ἀπὸ τούτου ὀκτὼ ἀθετοῦσι] Hoc dicit scholiasta, damnari versus octo (23—30), sed septem tantum damnandos esse, servato secundo ab verbis τὸν δ' ἐλεαίρεσκον incipiente. In textu octo versibus 23—30 signa talia (~) sunt apposita

~ τόνδ' ἐλεαίρεσκον
~ κλέψαι

quorum primum eodem quo textus atramento scriptum est, cetera rubro. In scholio codicis A sex tantum versus ἀθετεῖσθαι dicuntur 25—30.
* ἐξ] ἐξῆς

ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες· ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο." πιθανὸν γὰρ πάντων μὲν ἅπτεσθαι τὸν ἔλεον, ἄρξασθαι δὲ τῶν λόγων τὸν μᾶλλον κηδόμενον Ἕκτορος. οἱ ἑπτὰ οὖν δεόντως ἀθετοῦνται, ὡς Ἀρίσταρχος· τὸ γὰρ κλέπτειν δι' Ἑρμοῦ θεοῖς οὐ πρέπον, ἄλογόν τε τὸ εἰπόντα τὴν γνώμην τῶν θεῶν τὴν περὶ τῆς κλοπῆς ἐπάγειν τοὺς λόγους τοῦ Ἀπόλλωνος κοινῇ κατηγοροῦντος τῶν θεῶν. ἄντικρυς οὖν ἐλέγχονται μὴ ὄντες Ὁμήρου· οὐκ ἔδει γὰρ θεοὺς τὸν αὐτὸν θυμὸν ἔχειν Ἀχιλλεῖ. καὶ ὅτι Ποσειδῶν οὐ διὰ χειρὸς Ἀχαιοῖς ἐπίκουρος. καὶ τὸ νείκεσσεν ἄκυρον ἐπὶ δικαστοῦ· ἐπὶ γὰρ τῶν δικαζομένων αὐτὸ τίθησιν, ὡς τὸ "ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς" (Il. 18, 498) "κρίνων νείκεα πολλὰ δικαζομένων" (Od. 12, 440). οἱ δὲ νεώτεροι ἐπὶ τοῦ τὸ νεῖκος διαλύειν, ὡς Ἀντίμαχος "εὐνείκεστα δ' ἔσαν λόγια" ἀντὶ τοῦ εὐδιάκριτα. καὶ ἡ μέσαυλος σημαίνουσα τὴν ἐν ὄρει οἴκησιν, Ὁμήρου παραδεδωκότος ἐν ἄστει τεθράφθαι τὸν Ἀλέξανδρον καὶ μουσικὴν ἠσκηκέναι· "οὐκ ἄν τοι χραισμήσῃ κίθαρις ἥ τε κόμη τό τε εἶδος" (Il. 3, 54), μηδαμῶς ἀγροίκῳ ἁρμόζοντα. ἥ τε μαχλοσύνη νεωτέρων ἐστίν· ἀμέλει οὐδαμοῦ αὐτῇ χρῆται, ἀλλ' οὐδὲ ἐπὶ ἀνδρῶν τίθεται. τήν τε ἔριν τοῦ κάλλους οὐκ οἶδεν ὁ ποιητής· οὐδαμοῦ γὰρ αὐτῆς ἐμνήσθη· καὶ ὁ Πρίαμος δὲ θεοῖς, ἀλλ' οὐ τῇ κρίσει τὴν αἰτίαν περιάπτει. πῶς δ' ἂν τὰς ναῦς ἀρχεκάκους εἶπε (Il. 5. 63), καὶ οὐ τὴν κρίσιν;

24. *Ἀργειφόντην] οὐχ ὅτι κατὰ τοὺς Ἡσιόδου μύθους τὸν βουκόλον Ἰοῦς ἐφόνευσεν, ἀλλ' ἐπειδὴ μία παντὸς λόγου φύσις ἐκφαίνειν ἐναργῶς τὸ νοούμενον.

*Ζεὺς ἐρασθεὶς Μαίας τῆς Ἀτλαντίδος λαθὼν Ἥραν ἐμίγη· ἡ δὲ ἔγκυος γενομένη ἐν Κυλλήνῃ τῆς Ἀρκαδίας Ἑρμῆν ἐγέννησεν, ὅστις ἐπιθυμίαν ἔσχε τοῦ κλέπτειν, ὅτι καὶ Ζεὺς κλέψας τὴν Ἥραν ἐμίγη Μαίᾳ. καὶ δή ποτε τῆς μητρὸς μετὰ τῶν ἀδελφῶν αὐτῆς λουομένης λαθὼν ὑφείλετο τὰς ἐσθῆτας· γυμναὶ δὲ ἐκεῖναι οὖσαι ἠπόρουν τί διαπράξωνται. γέλωτα δὲ διὰ τούτου Ἑρμῆς ποιήσας

8. *καὶ ὅτι Ποσειδῶν—ἐπίκουρος] om.

9. *γὰρ] om.

11. *κρίνων—δικαζομένων] om.

12. εὐνείκεστα (sic codex, non εὐνεικέα ut Vill.) δ' ἔσαν λόγια] Pro his verbis in cod. Townl. legitur μετὰ δὲ εὐνεῖκες (sic) κρίνον. Pro εὐνείκεστα Schneiderus in Lexico εὐνείκητα.

23. Ἰοῦς Vill.] ἠοῦς

24. ἐκφαίνειν Bekk.] ἐκφαίνει

26. * Κυλλήνῃ] κυλήνη

30. διαπράξωνται] *πράξωσιν

ἀπέδωκεν αὐταῖς τὰς ἐσθῆτας. ἔκλεψε δὲ καὶ τὰς Ἀπόλλωνος βοῦς. ἱστορεῖ Ἐρατοσθένης.

27. ἔχον] διέκειντο· οὕτως, φησὶ, διαθέσεως εἶχον καὶ διέκειντο ὡς ἀπ' αὐτῆς τῆς ἀρχῆς.

30. μαχλοσύνην] τὰ πρὸς πορνείαν ἐπιτήδεια, τὴν κόμην δηλονότι καὶ τὸ εἶδος.

31. ἐκ τοῖο] ἐξ οὗ Ἕκτωρ ἀπέθανεν. εἶτα ὑλοτόμησαν, τρίτη δὲ ἡ τοῦ ἀγῶνος, εἶτα μετὰ ταῦτα ἐννέα· φησὶ γοῦν (107) "ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισιν ὀρώρει." ἐπίτηδες δὲ ἀνοχὰς παρέχουσι Τρωσὶ γνωσιμαχῆσαι. ἢ ὅτι πλέον ἐβούλετο Πάτροκλον ὁ στρατηγῶν Ἀχιλλεὺς πενθῆσαι.

33. σχέτλιοι] ἐπιβλαβῆ καὶ δυσανάσχετα πράσσοντες. λείπει δὲ ὁ καί, ἵν' ᾖ καὶ δηλήμονες, ὅ ἐστι φθαρτικοί. καὶ τοῖς μὲν Τρωϊκοῖς μέμφεται ὅτι τῶν θανόντων ἀμελοῦσι φίλων, τοῖς δὲ Ἑλληνικοῖς ὅτι πέρα τοῦ δέοντος θυμοῦνται.

36. οἰκτίζεται γονέων μνησθεὶς καὶ γαμετῆς καὶ τέκνων, εἰργομένων τῷ φιλτάτῳ τοῦ κοινοῦ μεταδοῦναι πυρός.

39. ὀλοῷ] ὀλοθρευτικῷ, ἢ ὀλέθρου ἀξίῳ.

ἐπαρήγειν] βούλεσθε προσεῖναι καὶ προστίθεσθαι καὶ τοῖς ἐκείνου εἴκειν θελήμασιν.

41. γναμπτόν] εὐπειθές. πιθανῶς δὲ τῇ εὐσεβείᾳ Ἕκτορος ἀντέθηκε τὴν Ἀχιλλέως ὠμότητα.

42. περισσόν ἐστιν, εἰ μὴ λείπει τινός.

46. μέλλει] ἀντὶ τοῦ ἔοικεν.

47. κασίγνητον ὁμογάστριον] οὗτοι γὰρ ἐνδιάθετοι ἀδελφοί· τοὺς δὲ ὁμοπατρίους οὐκ ᾤοντο τελείας συγγενείας εἶναι· "ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι" (Il. 21, 95).

49. τλητὸν γάρ] τοῦτο δείκνυσιν ὅτι δεῖ γενναίως τὰ συμβαίνοντα φέρειν ὡς μηδὲν τῆς ἀγανακτήσεως ὠφελούσης.

52. ἄμεινον] λείπει τὸ ἔσται, ἢ τοῦ παύσασθαι.

53. ἀθετεῖται· πῶς γὰρ ὃν ὀλοὸν εἶπεν, νῦν ἀγαθόν φησιν; ἢ ἀντὶ τοῦ ἀνδρείῳ ἐστίν.

54. κωφήν] ἀντὶ τοῦ ἀναίσθητον. κέχρηται δὲ τῷ εἰδικῷ ἀντὶ γενικοῦ. κωφὸν δὲ καὶ τὸ μὴ προϊέμενον φωνήν· "κωφὸν γὰρ βέλος" (Il. 11, 390) καὶ "κύματι κωφῷ" (Il. 14, 16). καλῶς δὲ τὸ ἀναίσθητον γῇ παρείκασεν. ἢ ὅτι ἀπὸ γῆς τὸ σῶμα, καὶ ὅτι βαρὺ καὶ

γεῶδες, ὡς καὶ Ἐμπεδοκλῆς φησὶ καὶ Ἡράκλειτος "νέκυες κοπρίων ἐκβλητότεροι."

55. χολωσαμένη] ἐπὶ τῇ κατηγορίᾳ Ἀχιλλέως ὤργισται. τὴν δὲ ἀπολογίαν πρὸς ἕτερα πεποίηται· οὐ γὰρ ὅτι οὐχ ἥμαρτεν ἀπολογεῖται, ἀλλ' ὥσπερ λαβὴν εἴληφε τὸ ὑπὸ Ἀπόλλωνος εἰρημένον "ἀλλ' ὀλοῷ Ἀχιλῆϊ θεοὶ βούλεσθ' ἐπαρήγειν," καί φησιν ὅτι δεόντως οὗτος τιμᾶται διὰ τὴν ἀρετήν.

56. τεὸν ἔπος] πρέπον σεαυτῷ εἴρηκας· ἢ ἔοικε σὸν τὸ ἔπος εἶναι· ἢ εἴη ἂν καὶ τοῦτο τὸ ἔπος τῶν σῶν φλυαρημάτων.

57. θήσετε] ἀντὶ τοῦ θήσεις σὺ καὶ μόνος καὶ πρῶτος· οὐ γὰρ ἄλλος τις.

58. γυναῖκα] ἀντὶ τοῦ γυναικός, ὡς τὸ "ὁ δ' ἐρινεὸν τάμνε νέους ὅρπηκας" (Il. 21, 73)· ἢ γυναικεῖον· ἢ παρέλκει τὸ μαζόν. ἢ λείπει εἰς τὸ μαζόν ἢ κατά.

60. ἀτίτηλα] ἔτι ἀταλὴν ἤτοι νέαν καὶ ἁπαλὴν οὖσαν ἀνεθρεψάμην.

62. ἀντιάασθε] εὐμοιρεῖτε καὶ μετελαγχάνετε.

63. αἰὲν ἄπιστε] ὡς ὑποσχομένου βοηθήσειν Ἀχαιοῖς· "ἐπέγναμψε γὰρ ἅπαντας Ἥρη λισσομένη" (Il. 2, 31).

64. τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς] πιθανῶς ὁ Ζεὺς διαδέχεται τὴν δικαιολογίαν τοῦ παιδὸς οὐ θελήσαντος ἐπὶ τοῦ πατρὸς ἐρίζειν τῇ γυναικί.

65. ἀποσκύδμαινε] ὥσπερ ἐρίζω ἐριδμαίνω, οὕτω καὶ σκύζω σκυδμαίνω. ἢ ἀπὸ τῶν ὀργιζομένων λεόντων ἐπὶ τῇ ἀφαιρέσει τῶν σκύμνων. ἢ ἀπὸ τῆς περὶ τὸ πρόσωπον ἐν τῷ ὀργίζεσθαι συστολῆς τοῦ δέρματος.

66. οὐ μὲν γὰρ τιμή γε μί' ἔσσεται] οὐχ ἕνα μόνον τιμήσομεν· ἢ οὐχ ὁμοία ἡ ἐπὶ πάντας ἔσται τιμή.

68. ἔμοιγ'] λείπει τὸ δοκεῖ· ἢ ὡς ἐμοὶ καὶ τοῖς ἄλλοις ἦν φίλος.

69. εἴσης] τῆς ὀφειλούσης καὶ δεούσης· καὶ αὐτοῖς γὰρ μοίρας ἀπένεμον καὶ ἀπήρχοντο ἐξ ὅλων τῶν μελῶν, τούτῳ δὲ πλέον.

1. * ὡς] om.
καὶ Ἡράκλειτος (cuius haec verba esse ex Plutarcho novimus Moral. p. 669 a) addidi ex Townl., in quo duo sunt scholia, prius, *κωφήν*: *βαρὺ γὰρ καὶ γεῶδες τὸ σῶμα* :— alterum, *καλῶς τὸ ἀ. γῇ π., ὅτι ἀπὸ γῆς τὸ σῶμα, ὡς καὶ Ἐ. καὶ Ἡ. ν. κ. ἐ.* :—
10. * καὶ πρῶτος] καὶ om.
18. * ὑποσχομένου] ὑποσχόμενος
23. * οὕτω καὶ] om.
24. λεόντων] * λεαινῶν

71. κλέψαι μὲν ἐάσομεν] τὴν περὶ τοῦ κλέψαι βουλὴν ἐάσομεν.

73. μήτηρ παρμέμβλωκε] ψευδὲς τοῦτο. τάχα οὖν φησὶν ὅτι ὡς μήτηρ συμπάρεστιν αὐτῷ τῷ νεκρῷ Ἀχιλλεύς.

74. ἀλλ' εἴ τις] ἀλλ' εἴθε τις. ὥσπερ δὲ εἰπόντος "ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν" (Il. 1,62) ἀνέστη Κάλχας, οὕτω καὶ νῦν ἡ Ἶρις. Θέτιν] τὴν Θέτιν ἀποστέλλει πρὸς Ἀχιλλέα διὰ τὸ τῆς συμβουλῆς εὐπαράδεκτον. ἤκουε γὰρ αὐτῆς ὡς πάντα προειδυίης.

78. Σάμου] τῆς νῦν Σαμοθράκης. σάμους δὲ τοὺς λόφους ἔλεγον. ἐκαλεῖτο δὲ Λευκωνία, εἶτα οἰκισθεῖσα ὑπὸ Σαμίων, ὧν τὰ σκάφη οἱ αἰχμάλωτοι Θρᾶκες κατέδυσαν, Σαμοθράκη ὠνόμασται.

80. μολυβδαίνῃ] τῷ μολύβδῳ ὃ πρὸς τῇ ὁρμιᾷ καὶ τῷ ἀγκίστρῳ ἐστὶ πρὸς τὸ θᾶττον καθικνεῖσθαι τοῦ βυθοῦ.

81. κέρας] ὃ προσάπτουσι τῇ ὁρμιᾷ πρὸς τὸ μὴ ἐσθίεσθαι καὶ ὁμόχροον εἶναι τῇ θαλάσσῃ. οἱ δὲ νεώτεροι κέρας τὴν συμπλοκὴν τῶν τριχῶν.

85. ἔμελλε] ἀντὶ τοῦ ἐμοιρήθη, ἢ ἀντὶ τοῦ ἐῴκει.

86. ἐπειδὴ μέλλει καταστρέφειν τὸν λόγον εἰς τὰς Ἕκτορος ταφάς, προλαβεῖν τι ἐπιχειρεῖ τῶν ἑξῆς, καὶ τὸ κέντρον ἐγκαταλιπεῖν, ὡς ὁ κωμικός φησι, τοῖς ἀκροωμένοις, ὥστε ποθῆσαί τι καὶ περὶ τῆς Ἀχιλλέως ἀναιρέσεως ἀκοῦσαι, καὶ ἐννοεῖν παρ' ἑαυτοῖς οἷος ἂν ἐγένετο ὁ ποιητὴς διατιθέμενος ταῦτα. καὶ ἔστι περιπαθὲς τὸ κλαίειν τὸν ζῶντα.

88. ἄφθιτα] ἀναλλοίωτα καὶ ἀμετάβλητα.

90, 91. τὸ ἑξῆς, τίπτε μ' ἄνωγε μίσγεσθ' ἀθανάτοισιν. ἢ λείπει τὸ ἐλθεῖν μετὰ τὸ θεός.

91. ὁ δέ ἀντὶ τοῦ γάρ. ἄκριτα δὲ τὰ ἀναρίθμητα.

92. οὐδ' ἅλιον ἔπος ἔσσεται] οὐ ματαιώσω τὴν κέλευσιν αὐτοῦ.

94. ἔσθος] παρὰ τὸ ἕω τὸ ἐνδύομαι· παρὰ τοῦτο δὲ ἡ ἐσθής. οἰκεῖον δὲ θαλασσίᾳ καὶ πενθούσῃ θεῷ τὸ μέλαν.

96. λιάζετο] ὑπεχωρίζετο, διίστατο, ὥσπερ ὁδὸν παρέχον.

97. οὐρανόν] τὸν ὑπερνέφιον τοῦ Ὀλύμπου τόπον. ἀκτὴν δὲ τὴν τοῦ μέλανος κόλπου.

100. εἶξε δ' Ἀθήνη] ἡ μὲν Ἀθηνᾶ ὡς νεωτέρα τοῦ θρόνου ὑπείκει, ἡ δὲ Ἥρα ὡς βασιλὶς τῇ δεξιώσει φιλοτιμεῖται.

10. κατέδυσαν Bekk.] κατέλυσαν
19. ὁ κωμικός] Eupolis: v. Meinek. 2 p. 458.

109. ἐΰσκοπον] συνετὸν, κατὰ τοῦ σκοποῦ φέροντα τὴν γνώμην.

110. προτιάπτω] ἀντὶ τοῦ προσάπτω καὶ παρέχω. προϊάπτω δὲ τὸ βλάπτω.

111. μετόπισθε] λείπει ὁ καί, ἵν' ᾖ καὶ εἰς ὕστερον θέλων τὴν πρὸς σὲ φιλίαν τηρῆσαι.

114. μαινομένῃσι] μανίας γὰρ ἴδιον τὸ αἰκίζεσθαι τὰ ἀναίσθητα.

116. ἀπό θ' Ἕκτορα λύσῃ] καὶ μὴν οὐκ ᾔτησέ τις. ἢ ἐπεὶ ὡς μὴ ἀπολύσων διέκειτο, οὐδὲ ἐὰν ἀντίρροπον δοῖεν χρυσόν.

117. Ἶριν ἐφήσω] ἐντελουμένην αὐτῷ τὰ περὶ τούτου τὴν Ἶριν ἀποπέμψω.

* Πορφυρίου. τὸ ἐφήσω οὐκ ἔσι ν ἐπιπέμψω ἁπλῶς, ἀλλ' ἔστιν ἐντολὰς αὐτῇ δοὺς πέμψω. τίς δὲ ἡ ἐντολή; "λύσασθαι φίλον υἱὸν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν·" ἐφετμὴ γὰρ ἐντολὴ, παρὰ τὸ ἐφίεσθαι γεγονυῖα, ὅ ἐστιν ἐντέλλεσθαι· "ὑμέων δ' ἀνδρὶ ἑκάστῳ ἐφιέμενος τάδε εἴρω" (Od. 13, 7), ὡς εἰ ἔλεγεν, ἐφετμὰς ποιούμενος.

123. ἀδινά] ἀθρόως καὶ ὡς ἐξ ἀνακλίσεως. ἢ ἀδιαλείπτως.

129. ἐντεῦθεν καὶ Πυθαγόρας παραινεῖ μὴ ἐσθίειν ζῴου καρδίαν· ὁ γὰρ ἐκείνην ἐσθίων καὶ τὴν ἑαυτοῦ ἐσθίει, τουτέστιν οὐδέποτε ἀτάραχον καὶ ἄλυπον ἑαυτὸν τηρεῖ.

134. δασυντέον τὸ πρῶτον ε̄ τοῦ ἑέ. τῷ δὲ τόνῳ ὡς καλέ.

137. νεκροῖο δὲ δέξαι ἄποινα] τὰ μὲν ἄποινά φησιν ὑπὲρ ζώντων, σὺ δὲ ὑπὲρ νεκροῦ καὶ ἀχρήστου δέξαι αὐτὰ καὶ κερδάνῃς.

139. τῇδ'] ἀντὶ τοῦ ἐνθάδε. τὸ δὲ εἴη ἀντὶ τοῦ παραγένοιτο. ὁ δὲ Ζώπυρος ἀντὶ τοῦ ἔστω.

144. ταχεῖα] ἀντὶ τοῦ ταχέως.

148. μηδέ τις ἄλλος] ὑπὲρ τοῦ λαθεῖν. ἅμα δὲ καὶ ἔλεον ἡ μόνωσις ἐργάζεται.

149. μόνον ἀπελθεῖν μετὰ τοσούτων λύτρων ἀδύνατον, ἐπάγεσθαι δέ τινα τῶν νέων εἰς πολεμίων στρατὸν ἀπίθανον. οὐ μόνον οὖν κῆρυξ ἕπεται, ὅ ἐστι σπονδῶν καὶ πίστεως σύμβολον, ἀλλὰ καὶ οὗτος γέρων.

152. τάρβος ὁ φόβος ἀπὸ τοῦ τείρω τάρος καὶ πλεονασμῷ τάρβος.

156. οὔτ' αὐτὸς] διὰ πάντων ἀσφαλῆ τὴν ἔξοδον αὐτῷ κατασκευάζει, τὸν μὲν ἐν τῇ ὁδῷ κίνδυνον δι' Ἑρμοῦ διαφεύξεσθαι

10. ἐντελουμένην] ἐντελυμένην Townl. ἐφήσω sine Πορφυρίου.
12. *Πορφυρίου. τὸ ἐφήσω] τὸ δὲ 25. Ζώπυρος] τοῦ ζωπύρου Townl.

ὑπισχνούμενος, ἐν Ἀχιλλέως δὲ γενόμενον οὐ μόνον ὑπ' αὐτοῦ μὴ κινδυνεύειν, ἀλλὰ δι' ἐκείνου καὶ τὴν τῶν ἄλλων ἀσφάλειαν ποριεῖσθαι, διὰ τὸ πρὸς τοὺς ἱκέτας καθῆκον.

157. τάχιστα διέλαβε πόθεν οἱ ἄνθρωποι ἐπὶ τὸ ἀδικεῖν ἔρχονται. ἢ γὰρ δι' ἀσυνεσίαν, ὃ διὰ τοῦ ἄφρων· ἢ ἀκόντως, ὃ διὰ τοῦ ἄσκοπος, ὃ δηλοῖ τὸν μὴ τοῦ συμφέροντος προνοούμενον· ἢ ἑκουσίως, ὃ διὰ τοῦ ἀλιτήμων παρέστησεν, ὃ δηλοῖ τὸν ἀλιτάνευτον, τὸν ἑκουσίως τοῦ δέοντος ἁμαρτάνοντα. ἠθικῶς δὲ ἀπολογεῖται ὑπὲρ Ἀχιλλέως, δι' ἃ εἶπεν Ἀπόλλων (40) "ᾧ οὔτ' ἂρ φρένες ἐναίσιμοι."

158. ἐνδυκέως] ἐπιμελῶς. ἢ διόλου καὶ ὁλοτελῶς.

160. ἐνοπήν τε γόον τε] τὸν μετὰ θορύβου θρῆνον.

161. παῖδες μὲν πατέρ' ἀμφί] οἶκτον ἔχει τὸ τοὺς παῖδας κλαίοντας κλαίοντι παρακαθῆσθαι τῷ γέροντι.

163. ἐντυπὰς ἐν χλαίνῃ] ἐντυπωδῶς, ὡς διὰ τῆς σκέπης ὁρᾶσθαι τὸν τύπον. ἔστι δὲ ποιότητος ἐπίρρημα. ὑπερβολὴν δὲ πένθους ἀξίαν οὐχ εὑρίσκων αὐτῷ περιθεῖναι ἐκάλυψεν αὐτόν, ὑπονοεῖν ἡμῖν καταλιμπάνων οἷον ἄρα ἦν αὐτῷ τὸ πένθος.

164. *κόπρος σημαίνει τρία, τὴν τῶν κήπων, ὡς καὶ ἡμεῖς "δμῶες ἀνάγκῃ τέμενος μέγα κοπρίσσαντο" (Od. 17, 299)· καὶ τὴν τῶν βοῶν στάσιν, ὡς τὸ "μυκηθμῷ δ' ἀπὸ κόπρου ἐπεσσεύοντο νομόνδε" (Il. 18, 575)· καὶ τὴν κόνιν, ὡς ἐνταῦθα καὶ ὡς τὸ "ὑπὸ δὲ στέρνοισι κονίη ἵστατ' ἀειρομένη" (Il. 23, 365).

τοῖο γέροντος] τούτου τοῦ γέροντος. οἱ δὲ θαυμαστικῶς τὸ τοῖο.

165. καταμήσατο] ἀθρόως ἐπεσπάσατο, ὡς τὸ "ἄφαρ δ' εὐνὴν ἐπαμήσατο" (Od. 5, 482).

168. κέατο] τινὲς δὲ ἀντὶ τοῦ κεκαμένοι ἦσαν.

170. τυτθὸν φθεγξαμένη] πρὸς τὸ μὴ ἐκπλῆξαι τὸν γέροντα. ὁ δὲ ὅμως οὐδὲ τοῦτο ὑποφέρει· προπεπονθυῖα γὰρ ἡ ψυχὴ πᾶν τὸ μέλλον τοῦ παρόντος χεῖρον λογίζεται.

172. ὀσσομένη] προορωμένη. οἱ δὲ προαγγέλλουσα.

173. ἀγαθὰ φρονέουσα] φρονῆσαί σε ποιοῦσα ἀγαθά.

19. τὴν τῶν κήπων Hauptius in Prooemio Lection. aestiv. Berol. a. 1861 p. 3 collato Apollonii Lexico s. v. κόπρος p. 102] τὸν κῆπον

27. κεκαμένοι] κεκακωμένοι Townl. κεκαυμένοι Lobeck. Rhemat. p. 15. κεκασμένοι Bekkerus.

παρὰ Διὸς ἥκω σοι ἄγγελος.

190. ὁπλίσαι] ἀντὶ τοῦ εὐτρεπίσαι, παρὰ τὰ ὅπλα, ὡς τὸ ἐντῦναι παρὰ τὰ ἔντεα.

πείρινθα] τὸ τετράγωνον πλινθίον τὸ ἄνωθεν περιδούμενον ταῖς ἁμάξαις. ἐκ ῥιπῶν δέ φασιν αὐτὸ πλέκεσθαι, ὥστε εἶναι ῥίπινθα, τὰ ἐκ ῥιπῶν πλακέντα· ῥίπα δὲ λέγονται τὰ τῆς οἰσύας πλέγματα. ὁ δὲ Ξενοφῶν κάνναθρον αὐτό φησι· κάννη γὰρ ἡ ψίαθος, ἵν' ᾖ πλέγμα ψιαθῶδες, συνέχειν τὸν φόρτον δυνάμενον.

191. κηώεντα] τὸν εἰς τὸ κοιμᾶσθαι ἐπιτήδειον. ἔνιοι δὲ τὸν εὐώδη.

192. γλήνεα] χρήματα κατὰ Ἠλείους· οἱ δὲ ἀξιοθέατα πράγματα. κυρίως δὲ γλήνεα τὰ κοροκόσμια λέγονται. τὸ ἑξῆς ἐπεκαλέσατο.

197. τί τοι φρεσὶν εἴδεται εἶναι] ἀνθρώπινον τὸ ἀνατίθεσθαι τὸ πρᾶγμα γυναικὶ κοινωνῷ τῶν παθημάτων. καὶ κέκρικε μὲν, ἐρωτᾷ δὲ εἰ σύμψηφος ἔσται αὐτῷ. ὅτι γὰρ ἤθελε δῆλον· οὐ γὰρ πρὶν καταβῆναι ἐρωτᾷ, ἀλλ' ἐπὶ τοῖς δεδογμένοις ἀναφέρει τὴν γνώμην.

202. ἔκλε'] ἔκλεο κατὰ συγκοπὴν, ἀντὶ τοῦ ἐδεδόξασο.

206. ἀντιστρόφως. εἰ γάρ σ' ἐσόψεται καὶ αἱρήσει, ἀντὶ τοῦ, εἰ μόνον θεάσεται, εὐθὺς ἀναιρήσει.

207. ὠμηστής] ὠμὸς καὶ ἄγριος καὶ αἱμοπότης.

208. οὐχ ὡς ἱκέτην σε δέξεται καὶ ἐλεήσει.

209. εἰ τῆς σωτηρίας τοῦ γέροντος προνοουμένη μόνον ἐφαίνετο, ἀπρεπὴς ἦν παντελῶς ὁ λόγος, ὅτι καταφρονεῖ υἱοῦ τοιούτου ὑπὲρ ἀσφαλείας πρεσβύτου δυστυχοῦς. νῦν δὲ ὡς ἀδυνατοῦσα κομίσασθαι τὸν υἱὸν, οὐ βούλεται προσαποβαλέσθαι καὶ Πρίαμον.

212. δαιμονίως τῇ ἐμφάσει χρῆται· θανάσιμον γὰρ τὸ τοῦ ἥπατος πάθος· καὶ μέσον, οὗ ἡ χολὴ καὶ πολὺ τὸ ἐσθιόμενον. καὶ ἐν παρατάσει τὸ ἐσθίειν. τό τε ἐμφῦσα ἐμφαντικώτατον· οὐ γὰρ λαβοῦσα τῇ χειρὶ, ἀλλ' αὐτῷ προσφῦσα τῷ ἥπατι τὸ στόμα, ὡς ἐπὶ σαρκοφάγου θηρίου. εἴγε δὲ μὴ προειλήφειμεν τὸ περὶ αὐτὴν πάθος, δυσπαράδεκτον ἦν τὸ μέγεθος τῆς ὑπερβολῆς. οἰκεῖα δὲ ταῦτα μητρὶ καὶ πρεσβύτιδι ὑπὲρ τέκνου οὐκ ἀναιρεθέντος μόνον, ἀλλὰ καὶ αἰκιζομένου ἀτάφου.

213. ἄντιτα] τὸ τέλειον ἀντίτιτα, ἵν' ᾖ ἀντιτιμώρητα. συγκέ-

31. εἴγε δὲ μὴ] ἄλλως. μέσον ἧπαρ: εἴγε μὴ Townl. novi scholii initium.

κοπται δὲ ἡ τι συλλαβή. λείπει δ᾽ ὁ ἄν. οὐκ ἀξιόχρεων δὲ ἡγεῖται τὸν θάνατον τοῦ πολεμίου, εἰ μὴ καὶ τῶν σαρκῶν αὐτοῦ ἐμφάγοι.

214. ἐπεὶ οὐχ ὁ τυχὼν ἦν οὐδὲ γύννις. τοιοῦτο δὲ καὶ τὸ "ἀνδρὶ πάρα κρατερῷ" ὡς πρὸς σύστασιν Ἕκτορος. αὔξεται δὲ τὸ πάθος ἐπὶ τῷ ἀναξίως ὑβριζομένῳ.

* τὸ κακιζόμενον ἀντὶ τοῦ ὡς δειλὸν καὶ ἄνανδρον.

215. πρό] δίχα τοῦ σ ὡς τὸ "οἷον προστήσας πρὸ Ἀχαιῶν Τρωσὶ μάχεσθαι" (Il. 4, 156).

οὔτι φόβου μεμνημένον] φιλοστόργως ταῦτα, ἐπεί τοι φεύγοντα ἀνεῖλεν.

219. οὐδέ] ἀντὶ τοῦ οὐ γάρ.

220. ἄλλος] ἄλλος, καὶ μὴ θεός.

221. ἱερῆες οἱ διὰ τῶν σπλάγχνων μαντευόμενοι. τὰ μὲν γὰρ θυμιάματα θύη καλεῖται, τὰ δὲ σπλάγχνα ἱερά. θυοσκόοι δὲ οἱ ἐμπυρόσκοποι· καλοῦσι δὲ αὐτοὺς λιβανομάντεις.

222. ἢ παρέλκει τὸ μᾶλλον, ἢ μᾶλλον τοῦ ποιεῖν ἐχωριζόμεθα καὶ τοῦ βαδίζειν ἐπὶ τὰς ναῦς.

226. τῆς τῶν ἀκουόντων διανοίας ἥψατο ταῦτα λέγων.

227. ἐπὰν γόου ἐξ ἔρον εἵην] ἐπὰν κορεσθείην τῆς τοῦ ἐπ᾽ αὐτῷ θρήνου ἐπιθυμίας.

228. φωριαμῶν] ἔχουσι γὰρ ἃ φοροῦμεν· λέγει δὲ τὰ κιβώτια. ἐπιθήματα δὲ τὰ πώματα καὶ καλύμματα.

229. πέπλος, φᾶρος, χλαῖνα, χιτών· ὅτι διάφορα ταῦτα νῦν ἐδήλωσεν. πέπλοι γὰρ ἃ περιεβάλλοντο μόναι γυναῖκες, καὶ "ἑανῷ λιτὶ κάλυψαν" (Il. 18, 352) ἤτοι πέπλῳ. χιτὼν δὲ ἀνδρῷον ἔνδυμα, φᾶρος ἱμάτιον ἀνδρῶν καὶ γυναικῶν, χλαῖνα τὸ περίβλημα τῆς κλίνης.

235. ἐξεσίην] ἐπὶ δημοσίαν ἔκπεμψιν. δασύνεται δὲ ἡ δευτέρα συλλαβή, παρὰ τὸν ἥσω μέλλοντα ἑσία καὶ ἐξεσία.

238. αἰθούσης] αἱ πρόστῳοι, παρὰ τὸ ὑπὸ τοῦ ἡλίου καταίθεσθαι.

αἰσχροῖσιν] κακοῖς. καὶ "αἴσχιστος δὲ ἀνήρ" (Il. 2, 216) ἀντὶ τοῦ κάκιστος.

239. λωβητῆρες] ψεῦσται· "οὔτι σε λωβεύω τέκνον" (Od. 23, 26). οἱ δὲ ἐπονείδιστοι.

οὔ νυ καὶ ὑμῖν] ὡς οὐκ ἔχοντες, φησί, πένθος ἐμὲ παραμυθεῖθε. ἐμοί, φησί, συμπαθήσοντες ἥκετε, οὐχὶ δὲ ἕκαστος ἴδιον ὁρίζετε

πένθος τὸν θάνατον Ἕκτορος. βούλεται δὲ λέγειν ὅτι δεῖ ἕκαστον οἴκοι μένοντα πενθεῖν τὸν Ἕκτορα.

241. ὀνόσασθ'] ἐκφαυλίζετέ με ὡς μόνον δεινῶς πάσχοντα, καὶ δοκεῖτε αὐτοὶ οὐδὲν ἔχειν, οὐδὲ κοινὸν τὸ κακὸν εἶναι λογίζεσθε.

242. ἀτὰρ γνώσεσθε] μαθήσεσθε πάσχοντες κακῶς ὅτι Ἕκτωρ ἀπώλετο.

243. ῥηΐτεροι γὰρ μᾶλλον] καὶ πρὶν μὲν ῥᾴδιοι τοῖς Ἕλλησιν ἦτε, εἰ μὴ Ἕκτωρ ἠρίστευε· νῦν δὲ ῥᾳδιώτεροι γενήσεσθε, ἤτοι εὐκόλως τῇ καθ' ὑμῶν χρήσονται μάχῃ.

247. σκηπανίῳ] ῥάβδῳ, σκήπτρῳ. δίεπε δὲ ἀνέρας ἀντὶ τοῦ διὰ τῶν ἀνδρῶν ᾔει. οἱ δὲ, διεῖργε καὶ διίστα τοὺς ἄνδρας. καὶ ἤπιος μὲν αἰεί ἐστιν, νῦν δὲ ἡ λύπη Ἕκτορος καὶ τὸ πένθος δύσκολον αὐτὸν ἐποίησεν ἀπειρηκότα τοῦ ζῆν.

248. σπερχομένοιο] ἐπειγομένου τοῦ διώκειν, ἢ σπέρχοντος. τοῦτο δὲ πρὸς τὸ ἀπειθὲς τῶν ὠστιζομένων τῶν βασιλείων οἰκημάτων.

249. οἰκεῖον μὲν τῷ πάθει τὸ δυσχεραίνειν πρὸς πάντας· λεληθότως δὲ Ὅμηρος κατάλογον ποιεῖται τῶν ἔτι τῷ Πριάμῳ ὑπολειφθέντων παίδων.

253. σπεύσατε] πᾶν γὰρ αὐτῷ βραδὺ φαίνεται πρὸς τὰ λύτρα, κἂν καὶ ταχὺ ᾖ. παροξυτόνως δὲ τὸ κατηφόνες, ὡς τὸ κηληδόνες σειρηδόνες. εἰς μαλακίαν δὲ αὐτοὺς ἐπισκώπτει ὡς στυγνίας αἰτίους. γίνεται δὲ κατηφών ἀπὸ τοῦ κατηφῶ ὁ κάτω ἔχων τὰ φάη δι' αἰσχύνην ἢ ὀνειδισμὸν ἢ λύπην.

255. ὤ μοι ἐγώ] ἠθικὴ ἡ μεταξὺ ἀναφώνησις. ὀργιζόμενος δὲ τοῖς λελειμμένοις ἀφορμὴν ἔσχεν ὀδύρεσθαι τοὺς τετελευτηκότας. ἐλεεινὸν δὲ καὶ τὸ ἐπεὶ τέκον. οὐ δεινὸν οὖν τὸ μὴ γεννῆσαι ὡς τὸ γεννηθέντας ἀπολέσαι. πάντα δὲ κινητικά· στενάζει, προστάσσει, λοιδορεῖ.

258. Ἕκτορά θ', ὃς θεὸς ἔσκε μετ' ἀνδράσιν] οὐ μόνον δι' ἀρετὴν ἐξαίρετος ὁ τοῦ Ἕκτορος ἔπαινος, ἀλλὰ καὶ διὰ τὸ πρόσφατον τῆς συμφορᾶς. ἠθικῶς δὲ Πρίαμος κρείττονά φησι τὸν παῖδα τοῦ δοκεῖν ἐξ ἑαυτοῦ γεγεννῆσθαι.

262. ἐπιδήμιοι ἁρπακτῆρες] ἐν τῷ ἰδίῳ δήμῳ πρὸς τὸ ἀδικεῖν γενναῖοι. ἔνθεν τὸ (Aristoph. Pac. 1189) "οἴκοι μὲν λέοντες, ἐν μάχῃ δ' ἀλώπεκες."

26. ἐπεὶ τέκον Bekk.] ἐπὶ τέκνων   30. *πρόσφατον] πρόσφορον

265. οἱ δ' ἄρα] δεόντως σιωπῶσιν. οὐδὲ γὰρ ἀντιλέγειν ἔδει πατρὶ πενθοῦντι.

266. ἐκ μέν] ἔξω μέν. πρᾶγμα δὲ βιωτικὸν ἐκόσμησε ποιητικῶν λέξεων ποικιλίᾳ.

267. πρωτοπαγῆ] πρώτως παγεῖσαν, ὅ ἐστιν ἐξόχως· ἢ πρῶτον πεπηγυῖαν, ὅ ἐστι καινήν. ἔστι γὰρ τὸ μὲν τάξεως, τὸ δὲ ποιότητος.

269. ὀμφαλόεν] ὑπεροχὰς ἔχον ἐν μέσῳ τινὰς, αἷς περιειλοῦνται οἱ ἱμάντες. οἱ δὲ, ἕνα μέσον ἔχοντες ὀμφαλὸν, ᾧ προσδεῖται ὁ ῥυμός.

οἰήκεσσι] κρίκοις, δι' ὧν ἐνειρόμεναι αἱ ἡνίαι τοὺς ἵππους οἰακίζουσιν. ἡ γὰρ ἡνία τρόπον τινὰ οἴηξ ἐστὶ τοῦ ἅρματος.

270. ζυγόδεσμον] ἱμάντα ἢ σχοῖνον, ὃ δεσμεῖ τὸν ζυγόν.

271. τὸ μέν] τὸ ζυγόδεσμον.

272. πέζῃ] πᾶν τὸ ἄκρον πέζα καλεῖται. ἔχει δὲ ὁ ῥυμὸς πέζας δύο, τὴν πρὸς γῆν καὶ τὴν πρὸς τὸ ζυγόν. τὴν οὖν πρὸς τὸ ζυγὸν πρώτην λέγει.

ἕστορι] τῷ κατὰ τὸ ἄκρον τοῦ ῥυμοῦ ἐμπεπηγότι πασσαλίσκῳ, περὶ ὃν ὁ κρίκος ἐμβαλλόμενος τῷ ζυγῷ ἐντίθεται. δασύνεται δὲ τὸ ἕστορι ἀπὸ τῆς ἕσεως.

273. ἑκάτερθεν ἔδησαν] ἑκατέρωθεν ἔδησαν, ἀμφαλλάσσοντες τὸν ἐν μέσῳ τοῦ ζυγοῦ ὀμφαλὸν, ἵνα μὴ ἑτεροκλινήσῃ.

274. ὑπὸ γλωχῖνα] ὑπὸ τὴν γωνίαν τὴν γεγονυῖαν ἐκ τοῦ ῥυμοῦ καὶ τοῦ ζυγοῦ· ὅταν γὰρ συνδεθῇ τῷ ῥυμῷ ὁ ζυγὸς, ἀποτελοῦνταί τινες γωνίαι. δηλοῖ δὲ καὶ τὴν γλωσσίδα. ἔγναμψαν δὲ ἀπετερμάτισαν, ἵνα μὴ κρέμηται ὁ ἱμάς.

277. οὐ τοὺς μετὰ κανθηλίων νωτοφοροῦντας, ἀλλὰ τοὺς ἅρματα ἕλκοντας. καὶ Πίνδαρος τὰ ἅρματα ἔντεά φησιν· "ἱππείοις ἔντεσι μεταΐσσων" (Ol. 13, 28). ἢ τοὺς ἑτοίμους πρὸς τὰ ἔργα.

281, 282. ζευγνύσθην] ζευγνύναι προσέτασσον. τούτοις γὰρ διὰ τῶν Πριαμιδῶν τὸ ζεῦγμα παρεσκευάζετο. καὶ οἰκοδομεῖ μὲν ὁ ἐργάτης, οἰκοδομεῖται δὲ ὁ χορηγός. καὶ γλύφει μὲν ὁ γλυφεὺς, γλύφεται δὲ ὁ δεσπότης, ζεύγνυσιν ὁ ὑπηρετῶν, ζεύγνυται δὲ ὁ προστάσσων.

283. τετιηότι] περιλύπῳ.

5. Hoc scholion ultimum est folii 327 a, numero notatum κζ, idemque in initio folii 327 b legitur cum numero α'.

285. λείψαντε] συλληπτικῶς· μόνος γὰρ σπένδει ὁ Πρίαμος.

292. αἴτει δ' οἰωνόν] γυναικεῖον ἦθος τὸ ἐπὶ μαντείας καταφεύγειν, εἴ τί που περίφοβον σχοῖεν.

293. φασὶν ἐπὶ τὴν βασιλείαν ὁρμῶντι αὐτῷ αἰετὸν φανῆναι σύμβολον τῆς εὐτυχίας καὶ τοῦ κράτους, ἔνθεν αὐτὸν τῶν ἄλλων μᾶλλον ἐφίλει.

297. οὐκ ἂν—κελοίμην] ἐξ ἀντικειμένου φησὶν ὅτι κωλύσω σε.

300. πείθεται Πρίαμος οὐκ ἀπιστῶν Ἴριδι, ἀλλὰ τὴν γυναῖκα θαρσοποιῶν.

303. ἀκήρατον] καθαρὸν, ἀθόλωτον, ἀμίαντον.

304. χέρνιβον] οὐχ ὥς τινες τὸ ἀγγεῖον· ἐπιφέρει γὰρ πρόχοόν θ' ἅμα. ἀεὶ δὲ παρὰ τῷ ποιητῇ τὸ ὕδωρ δηλοῖ.

306. μέσῳ ἕρκεϊ] ἐν τῷ μέσῳ τῆς αὐλῆς, ὅπου καὶ βωμὸς τοῦ ἑρκείου Διὸς ἦν, πρὸς ὃν μετὰ τὴν ἅλωσιν φυγὼν ἀπέσφακται.

309. ἐς Ἀχιλλῆος] ἀντὶ τοῦ πρὸς Ἀχιλλέα.

φίλον ἐλθεῖν] ὡς μὴ ἐχθρὸς προσδεχθείην· ἐλεεινὸν δὲ ἐλέου ἄξιον. καὶ ὡς ἐχθρὸς μὲν τῆς ἔχθρας αἰτεῖται λύσιν, ὡς δὲ δυστυχὴς ἐλέου τυχεῖν.

315. τελειότατον] ἐπιτελεστικὸν εἰς ὃ ἂν ὀφθείη. ἢ τὸν ἀξιώματι ὑπερέχοντα, ὡς λέων τελειότατος θηρῶν, τουτέστι κυριώτατος καὶ βασιλικώτατος.

πιθανῶς οὐδὲν ἔχει ὁ ἀετὸς, ὅπως σημαίνῃ Πριάμῳ ὅτι οὐ μὴ συλληφθῇ ὑπὸ τῶν φυλάκων. μέλας δὲ ὢν τῆς εἰσόδου ἐδήλου τὸ λαθρίδιον, ὁ δὲ θηρητὴρ τὸ ἐπιτευκτικόν. οὐδὲν δὲ κτείνων οὐδὲ ἁρπάζων φαίνεται, ἀλλ' ἥμερος, τοιοῦτον δηλῶν ἔσεσθαι Ἀχιλλέα.

*Πορφυρίου. ἐζητήθη ποίου μέμνηται ἐνταῦθα Ὅμηρος αἰετοῦ, τοῦ πυγάργου ἢ τοῦ ἀφροδισίου ἢ πελλοῦ, περὶ ὧν φησὶν ἐν τῇ Ἰλιάδι Κ (274). καὶ πάλιν, "αἰετοῦ οἴματ' ἔχων μέλανος τοῦ θηρητῆρος," περὶ οὗ φησὶν ἐν τῇ Ἰλιάδι Φ (252). ἔστι δὲ ὁ αὐτὸς καλούμενος μόρφνος ὀνόματι, καὶ μέλας δὲ ὢν, περὶ οὗ φησὶν Ἀριστοτέλης· ἕτερος δὲ μέλας χρόαν καὶ μέγεθος ἐλάχιστος καὶ κράτιστος· οἰκεῖ δ' ὄρη καὶ ὕλας, καλεῖται δὲ μελαναίετος καὶ λαγωσφόνος, ἔστι δὲ ὠκυβόλος. ἐπεὶ τοίνυν κοινῶς αἰετὸν ἔφη, προσέθηκε μέλανος, εἶτα ἐπικυρῶν τοῦ θηρητῆρος. οἱ δὲ κατε-

6. μᾶλλον addidit Bekkerus. 26. *Πορφυρίου] om.

ψεύσαντο τοῦ ποιητοῦ ὡς μελανόστου ὑφ' ἓν ὡς Ὀρέστου εἰρηκότος διὰ τὸ καὶ Δημόκριτον ἱστορεῖν ἐπὶ τοῦ ἀετοῦ τὰ ὀστᾶ μέλανα εἶναι, καταψευδόμενοι τῆς ἀληθείας· ὀστοῦν γὰρ μέλαν οὐδενὸς ζῴου εὑρίσκεται· οὐδ' ἂν εἶπεν ὁ ποιητὴς ὀστοῦν, εἰωθὼς ὀστέον λέγειν τρισυλλάβως. ἀλλ' οὗτός ἐστιν ὁ μέλας, ὁ θηρητὴρ, ὃν Ἀριστοτέλης μὲν κράτιστον ἔφη, Ὅμηρος δὲ "ὅς θ' ἅμα κάρτιστός τε καὶ ὤκιστος πετεηνῶν." εἴωθε δὲ καὶ ὁ Ἀρχίλοχος μελάμπυγον τοῦτον καλεῖν· "ἤ τευ μελαμπύγου τύχῃς." ἄλλος γὰρ ὁ πύγαργος, ἄλλος δὲ ὁ μέλας ὅλος. διὰ τοῦτο καὶ μελάμπυγον. ἀλλ' οὐκ ἐπὶ τούτους ἀναφέρων θιάσους κατωμαδὸν πρὸς Ἡρακλέους φερομένους τὰς ὑπὸ τὰ ἰσχία αὐτοῦ καταμαθεῖν πυγὰς, καὶ γελάσαντας οὕτω τυχεῖν σωτηρίας, ἀλλὰ πρὸς τὸν πύγαργον ἀετὸν συγκρίνων καρτερὸν εἶπε τὸν μελάμπυγα. διὸ οὔτε τὸ μέλανος τῷ τοῦ συναπτέον, οὔτε τὸ μελανόσσου γραπτέον, οἷον μελανοφθάλμου· μελαναίετος γὰρ ὡς ὅλος μέλας· οὔτε, ὥς φησιν Ἀρίσταρχος, ἐγκλίνοντες ἂν προφεροίμεθα μέλανός του· ἐπιτηδεύων γὰρ εἶπε τοῦ θηρητῆρος, ἐπεὶ ὁ μέλας τοιοῦτος. ἀλλὰ τὸ ἄρθρον λυπεῖ προσκείμενον. λυπείτω οὖν καὶ ἐπὶ τῷ Τελαμωνιάδῃ καὶ Ἀσκληπιάδῃ καὶ "οὕνεκα τὸν Χρύσην ἠτίμασεν" (Il. 1, 11). ἀπὸ δὲ τούτου ὅτι τὸν αὐτὸν μόρφνον καὶ περκνόν καλεῖ, συναγάγοι ἄν τις ἐκ τοῦ κἀκεῖνον θηρητῆρα εἰπεῖν, μόρφνον θηρητῆρα, εἰ μὴ ἄρα ἄλλος μὲν ὁ περκνὸς, ὃς καὶ θηρητὴρ κοινῶς εἴρηται, ἄλλος δὲ ὁ μέλας, ὃς καὶ θηρητὴρ ἰδίως καλεῖται.

316. μόρφνον] ἀπὸ τοῦ μεμοιρῆσθαι περὶ τὸν φόνον, ἢ μόρον ἐπάγειν. οἱ δὲ εὔμορφον, οἱ δὲ μάρπτοντα. περκνὸν δὲ μέλανα· ἐξ οὗ καὶ βότρυς περκάζων, οἱονεὶ περκνάζων καὶ μελαινόμενος.

317. θύρη θαλάμοιο] τῶν γὰρ τοιούτων καὶ μέγισται αἱ θύραι, μάλιστα φιλοτιμουμένου τοῦ κατασκευάζοντος.

319. πτερά] καταχρηστικῶς αἱ πτέρυγες. κυρίως δὲ πτερὰ τὰ πτίλα. εἴσατο] ἀντὶ τοῦ ἐφάνη.

323. προθύροιο] τὰ τῆς αὐλῆς τειχία. Κύπριοι δὲ παστάδα ἀμφίθυρον.

334. Ἑρμεία, σοὶ γάρ] ἀπήλλαξεν ὁ ποιητὴς ζητήσεως ἡμᾶς, προσθεὶς τὴν αἰτίαν διὰ τί νῦν τῷ Ἑρμῇ χρῆται διακόνῳ καὶ οὐ τῇ

1. Prius ὡς addidit Bekk.

11. πυγὰς καὶ Vill.] πυλι . . . . καὶ B et Mosq.

13. μέλανος τῷ τοῦ scripsi pro μελανοστῷ

25. περκνάζων Vill.] πρεκνάζων. Alii περκάζων

Ἴριδι. οὐ παραγγελίας μόνης ἔδει ψιλῆς, ὅπου γε οὐδ' ἐκ τοῦ προφανοῦς ἑαυτὸν ὁμολογεῖ Πριάμῳ, ἀλλ' ἐπὶ τῷ φιλοποιῆσαι αὐτὸν Ἀχιλλεῖ καὶ κλέψαι τὴν πορείαν.

335. ἑταιρίσσαι] συνεργῆσαι. καὶ ἑταιρὶς ἡ συμπαραγινομένη ἄλλοτε ἄλλῳ εἰς μῖξιν. ἢ φιλοποιήσασθαι· πρὸς γὰρ τὸ φίλον αὐτὸν Ἀχιλλεῖ ποιῆσαι πέμπεται.

337. ὅτι ἴδῃ καὶ νοήσῃ ἐκ παραλλήλου ταυτόν ἐστιν.

338. Πηλείωνάδε] ἀντὶ τοῦ πρὸς Πηλείωνα ἢ ἐπὶ Πηλείωνα.

343. τῇ τ' ἀνδρῶν ὄμματα] ὕπνου γὰρ καὶ ἐγέρσεως δεσπόζει· ὁ γὰρ λόγος κηλεῖ τε καὶ ἀναπτεροῖ ἀπὸ τῆς εὐαρμοστίας.

347. οἱ μὲν ὄνομα ἡλικίας· οἱ δὲ ἐρρωμένῳ, παρὰ τὸ σεύεσθαι εὖ· οἱ δὲ εὐδαίμονι· οἱ δὲ δικαίῳ, παρὰ τὴν αἶσαν· οἱ δὲ εὐμοίρῳ καὶ σεμνῷ, ἵνα ἐκπλήξῃ Πρίαμον· οἱ δὲ κοσμίῳ, πρὸς τὸ μὴ δέξασθαι παρὰ Πριάμου δῶρα. Ἀρίσταρχος δὲ αἰσυμνητῆρι, ὅ ἐστι βασιλεῖ, οἱονεὶ αἰσιονομητῆρι· οἱ γὰρ βασιλεῖς τὰ αἴσια νέμουσι. κούρῳ δὲ, ὅπως αἰδεσθῇ τὸ γῆρας Πριάμου.

348. πρῶτον ὑπηνήτῃ] μεθόριον ἡλικίας ἀνδρὸς καὶ παιδὸς, ἁβρότερον μὲν ἢ κατ' ἄνδρα, γενναιότερον δὲ ἢ κατὰ παῖδα. περὶ τοὺς τοιούτους δὲ ἦν καὶ ὁ Σωκρατικὸς ἔρως. καὶ μύσταξ μὲν αἱ ἐπὶ τοῦ ἄνω χείλους τρίχες, τοῦ δὲ κάτω πάππος, αἱ δὲ ἐξ ἀμφοῖν ὑπήνη, ἔνθεν καὶ ὑπηνήτης.

350. ὄφρα πίοιεν] διὰ γὰρ τὸ πένθος τοῖς κτήνεσιν οἴκοι ποτὸν οὐκ ἔδοσαν.

351. ἡ ἐν ἀντὶ τῆς παρά.

352. ἐφράσσατο] ἐν φρεσὶν εἶδε, συνεῖδε, διέγνω. Πρίαμος δὲ ὅλος ἐστὶ περὶ τὸ πῶς παρακαλέσει Ἀχιλλέα· διὸ οὐχ ὁρᾷ. ὁ δὲ κῆρυξ μᾶλλον τῆς τοῦ νεκροῦ λυτρώσεως ἢ τῆς ἰδίας σωτηρίας ἐφρόντιζε. διὸ καὶ φεύγειν συμβουλεύει.

354. φραδέος] συνετοῦ· ὅθεν καὶ ἀφραδέες οἱ ἀσύνετοι.

355. διαρραίσεσθαι] διαφθαρήσεσθαι. ἴδιον δὲ βαρβάρων τὸ αἰεὶ τὰ χείρω προσδοκᾶν.

356. φεύγωμεν ἐφ' ἵππων] καταλείψαντες αὐτῷ δηλονότι τὰ τῆς ἀπήνης, ἵν' ἀσχοληθῇ περὶ αὐτά.

358. ὣς φάτο· σὺν δὲ γέροντι] ἄκρως μεμέρισται ὁ λόγος, περὶ

10. κηλεῖ Cobetus] καλεῖ

12. εὐμοίρῳ] εὐμήρῳ B. Correxi ex Eust. p. 1353, 54.

μὲν τοῦ φεύγειν καὶ τοῦ δεῖν ἱκετεύειν τῷ ταπεινοτέρῳ προσώπῳ, τῷ δὲ Πριάμῳ συγχυθῆναι μὲν τὸν νοῦν καὶ ὀρθὰς αὐτῷ τὰς τρίχας στῆναι, οὐ μέντοι ἀγενές τι πεποιηκέναι.

360. ταφών] στῆ δὲ μὴ δυνάμενος φωνῆσαι τῇ ἐκπλήξει.

365. ἀνάρσιοι] ἐναντίοι, ἀνάρμοστοι τὴν γνώμην, ἐχθροί.

366. *θοὴν διὰ νύκτα] ἡ θοὴ νὺξ οὐκ ἄλλο τι σημαίνει πλὴν τὸ σφαιροειδὲς ὅλου τοῦ πόλου σχῆμα· τὸν γὰρ αὐτὸν ἡλίῳ δρόμον ἡ νὺξ ἀνύει, καὶ πᾶς ὁ καταλειφθεὶς ὑπ' ἐκείνου τόπος εὐθὺς ὑπὸ ταύτης ἐκμελαίνεται. σαφῶς γοῦν ἑτέρωθί που τοῦτο μηνύων φησὶν "ἐν δὲ πέσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο, ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν" (Il. 8, 485)· ὥσπερ γὰρ ἀπηρτημένην ἑαυτοῦ τὴν νύκτα κατόπιν ἐφέλκεται, σύγχρονον οὖσαν τοῖς ἡλίου τάχεσιν. εἰκότως οὖν αὐτὴν Ὅμηρος εἴρηκε θοήν. δύναταί γε μὴν πιθανώτερόν τις ἐπιχειρῶν θοὴν ὀνομάζειν μεταληπτικῶς οὐ τὴν κατὰ κίνησιν ὀξεῖαν, ἀλλὰ τὴν κατὰ σχῆμα. καὶ γὰρ ἑτέρωθί πού φησιν "ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκα θοῇσιν" (Od. 15, 299)· οὐ τὸ τάχος τῶν ἐρριζωμένων νήσων (ἠλίθιον γὰρ) δηλῶσαι ἐσπούδακεν, ἀλλὰ τὸ σχῆμα πρὸς ὀξεῖαν ἀπολήγουσαν ἀποτελεῖν γραμμήν. εἰκότως οὖν νύκτα θοὴν λέγεσθαι τὴν ἐπ' ὀξὺ τέλος τῆς ἐσχάτης σκιᾶς ἀποτερματίζουσαν. φυσικῶς δὲ περὶ τούτων ὁ λόγος ἀποδείκνυσιν ὅτι σφαιροειδής ἐστιν ὁ κόσμος. τριχῆ γὰρ οἱ μαθηματικοὶ τὰ σχήματα τῶν σκιῶν φασὶν ἀποπίπτειν. ἐπειδὰν γὰρ ἔλαττόν ἐστι τὸ περιλάμπον τοῦ καταλαμπομένου, τὴν σκιὰν συμβέβηκε καλαθοειδῶς ὑπὸ τὴν ὑστάτην πλατύνεσθαι βάσιν, ἀπὸ λεπτῆς ἀνισταμένην τῆς κατὰ κορυφὴν ἀρχῆς εἰς λεπτὸν ἀποστενοῦσθαι πέρας. ἐπειδάν γε μὴν ἴσον ᾖ τῷ καταλαμπομένῳ τὸ καταλάμπον, κυλίνδρου δίκην ἡ σκιὰ πρὸς ἴσον ἐν ταῖς ἑκατέρωθεν ἔχει γραμμαῖς. βουλόμενος οὖν Ὅμηρος τὸν ἥλιον ἄλλως μείζονα τῆς γῆς κατὰ τὴν τῶν πλείστων φιλοσόφων ἔννοιαν ἀποδεῖξαι, εὐλόγως θοὴν τὴν νύκτα προσηγόρευσεν, εἰς ὀξὺ τὸ πρὸς τῷ πέρατι σχῆμα λήγουσαν, ἅτε οἶμαι μήτε κυλινδροειδῶς μήτε καλαθοειδῶς τῆς σκιᾶς πίπτειν δυναμένης, ἀλλὰ τὸν λεγόμενον κῶνον ἀποτελούσης. ὃ δὴ πρῶτος Ὅμηρος ἐκ μιᾶς

6. Scholion hoc longa appendice auctum legitur etiam ad 18, 468, cum aliqua scripturae diversitate.

17. ἠλίθιον—δηλῶσαι e loco superiore] ἠλιθίως—δηλώσειν

20. τούτων ὁ λόγος] τοῦ ὁ λ°ι, quod pro τοῦ ὅλου accepit Vill.

λέξεως ὑπαινιξάμενος τὰς μυρίας τῶν φιλοσόφων ἁμίλλας ἐπιτέτμηται. καὶ μὴν αἱ φοραὶ τῶν ἐναντίων ἀνέμων δηλοῦσι τὸ τοῦ κόσμου σφαιροειδές. Βορέας μὲν γὰρ ἀπὸ τῆς ἄρκτου πνέων μετέωρος "μέγα κῦμα κυλίνδει" (Od. 5, 296)· τὴν γὰρ ἀπὸ τοῦ μεταρσίου φορὰν ἐπὶ τὸ ταπεινότερον ἐκ μιᾶς λέξεως κατεκύλισεν ὁ στίχος. τοὔμπαλιν δὲ ἐπὶ τοῦ νότου, πνέοντος ἀπὸ τῶν κάτω τόπων, ἱστόρηκεν· "ἔνθα νότος μέγα κῦμα ποτὶ σκαιὸν ῥίον ὠθεῖ" (Od. 3, 295), τὴν ἀπὸ τοῦ ταπεινοτέρου κίνησιν εἰς τὸ μετέωρον ἀνακυκλοῖ.

367. ὀνείατ'] χρήματα, παρὰ τὴν ὄνησιν. δηλοῖ δὲ ἀλλαχόθι καὶ τὰ βρώματα.

τίς ἂν δή τοι νόος εἴη] τίνα ἕξεις νοῦν; τί διανοήσῃ; τί ἐργάσῃ;

371. φίλῳ δέ σε πατρὶ ἐΐσκω] διδάσκει φιλοπάτορας εἶναι καὶ τοὺς ἡλικιώτας τῶν πατέρων σώζειν. καὶ "μνῆσαι πατρὸς σεῖο" (486).

373. οὕτως, ὦ τέκνον, ἐπικίνδυνός ἐστιν ἡ πορεία. ἑωρακὼς δὲ φιλοπάτορα, καὶ τέκνον ὀνομάζει.

376, 377. ἐντεῦθεν οἱ ἀπὸ τοῦ περιπάτου τὴν τριάδα τῶν ἀγαθῶν εἰλήφεισαν· τὸ γὰρ δέμας καὶ εἶδος τῶν σωματικῶν, τὸ δὲ πέπνυσαι τῶν ψυχικῶν· τὸ δὲ μακάρων ἔξεσσι ἐπ' εὐγενείας εἴληπται, καὶ οὔτε ψυχικὸν οὔτε σωματικόν ἐστι πλεονέκτημα.

ἔξεσσι] ἐκγέγονας, ἢ ἐκ μακάρων ἐσσί. ἀπὸ τῆς ὄψεως δὲ τοῦ παιδὸς στοχάζεται ὁποῖοι οἱ γονεῖς εἰσί.

381. τοῦτο γὰρ ἔθος τοῖς πολεμουμένοις, ὥς που καὶ Πρίαμος Πολυμήστορι Πολύδωρον ἐξέθηκεν.

385. οὐ μὲν γάρ] οὐχ ὑστέριζεν ἐν τῷ πολέμῳ τῶν Ἑλλήνων.

388. ἐνίσπες] ὡς τὸ ἔδραμες· ὁριστικὸν γάρ ἐστιν ἀπὸ τοῦ ἤνισπες· τὸ προπαροξυνόμενον προστακτικόν ἐστι χωρὶς τοῦ σ, ὡς τὸ "ἀληθές μοι ἐνίσπες."

394. θαυμάζομεν] ἀντὶ τοῦ μετ' ἐκπλήξεως ἐθεώμεθα.

397. τὸ ἑξῆς ἐκ Μυρμιδόνων εἰμί.

398. ἀφνειός] ἀναγκαίως, ἵνα μὴ ὡς ἄδοξος καὶ πένης εἰς τὴν τοῦ ἀδικεῖν ὑποψίαν κατενεχθῇ. τὸ δὲ γέρων, ὅτι ἐλεήσει ὡς ἐοικότα τῷ πατρί.

400. ἀναστρεπτέον τὴν μετα.

2. καὶ μὴν—ἀνακυκλοῖ] Haec pars scholii ab alia manu scripta est.

401. νῦν δ' ἦλθον] κατασκοπήσων ἥκω, φησὶ, μή τις ἐξ ὑμῶν εἴη ἐνέδρα, ὡς ἑταῖρος ὢν Ἀχιλλέως, ὃς ἄρχει τῆς στρατιᾶς.

408. ἢ ἔτι πὰρ νήεσσιν] πρὸ πάντων περὶ τοῦ σώματος πυνθάνεται· τί γὰρ χρὴ ἀπιέναι μηκέτι ὄντος τοῦ σώματος;

409. μελεϊστί] τινὲς οἰκτρῶς, οὐκ εὖ· μέλεον γὰρ ὁ ποιητὴς τὸ μάταιόν φησιν. ἔστιν οὖν ἀντὶ τοῦ κατὰ μέλος.

411. οὔπω] παρέλκει τὸ πω· οὐδὲ γὰρ μέλλουσι φαγεῖν.

413. ἐν κλισίῃσι] ἐν τῷ περιβόλῳ τοῦ ναυστάθμου.

414. πάντα μὲν διεξέρχεται ὅσα συμβαίνει τοῖς χρονίοις νεκροῖς, οὐδὲν δὲ τούτων φησὶ πεπονθέναι τὸν Ἕκτορα, ἵνα ἀνακτήσηται τὸν γέροντα.

419. ἑερσήεις] δεδροσισμένος, ὑγρότητα ἔχων, οὐ κατεσκελετευμένος.

420. οὐδέ ποθι μιαρός] οὐδὲ ἔν τινι μέρει μύσος ἔχων.

425. ἦ ῥ' ἀγαθόν] λείπει τὸ ἐστίν. ἐναίσιμα δὲ ἀντὶ τοῦ ἐναισίμως, τουτέστιν εὐσεβῶς καὶ προθύμως. εἰς δὲ τὸ διδοῦναι τὸ ῡ διὰ τὸ μέτρον ἐπλεόνασεν· ἢ ἀπὸ τοῦ διδόμεναι καθ' ὑποστολὴν τοῦ μ συνήλειψεν.

426. εἴ ποτ' ἔην γε] ἀντὶ τοῦ καθ' ὃν ἔζησε χρόνον.

428. τῶν] τῶν θυσιῶν δηλονότι.

429. ποτήριον δίδωσι σύμβολον εὐφροσύνης, ὡς εὐφρανθεὶς παρ' αὐτοῦ τῷ ἐπὶ τοῦ παιδὸς λόγῳ. καλὸν δὲ, ἵνα πείσῃ αὐτὸν λαβεῖν.

430. * σύν γε θεοῖσιν] ἀντὶ τοῦ συμβοηθούντων καὶ τῶν θεῶν καὶ μὴ ἀντιπραττόντων.

434. παρὲξ Ἀχιλῆα] ἐκτὸς Ἀχιλλέως, ἢ χωρὶς, ὡς τὸ "παρὲξ ἄγε νῆα" (Od. 15, 200). οὐ δι' ὑπερηφανίαν δὲ ἀπωθεῖται τὴν δόσιν, ἀλλὰ διὰ τὸ δέος Ἀχιλλέως· ἀπροφασίστως γὰρ ἀπωθεῖσθαι τὴν χάριν ἄτοπον, καὶ δωροδοκεῖσθαι τὸν θεὸν ἀτοπώτερον.

435. δείδοικα καὶ αἰδέομαι] εἰκότως ἀμφότερα· καὶ γὰρ καὶ ἡ παροιμία φησὶν "ὅπου δέος, ἐκεῖ καὶ αἰδώς."

436. συλεύειν] ἀληθῶς συλᾶν ἐδόκει, εἴ τι τῶν ἐκείνῳ φερομένων ὑφῃρεῖτο.

437. καί κε κλυτὸν Ἄργος ἱκοίμην] οὐ μόνον, φησὶ, μέχρι τῆς σκηνῆς Ἀχιλλέως, ἀλλὰ καὶ τῆς πατρίδος αὐτοῦ.

12. κατεσκελετευμένος] κατεσκηλητευμένος

440. ἀναΐξας Ἐριούνιος ἅρμα καὶ ἵππους] ἀνὰ τὸ ἅρμα καὶ τοὺς ἵππους ἀΐξας.

450. δοῦρ' ἐλάτης] κλάδους δηλονότι. ἔρεψαν δὲ ἀντὶ τοῦ ἐστεφάνωσαν, ἐκάλυψαν· ὅθεν καὶ ὀροφή.

451. λαχνήεντ'] ἁπαλὸν καὶ χνοώδη· ἔστι δὲ εἶδος καλάμου.

452. ἀμφὶ δέ οἱ] περὶ αὐτὴν τὴν σκηνήν.

453. σταυροῖσιν] σταυροί εἰσι ξύλα ἀπεξυσμένα ἀμφοτέρωθεν καὶ προσπεπηγμένα τῇ γῇ πρὸς τὸ εἴργειν τοὺς εἰσιέναι βουλομένους. τὸ δὲ ἐπιβλής ὡς τὸ προβλής ὀξύνεται. μοχλὸς δέ ἐστιν ἐπιβαλλόμενος ἀπὸ τοίχου εἰς τοῖχον.

454. ἐπιρρήσσεσκον] ἐπέκλειον, ἀπὸ τοῦ γινομένου κατὰ τὴν κλεῖσιν ἤχου.

455. κληῗδα] τὸν μοχλόν· τὰ γὰρ συνέχοντα τὴν ἐπικεκλεισμένην θύραν κληῗδας καλεῖ. καὶ ἐν Ὀδυσσείᾳ δὲ τὸ κλεῖθρον οὕτως ὠνόμασεν.

456. ἐπιρρήσεσκε] προσδεκτέον ὅτι καὶ ἤνοιγε. μεγάλην δὲ αὐτῷ τὴν ὑπεροχὴν ἐμφαίνει, εἴ γε Διομήδης (Il. 5, 302) "χερμάδιον λάβε χειρὶ ὃν οὐ δύο ἄνδρε φέροιεν, οἷοι νῦν βροτοί εἰσιν," ὁ δὲ Ἀχιλλεύς, ὃν τρεῖς Ἕλληνες ἀνέῳγον, μόνος ἀνέῳγεν. ὡς ἔοικεν οὖν, ἑξαπλάσιον τῶν νῦν ἐδύνατο, εἴγε οἱ μὲν κατὰ τοὺς αὐτοῦ χρόνους πρὸς δύο τῶν νῦν ἰσχύουσιν, αὐτὸς δὲ τῶν τότε πρὸς τρεῖς.

460. ἄμβροτος] ἄφθαρτος, ὁ μὴ βροτοῖς ὅμοιος. ἀεὶ δὲ τὸ βροτός συντιθέμενον τῷ $\overline{\mu}$ πλεονάζει, πλὴν τοῦ "νὺξ ἀβρότη" (Il. 14, 78) καὶ "ἀβροτάξομεν ἀλλήλοιιν" (Il. 10, 65). ἀναγκαίως δὲ ἑαυτὸν ἐμφανίζει ἀπαλλαττόμενος, ἵνα εὐθαρσέστερον αὐτὸν καταστήσῃ. τὸ δὲ παρεῖναι τὸν θεὸν τοῖς οἴκτοις καὶ ἐσθίουσιν αὐτοῖς οὐκ εὐπρεπές· ἄλλως τε ὑπηνήτης ὢν ὑπόνοιαν ἐπιβουλῆς παρέσχεν ἂν Ἀχιλλεῖ.

462. πάλιν εἴσομαι] εἰς τοὐπίσω πορεύσομαι.

471. ἰθύς] κατ' εὐθεῖαν, ὡς ἐπὶ τὸν οἶκον.

474. Ἄλκιμος] κατὰ μεταπλασμὸν ὁ Ἀλκιμέδων, ὡς Μελάνθιος καὶ Μελανθεύς.

480. ὡς δ' ὅταν ἄνδρ' ἄτη] ὡς εἰ φυγάς τις φονεὺς αἴφνης ἀπανιστάμενος τῆς πατρίδος ἀπέρχεται πρὸς τὸν ἁγνίσοντα, καὶ

18. ἄνδρε] ἄνδρες 23. τὸ—τῷ $\overline{\mu}$] τῷ—τὸ $\overline{\mu}$

θαμβοῦνται πάντες τὸ αἰφνίδιον τῆς ἀφίξεως, οὕτως ὁ Πρίαμος πάντας λαθὼν εἰσέρχεται καὶ παρακάθηται τῇ ἑστίᾳ, καὶ πάντες ὁρῶντες ἐκπλήσσονται. ἡ δὲ παραβολὴ πρὸς τὸ αἰφνίδιον τῆς εἰσόδου.

484. ἐς ἀλλήλους δὲ ἴδοντο] τὸ παράδοξον ἔδειξε τῆς εἰσόδου διὰ τῶν ἀλλήλοις διανευόντων πόθεν καὶ τίς ὁ ξένος.

485. περισσὸς ὁ καί· τὸ δὲ ἑξῆς πρὸς τόν.

486. μνῆσαι πατρὸς σεῖο] πολεμίῳ διαλεγόμενος, καὶ μισοῦντι ἐξαιρέτως αὐτὸν καὶ τοὺς ἐκείνου διὰ τὴν τοῦ φίλου ἀποβολήν, καὶ τῶν παίδων δεσπότῃ ἄλλην ἀρχὴν οἰκειοτέραν οὐκ εἶχεν ἢ τὴν τοῦ πατρὸς ὑπόμνησιν.

*σφόδρα τὸν Ἑρμῆν ἐναργῶς ἀκολουθοῦντα τῷ Πριάμῳ δεδήλωκεν ὁ ποιητὴς ἀλληγορήσας· οὐδὲν γὰρ οὕτως ἔοικε πειθήνιον ἀνδράσιν ὀργιζομένοις, οὐκ ἄργυρος, οὐ χρυσός, οὐ δώρων πολυτέλεια· μειλίχιον δὲ καὶ προσηνὲς ἱκεσίας ὅπλον ἐστὶν ἡ διὰ τοῦ λόγου πειθώ. πάνυ γοῦν ἀληθῶς Εὐριπίδης (fr. 70) φησὶν "οὐκ ἔστι πειθοῦς ἱερὸν ἄλλο πλὴν λόγος." τούτῳ τε Πρίαμος ὥσπερ ὀχυρᾷ παντευχίᾳ καθώπλισται, ᾧ καὶ μάλιστα τὴν Ἀχιλλέως ἐπέκλασεν ὀργήν, οὐκ ἐν ἀρχῇ δείξας δώδεκα πέπλους, δώδεκα δ' ἁπλοΐδας χλαίνας τά τε λοιπὰ τῶν κομισθέντων δώρων· ἀλλ' αἱ πρῶται τῆς ἱκεσίας αὐτοῦ φωναὶ τοὺς ἄρρενας αὐτοῦ θυμοὺς ἐξεθήλυναν ("μνῆσαι πατρὸς—γήραος οὐδῷ,") δι' ὀλίγου προοιμίου τῶν λόγων συναρπάσαντος Ἀχιλλέα, καὶ σχεδὸν ἀντὶ Πριάμου γεγονότος Πηλέως. διὰ τοῦτο ἠλέηται μὲν ἄχρι τραπέζης, λουτροῖς δὲ βοσκηθὲν ἀποδίδοται τὸ Ἕκτορος σῶμα. τοσοῦτον ἴσχυσεν ὁ τῶν παθῶν ἑρμηνεὺς λόγος, ὃν ἀπέστειλεν Ὅμηρος αὐτοῦ τῆς ἱκετείας παράκλητον. ἆρ' οὐκ ἀπόχρη δι' ὅλης τῆς Ἰλιάδος, συνᾴδεται καὶ διηνεκὴς ἡ Ὁμήρου φιλοσοφία, ἐν ᾗ τὰ περὶ θεῶν ἠλληγόρησεν.

θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ] θεοφιλῆ καὶ θεοῖς ὅμοιον εἰπὼν ἀποτρέπει τῆς περὶ τὸν ἱκέτην ἀτιμίας, εἴγε καὶ θεοὶ τοὺς ἱκέτας αἰδοῦνται.

488. περιναιέται ἀμφὶς ἐόντες] οἱ περίοικοι οἱ ἀμφὶς ὄντες, ὅ ἐστι κεχωρισμένοι τῇ γνώμῃ καὶ ἐναντίοι, ἢ χωρὶς οἰκοῦντες,

14. πολυτέλεια] πολυ^τλ 19. ἐπέκλασεν] ἐπέκλ^α
25. βοσκηθὲν] κοσμηθὲν Bekk.

ἢ κυκλόθεν. τινὲς δὲ ἐόντος, ἵν' ᾖ χωρὶς σοῦ ὄντος. ἐντέχνως δὲ πρὸ τῶν ἰδίων τῶν τοῦ Πηλέως ἐμνήσθη, ὅπως αὐτὸν ἡ τῶν οἰκείων κακῶν οἰκτίσῃ μνήμη.

490. ἀλλ' ἤτοι κεῖνός γε] ηὔξησε τὸν ἔλεον, εἴγε ὁ μὲν τὸν ἕνα ἔχει, ὁ δὲ τῶν πεντήκοντα ἀφῄρηται.

496. ὑφ' ἓν τὸ ἐννεακαίδεκα. Πάμφιλος δὲ εἰς τρία διῄρησε μέρη.

497. ἔτικτον] καλὴ ἡ παράτασις· οὐ γὰρ εἶπεν ἔτεκον. ἔθος δὲ τοῖς βαρβάροις βασιλεῦσι παιδοποιεῖν ἐκ πλειόνων.

498. θοῦρος Ἄρης] δεδιὼς οὐ λέγει σύ, ἵνα μὴ θυμώσῃ αὐτόν.

499. οἷος ἔην, εἴρυτο δὲ ἄστυ] οἷος πρὸς τὸ σώζειν τὴν πόλιν. ἓν δὲ πρᾶγμα δύο περικοπαῖς πέφρασται, ὡς τὸ "τὸ μὲν ἕλκος τέρσετο, παύσατο δ' αἷμα" (Il. 11, 267) ἀντὶ τοῦ παυσαμένου τοῦ αἵματος ἐτέρσετο τὸ ἕλκος· "ἠρήσαντο, θεοῖσι δὲ χεῖρας ἀνάσχον" (Il. 3, 318), ἀνασχόντες εὔξαντο.

504. σοῦ πατρός] ὡς ἱκανοῦ πρὸς ἔλεον ἀπ' αὐτοῦ ἤρξατο καὶ εἰς αὐτὸν ἔληξε. καλῶς δὲ καὶ ἐλεεινότερος· καταπονεῖται γὰρ καὶ ἐκεῖνος, ἀλλ' οὗτος πλέον.

506. ἀνδρὸς παιδοφόνοιο] ταῦτα μὲν εἰς ὀργὴν ἄγοντα Ἀχιλλέα ἔδει κρύπτεσθαι, ἀλλ' ἐκ τοῦ πάθους εἰς τοῦτο παρεσύρη.

510. ἐλυσθείς] παρεθείς, ἢ συνειληθείς, ἢ κυλισθείς.

511. κλαῖεν ἑὸν πατέρ'] λείπει καὶ ἐνταῦθα τὸ ἄλλοτε, ἵν' ᾖ ἄλλοτε μέν.

διπλάσιος ὢν αὐτῷ ὁ θρῆνος παρισωθήσεται τοῖς δάκρυσι Πριάμου. ἐποίει δὲ αὐτῷ τὴν ἑκατέρου μνήμην ἡ Ἕκτορος καὶ Πριάμου.

514. χειρὸς ἀνίστη] παράδοξον τὸ τὸν ἐχθρὸν οὕτω χειραγωγῆσαι καὶ τιμῆσαι. τάχα οὖν τοῦτο ποιεῖ τοῦ γήρως τοῦ πατρὸς μνησθείς.

523. κατακεῖσθαι ἐάσομεν] ἀποβαλέσθαι γὰρ τὸ πάθος ἀδύνατον, πλὴν τοῖς κλαυθμοῖς ἀναρριπίζειν οὐ δεῖ.

524. πρῆξις] ἄνυσις ἡ ἐκ θρήνου. λείπει δὲ ἡ ἐξ.

527. ἐν Διὸς οὔδει] ἀπὸ μέρους τῷ οἴκῳ.

μέμφεται τὴν δόξαν Πλάτων (Rep. 2 p. 98) λέγων ὡς ὁ θεὸς ἀγαθὸν, οὐδὲν δὲ ἀγαθὸν βλαβερὸν, ὃ δὲ μὴ βλαβερὸν, οὐδὲ βλάπτει.

ἔπλασεν οὖν ταῦτα ὁ ἥρως πρὸς παραμυθίαν Πριάμου, ἐπεὶ καὶ ὁ ποιητὴς ὁμοίως φησὶν, ὅταν λέγῃ Ζεὺς "οἱ δὲ καὶ αὐτοὶ σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν" (Od. 1, 34).

528. στικτέον εἰς τὸ δίδωσι, καὶ δύο τοὺς πίθους διὰ τῆς στιγμῆς παραδεκτέον.

532. βούβρωστις] σύντονος ὀδύνη μεγάλως τοὺς ἔχοντας ἀναλίσκουσα· ἐν γὰρ ταῖς ἀτυχίαις ὑπὸ λύπης ἑαυτοὺς ἐσθίομεν, ὥσπερ Βελλεροφόντης (Il. 6, 202). οἱ δὲ ἀποδιδόντες λιμός ἀγνοοῦσιν ὅτι οὐ λιμώσσει Πρίαμος, ἀλλ' ὀδυνᾶται.

536. ὄλβῳ δύναται τῇ φρονήσει, εἴγε καὶ ἄνολβος παρὰ Στωϊκοῖς ὁ ἀπαίδευτος. οἱ δὲ τῇ τῶν ἀγρῶν κτήσει.

541. γηράσκοντα κομίζω] γῆρας ἔχοντα οὐ γηροκομῶ.

544. ἄνω] ἀντὶ τῆς ἀνά, ἵν' ᾖ τὸ ἑξῆς, ὅσον Λέσβος ἀνείργει καὶ διορίζει. περιώριζε γὰρ τὴν ἀρχὴν Πριάμου ἀπὸ μεσημβρίας τῇ Λέσβῳ, ἀπὸ ἀνατολῆς Φρυγίᾳ, ἀπὸ ἄρκτου Ἑλλησπόντῳ.

Μάκαρος] Μάκαρ ὁ Ἴλου, φονεύσας τὸν ἀδελφὸν Τενάγην, ἐκεῖσε ᾤκησε, καὶ τὴν πόλιν οἰκίσας ἀπὸ τῆς γυναικὸς ὠνόμασεν. ἐκαλεῖτο δὲ ἡ μὲν μήτηρ αὐτοῦ Μιτυλήνη, ἡ δὲ γυνὴ Λέσβος.

545. καθύπερθεν] ἐξ ἀνατολῆς, ἐπεὶ ἔστι καὶ ἄλλη Φρυγία μικρὰ ὡς πρὸς δύσιν κειμένη.

546. διὰ τοῦ ν̄ τὸ τῶν, ἵν' ᾖ τῶν οἰκούντων τὰς προειρημένας πόλεις.

549. ἀλίαστον] ἀλύτως ἢ ἀσυγχωρήτως.

554. ἀκηδής] ἠμελημένος. ἢ κηδείας παρ' ἐμοῦ μὴ τυχών.

559. τὸν δ' ἄρ' ὑπόδρα ἰδών] ἀγριαίνεται, ἵνα μὴ διὰ τὰς αἰκίας εἰς θρῆνον ἐλθὼν ὁ Πρίαμος ταράξῃ αὐτόν. καὶ ὅτι συνεχῶς τοῦ ὀνόματος Ἕκτορος ἐμέμνητο.

569. Ἀριστοτέλης φησὶν ἀνώμαλον εἶναι τὸ Ἀχιλλέως ἦθος. οἱ δέ φασιν ὅτι ἵνα ἀποστήσῃ αὐτὸν τοῦ ἐφ' Ἕκτορι θρήνου, διὰ τοῦτο δεδίσσει.

570. λείπει ἡ παρά, ἵν' ᾖ τὰς παρὰ Διός.

572. λέων ὣς] ἡ ὁμοίωσις πρὸς τὸ εὐκίνητον καὶ ἀγριωπὸν, ἵνα καταπλήξῃ Πρίαμον τῇ θέᾳ.

2. σφῇσιν] σφίσιν
12. γηροκομῶ] γηρωκομῶ
30. δεδίσσει] δειδίσσει Vill.

Copiosius haec traduntur ab Eustathio p. 1504.

577. τοῖο] τούτου. λείπει δὲ καὶ τὸ τοῦ ἄρθρον.

580. δύο, ἵνα τὸ μὲν ὑποτεθῇ, τὸ δὲ ἐπιτεθῇ. τὸν δὲ χιτῶνα πρὸς τὸ ἐνδύσασθαι. λαμβάνει δὲ δῶρα ὡς ἱλεούμενος Πάτροκλον, καὶ ἵνα πλείονα ἔχῃ εἰς τὸν ἐπιτάφιον.

584. χόλον] Ἡρωδιανὸς γόον γράφει· ποῖον γὰρ οὗτος εἶχε χόλον, εἰ μὴ μᾶλλον γόον;

589. αὐτὸς τόν γ' Ἀχιλεύς] ἐμεμάραντο γὰρ ὁ θυμός. οὐκ ἄτοπος δὲ ἡ μεταβολή. ὁ γὰρ τοῦ γέροντος οἶκτος αὐτὸν ἐκίνησεν.

595. τινὲς ἀθετοῦσι· τὴν γὰρ Διὸς κέλευσιν αἰτίαν ἔδει λέγειν τῆς λύσεως. πῶς δὲ δώσει τῷ ἀποθανόντι; ἢ τάχα φησὶν ὅτι καὶ τὴν Διὸς γνώμην πληρώσας, ὅμως οὐκ ἀνάξια τῆς εἰς σὲ κακίας ἔλαβον. ἔθος δὲ τοὺς φόνους ἐπὶ χρήμασι λύειν. δώσει δὲ ἀποθανόντι δι' ἐπιταφίων εἰς αὐτὸν ἀγώνων.

598. τοῦ ἑτέρου] τοῦ πρὸς τὸ ἐξ ἐναντίας μέρος.

601. ἄγων] οὐκ ἐν τῇ σκηνῇ, ἀλλὰ καθ' ὁδὸν, ἵνα μὴ πρὸς οἶκτον κινηθῇ.

602. τὴν Νιόβην οἱ μὲν Πέλοπος, οἱ δὲ Ταντάλου, οἱ δὲ Ζήθου, οἱ δὲ Ἀλαλκομένεω γυναῖκά φασιν· ἡ δὲ συμφορὰ αὐτῆς, ὡς μέν τινες, ἐν Λυδίᾳ, ὡς δὲ ἔνιοι, ἐν Θήβαις ἀπολέσθαι, νοστῆσαι δὲ αὐτὴν εἰς Λυδίαν. ἡ δὲ αἰτία τῆς τῶν παίδων συμφορᾶς, ὅτι Λητοῖ παρισοῦτο, λέγουσα πλείονα τέκνα καὶ γενναιότερα τεκεῖν· ἧς οἱ παῖδες ὀργισθέντες τοὺς αὐτῆς ἀνεῖλον, ἡ μὲν θήλεια τὰς θηλείας, ὁ δὲ ἄρσην τοὺς ἄρσενας. αὐτὴ δὲ τῇ λύπῃ ἀφωνίᾳ κρατηθεῖσα ὡς λίθος ἦν ἄφωνος. οἱ δὲ λαοὶ ἀσυμπαθεῖς ὡς λίθοι ἦσαν, μισοῦντες αὐτήν. τινὲς δέ φασιν ἧττον τὸ κατὰ τὴν Νιόβην εἶναι, ὅτι οὗτος πεντήκοντα τέκνων ἐστέρηται. ἀλλ' ἐκείνη πάντων ἅμα, οὗτος δὲ οὔ. παραμυθητικὸν δὲ τὸ τῆς διηγήσεως εἶδος· κουφίζεται γὰρ τὰ πάθη ταῖς ἀλλοτρίαις συμφοραῖς. ὡς Θηβαῖον δὲ ὄντα τὸν μῦθον καὶ ἀγνοούμενον Πριάμῳ ἐπεξεργάζεται.

605. ῥητορικῶς τὴν διήγησιν ἀνέστρεψεν. ὅρα δὲ τὸ κάλλος· ἔφαγε γὰρ καὶ Νιόβη. τίς δὲ αὕτη ἦν; ἡ δώδεκα ἀπολέσασα παῖδας. ὑπὸ τίνος; ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος. διὰ τί; δι' ὑπερηφανίαν. ἴσως δὲ ὑπὸ λοιμοῦ διαφθαρέντες ἐνομίσθησαν οὕτω

16. ὁδὸν Bekkerus] ὁδοῦ

τεθνάναι. Ἱπποκράτης δὲ ἐν τῷ περὶ ὀξέων παθῶν φησὶ "τοὺς ὑπὸ ὀρθοπνοίης καὶ κυνάγχης ἀπολλυμένους ᾤοντο βλητοὺς εἶναι διὰ τὸ αἴφνης καὶ μετ' ὀδύνης τελευτᾶν."

*ψευδές ἐστι τὸ λιθωθῆναι τὴν Νιόβην, ἀλλ' ἡ ἀλήθεια οὕτως ἔχει· θανόντων τῶν παίδων αὐτῆς ἐποίησέ τις εἰκόνα λιθίνην, ἣν ἔστησεν ἐπὶ τῷ τύμβῳ τῶν παίδων, ἣν βλέποντες οἱ παριόντες ἔλεγον "Νιόβη λιθίνη ἕστηκεν ἐπὶ τῷ τύμβῳ," ὥσπερ καὶ νῦν λέγεται "παρὰ τὸν χαλκοῦν Ἡρακλῆ ἐκαθήμην."

608. ἡ δ' αὐτή] αὐτὴ δέ, ὡς τὸ "ὁ δ' ἐρεύγετο" (Od. 9, 374) ἀντὶ τοῦ ἐρεύγετο δέ.

610. ἐν φόνῳ] ἐν τῷ τόπῳ οὗ ἐφονεύθησαν.

611. ἀσυμπαθεῖς· ὠργίζοντο γὰρ αὐτῇ, ἐπεὶ διὰ τὴν ἐκείνης ἀσέβειαν ὀλίγου δεῖν ἡ σύμπασα πόλις ἀπώλετο ἄν.

612. θάψαν θεοί] ταῦτα πρὸς τὸ μὴ ἀμελεῖν κηδείας, εἴγε καὶ θεομισεῖς ὄντες ἐτάφησαν.

614—617. ἀθετοῦνται δ'· πῶς γὰρ ἡ λίθος ἐγεύσατο σίτου; πῶς δὲ καὶ κήδεα πέσσει;

615. Σίπυλος πόλις ἐστὶ Λυδίας καὶ Ἀχελῷος ποταμὸς ἐκεῖ παρακείμενος. θεάων δὲ εὐνάς, ὅτι ἐκεῖ Σεμέλῃ ὁ Ζεὺς συνεκοιμήθη.

616. αἵ τ' ἀμφ' Ἀχελώϊον] ἀπὸ τοῦ Ἀχελῴου ποταμοῦ τοῦ ἐν Αἰτωλίᾳ, ὃς ὠνόμασται ἀπὸ τοῦ τὰ ἄχη λύειν, ἢ ὅτι Ἀχελῷος καλεῖται πᾶν ὕδωρ. ἢ διὰ τοῦ η Ἀχελήϊον· Ἀχέλης γὰρ ποταμὸς ἀπὸ Σιπύλου ῥέει εἰς τὴν Σμυρναίων γῆν.

ἐρρώσαντο] φιλοσόφως καὶ ἐρρωμένως καὶ μετὰ συνέσεως ὠρχήσαντο.

617. ἀκύρως· πῶς γὰρ ἡ λίθος πέσσει; Φιλήμων δὲ ὁ κωμικός φησιν "ἐγὼ λίθον μὲν τὴν Νιόβην μὰ τοὺς θεοὺς οὐδέποτ' ἐπείσθην, οὐδὲ νῦν πεισθήσομαι, ὡς τοῦτ' ἐγένετ' ἄνθρωπος, ὑπὸ δὲ τῶν κακῶν τῶν συμπεσόντων τοῦ τε συμβάντος πάθους οὐδὲν λαλῆσαι δυναμένη πρὸς οὐδένα, προσηγορεύθη διὰ τὸ μὴ φωνεῖν λίθος." ὁ δὲ Λυδός φησιν ὅτι Ἀσωνίδης ἐρασθεὶς αὐτῆς μὴ πεισθείσης τὸν οἶκον ἐνέπρησεν, ἡ δὲ φεύγουσα εὔξατο λιθωθῆναι καὶ ἐλιθώθη.

4. ψευδές —] Scholion manus recentissimae ex Palaephati cap. 9 compilatum.

24. *Σιπύλου] σιπύλης.

29. πεισθήσομαι Eust.] πείθομαι ἐγένετ'—ὑπὸ δὲ τῶν—τοῦ τε Townl.] ἐγένετο καὶ κήδεα πέσσει, ἀλλ' ὑπὸ τῶν—καὶ τοῦ

619. σίτου] ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον. χαρίεις δὲ ὁ πρὸς ἀνάκτησιν τοῦ γέροντος συνδειπνῶν, καίτοι προδειπνήσας.

630. ὅσσος ἔην οἷός τε] ὅσος ἐν μεγέθει, οἷος ἐν κάλλει. ταῦτα δὲ πρὸς ἔκπληξιν τῶν ἀκροατῶν.

632. καὶ μῦθον ἀκούων] ἀπὸ κοινοῦ τὸ ἀγαθόν. φησὶ γοῦν περὶ αὐτοῦ "θεόφιν μήστωρ ἀτάλαντος" (Il. 7, 366).

635. λέξον] κλῖνον, κοίμισον· ἡ γὰρ διὰ χρόνου τροφὴ εἰς ὕπνον αὐτὸν καλεῖ.

636. ταρπώμεθα] δώδεκα γὰρ νύκτας ὄντι ἀΰπνῳ οὐκ ὀλίγην ἡ νὺξ τὴν τέρψιν πορίεῖται.

639. κήδεα μυρία πέσσω] ὑπὸ μυρίων καὶ ἀναριθμήτων κακῶν ἀναλίσκομαι.

648. ἐγκονέουσαι] ἐνεργοῦσαι καὶ πονοῦσαι· τὸ γὰρ πονεῖν Ἰακῶς κονεῖν λέγεται.

650. ἀφίστησιν αὐτὸν εὔκαιρον τὴν νύκτα πρὸς συνουσίαν ποιούμενος ὡς ἡ μήτηρ παρῄνεσεν· ἢ βεβαιῶσαι θέλει ὡς πάντα δι' αὐτοῦ γίνονται καὶ πρὸς αὐτὸν φοιτῶσι πάντες.

657. ὑφ' ἓν τὸ ποσσῆμαρ, ὡς ἐννῆμαρ· μεσότητος γάρ ἐστιν, ἀντὶ τοῦ ποσήμερον. ἐπεὶ δὲ ἅπαξ πεισθεὶς δίδωσι τὸν νεκρὸν, προνοεῖται καὶ τῆς κηδείας.

663. ἀξέμεν] λείπει τὸ ὥστε, ὥστε ἀξέμεν.

664. ἐννῆμαρ μέν] φιλοπενθὲς γὰρ τὸ βάρβαρον· ἢ ἅμα τῇ προφάσει τῆς κηδείας τὰ πρὸς πολιορκίαν ἑτοιμάζεται.

665. δαινῦτό τε λαός] ἀντὶ τοῦ τὸν ἐπιτάφιον δεῖπνον τῷ λαῷ ποιήσοιμεν.

667. εἴπερ ἀνάγκη] ἀπειρηκὼς τῷ χρόνῳ ἢ ταῖς συμφοραῖς ἀνάγκην τὸν πόλεμον ἐκάλεσεν. ἐθεράπευσε δὲ τὸ φιλότιμον Ἀχιλλέως τῷ δέει τῶν πολεμίων.

671. πρὸς πίστιν ἡ τῆς δεξιᾶς χειρὸς κράτησις.

679. ἀλλ' οὐχ Ἑρμείαν] δεῖ οὖν καὶ ἡμᾶς τὸ θεῖον ὡς ἄγρυπνον αἰδουμένους μὴ εἰκῇ τι πράσσειν.

681. ἱεροὺς πυλαωρούς] πιστοὺς, ἢ τοῦ στρατεύματος σωτῆρας.

686. σεῖο δέ κεν] ταῦτα πρὸς τὸ ἀποτρέψαι αὐτὸν τοῦ ὕπνου.

699. ἰκέλη χρυσῇ Ἀφροδίτῃ] κατ' ἐπιφορὰν εἴρηται· ἔδει γὰρ

34. ἐπιφορὰν Bekk.] ἐπιφθορὰν

παρθένον οὖσαν Ἀρτέμιδι εἰκάζειν. τοῦτο δὲ ποιεῖ διὰ τὴν συμπάθειαν· οὐ γὰρ οἶδεν αὐτὴν μάντιν ὁ ποιητής· ἀγωνιᾷ δὲ περὶ ἀδελφοῦ καὶ πατρός.

703. γέγωνέ τε] ἡ χαρὰ γὰρ ἰσχὺν δίδωσι καὶ βοῆς καὶ περιόδου. ἐχάρη δὲ ἰδοῦσα τὸν νεκρὸν ἀπροσδοκήτως ἀγόμενον.

706. χαίρετ'] ἀντὶ τοῦ συνευφραίνεσθε καὶ συγχαίρετε.

708. οὐδὲ γυνή] ἐναργῶς καὶ τὰς γυναῖκας συνεργούσας ἐποίησεν ἐπὶ τῇ παραδόξῳ θέᾳ τοῦ νεκροῦ καὶ τῇ σωτηρίᾳ τοῦ βασιλέως.

711. τιλλέσθην] ἑαυτὰς καὶ τὰς ἰδίας κεφαλάς.

722. ἐξῆρχον μὲν ἐκεῖνοι τῶν λόγων, ὡς ἔοικε, καὶ διεδέχοντο αὐτοὺς αἱ γυναῖκες ἀντιφωνοῦσαι.

725. νέος ὤλεο] νέος ἐξεκόπης τῆς ζωῆς. ἀπὸ οἰκτροῦ δὲ ἤρξατο, τὴν ἐκκοπὴν τῆς ἥβης ὀδυρομένη· τοὺς γὰρ ἐν γήρᾳ θανόντας μᾶλλον εὐδαιμονίζομεν.

731. νηυσὶν οἰχήσονται] ἀντὶ τοῦ ἐπὶ νηῶν πορεύσονται.

734. ἀεθλεύων πρὸ ἄνακτος] κακοπαθῶν ὑπὲρ δεσπότου. καὶ Πίνδαρός φησι (Pyth. 4, 72) "λυσίπονοι δεσποτῶν θεράποντες·" ὑπὲρ ἐκείνων γὰρ πλέουσι, γεωργοῦσιν, ἀχθοφοροῦσιν.

735. ῥίψει ἑλών] ἢ ὡς ἐκ στοχασμοῦ, ἢ ὡς ἔθους ὄντος τοὺς μὴ δυναμένους δουλεύειν παῖδας ῥίπτεσθαι.

739. πατὴρ τεός] νῦν περὶ αὐτοῦ, εἶτα πρὸς αὐτόν.

741. ἀρητόν] ἐπάρατον, ἢ ἐπιβλαβῆ, ἢ ἀεὶ ῥητόν. ἐκ τοῦ περὶ αὐτοῦ δὲ εἰς τὸ πρὸς αὐτόν.

744. οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος] ταῦτα βιωτικά· γλυκὺ γὰρ ἐν πένθεσιν αἱ τελευταῖαι τῶν φίλων φωναὶ πρὸς παραμυθίαν. πυκινὸν δὲ ἔπος τὸ πρὸς βιοτείαν λυσιτελές.

746. ἐπὶ δέ] οὐ μετὰ τὸ θρηνῆσαι, ἀλλὰ σὺν αὐτῇ. οὐκ ἠδύνατο δὲ πάντα ὑφ' ἓν εἰπεῖν.

752. ἐπεξηγεῖται τὸ πέρνασκε διὰ τοῦ πέρνην.

753. ἀμιχθαλόεσσαν] κατὰ Κυπρίους εὐδαίμονα. οἱ δὲ πετρώδη καὶ ἀπόκρημνον. οἱ δὲ ἄμικτον, διὰ τὸ ἐκ θαλάσσης δυσπρόσιτον καὶ τὴν τραχύτητα. οἱ δὲ ὁμιχλώδη καὶ ἀπροόρατον τοῖς πλέουσιν.

23. ἀεὶ ῥητόν] ἀείρρητον. Correxi ex Scholio Ven. A ad 17, 37 (vol. 2 p. 125, 19) et Etym. M. p. 140, 42.

757. πρόσφατος] νεωστὶ πεφονευμένος. ἢ ἀπὸ τῶν νεωστὶ πεφασμένων ἐκ γῆς φυτῶν, ἵνα δηλοῖ τὸ χλωρός.

759. ἀγανοῖς] πράοις διὰ τὸ ἀνώδυνον. γυναικείως δὲ μακαρίζει τὸ ἑστηκέναι αὐτῷ τὸ σῶμα.

765. τόδε εἰκοστὸν ἔτος] ψευδές· οὐ γὰρ εἰκοστὸν ἔτος δύναται εἶναι, ἐξ οὗ εἰς τὸ Ἴλιον ἦλθεν Ἑλένη, εἴγε δεκαετὴς μὲν ὁ τοῦ πολέμου χρόνος ὁμολογεῖται γεγονέναι, εἰκοστῷ δὲ Ὀδυσσεὺς εἰς Ἰθάκην ἐπανελήλυθεν ἔτει. ῥητέον δὲ ὅτι δέκα ἔτη ἐστρατολόγουν, χειμάζοντες ἐν ταῖς ἰδίαις καὶ θέρους εἰς Αὐλίδα ἀφικνούμενοι. καὶ γὰρ ἤκουον τὸν πλοῦτον καὶ τὴν ἰσχὺν τῶν Τρώων πολλὴν οὖσαν. καί τινες δὲ παρῃτοῦντο τὸν πόλεμον, καὶ διὰ τοῦτο ἐκεῖ καθήμενοι ἐστρατολόγουν. νῦν δὲ εἰκοστὸν ἔτος ἐστὶν ἀπὸ τῆς ἁρπαγῆς Ἑλένης. ἐπὶ δὲ Ὀδυσσέως τὰ δέκα ἔτη τῆς στρατολογίας οὐκ ἀριθμητέον.

776. δῆμος ἀπείρων] οὐ μόνον αἱ γυναῖκες, ἀλλὰ καὶ αὐτὸ τὸ ἄπειρον πλῆθος. ἐπὶ πλείστῳ δὲ ἐλέει καταστρέφει τὴν Ἰλιάδα· ὅθεν οἱ ῥήτορες ἐν τοῖς δικανικοῖς ἔσχατον τιθέασι τὸν οἶκτον ὡς κινοῦντα τὸν ἀκροατήν.

777. τὸ ὁ γέρων διὰ τὸ οἰκτρὸν ἢ μᾶλλον τὸ ἔκτιμον πρόσκειται, ὡς τὸ "Νέστωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν" (Il. 11, 636).

784. ἐννῆμαρ] σπεύδουσι γὰρ τῇ δεκάτῃ καὶ ἑνδεκάτῃ τελειῶσαι τὸν τάφον· ἡ γὰρ ἑξῆς εἰς πόλεμον ἐταμιεύθη.

799. περὶ δὲ σκοποί] στρατηγικὸν τὸ μὴ ταῖς σπονδαῖς πιστεύσαντας ἀστρατηγήτους ἑαυτοὺς τοῖς πολεμίοις Ἕλλησι παραδοῦναι, καὶ νουνεχείας πολλῆς.

804. ὣς οἵ γ' ἀμφίεπον] Μενεκράτης φησὶν αἰσθόμενον ἑαυτοῦ ἀσθενείας τὸν ποιητὴν καὶ τοῦ μὴ ὁμοίως δύνασθαι φράζειν ἐᾶσαι τὰ μεθ' Ἕκτορα. καλῶς δὲ ἐταμιεύσατο ἑαυτῷ τὰ λοιπὰ τῶν ζητημάτων εἰς τὴν Ὀδύσσειαν· μικρὰ γὰρ ἦν ἡ ὑπόθεσις περὶ τῆς οἰκίας τοῦ Ὀδυσσέως μόνον· ἐν τῷ μέσῳ οὖν τὰ περὶ Μενελάου καὶ Νέστορος καὶ Ἀγαμέμνονος καὶ ἁπλῶς περὶ τοῦ ἀπόπλου διέξεισι καὶ τοῦ δουρείου ἵππου. ἄλλως τε πολιορκίαν μακρὰν οὐκ ἄξιον διηγεῖσθαι αὐτόν.

31. * μακρὰν] ἄκραν
32. In fine paginae usitatus librariis versus τῷ συντελεστῇ τῶν καλῶν θεῷ χάρις.

ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΑ.

ΕΙΣ ΤΗΝ Α.

26. κιχείω παρὰ] παρὰ τὸ κίω τὸ πορεύομαι . . . . κίχω, ὁ μέλλων κιχῶ καὶ ὥσπερ . . . . σείω, οὕτω καὶ κιχῶ καὶ κιχείω.

28. χραίσμῃ] βοηθήσῃ. τὸ θέμα χραίσμω, τοῦτο ἀπὸ τοῦ χρῆσις χρησίμω συστολῇ τοῦ η̄ . . . . μῷ τοῦ ῑ χραίσμω.

σκῆπτρον] ἐκ τοῦ σκήπτω τὸ . . . . ζω, τὸ δὲ σκήπτω σημαίνει δύο, τὸ . . . . ίζω, ἐξ οὗ καὶ σκῆπτρον, καὶ τὸ προφασίζομαι, ἐξ οὗ καὶ σκῆψις ἡ πρόφασις. τὸ δὲ σκῆψις ἡ πρόφασις ἐκ τοῦ σκέπω ἢ . . . μελέτης ψευδὴς μαρτυρία. ὁ γὰρ σκεπτόμενος ψευδές τι . . . . κρυφίως τοῦτο μελετᾷ καὶ οἱ . . . .

29. γῆρας ἡ τελευτὴ ἡλικίας, ἐξ οὗ . . . . τοῦτο δὲ ἐκ τοῦ ἐν τῇ γῇ ὁρᾶν.

30. τηλόθι ἐπίρρημα τοπικὸν ἀπὸ τοῦ τηλοῦ τοῦ παρὰ τὸ τέλος, ὡς τὸ ὑψοῦ ὑψόθεν, ἀγχοῦ ἀγχόθεν, οὕτω καὶ τὸ τηλόθι.

32. ἐρέθιζε ἐκ τοῦ . . . . ἐκ τοῦ ἔρις ἐρεθίζω . . . .

σαώτερος] παρὰ τὸ σῶ τὸ ὑγιαίνω σάω, ἐξ οὗ σᾶος καὶ σαότερος . . . . ἐξ οὗ σόος ἐκ τοῦ σῶ σῶος, ἐξ οὗ τὸ σώζω, ἐξ οὗ καὶ τὸ σόος ὡς τὸ . . . . λαὸς . . . . καὶ τροπῇ τοῦ ο̄ εἰς ᾱ σᾶος. τὸ δὲ . . . .

33. μύθῳ] μῦθος σημαίνει δύο. τὸν σκοτεινὸν λόγον . . . . μύω τὸ . . . . ; παρὰ τὸ μυῶ μυήσω τὸ διδάσκω μύηθος καὶ μῦθος.

34. φλοῖσβος παρὰ τὸ φλογίζω . . . . καὶ ἀποβολῇ τοῦ γ̄ . . . . φλοισμός . . . . β̄ φλοῖσβος.

1. ΣΧΟΛΙΑ ΝΕΩΤΕΡΑ] Haec scholia a manu recentiore scripta sunt in codice Veneto B, de quo dixi in Praefatione. Compilata sunt ex Etymologico Magno, Epimerismis Homericis ex codice Oxoniensi ab Cramero editis Anecd. Oxon. volumine primo, aliisque grammaticis multa cum diversitate scripturae, qua utentur qui grammaticos illos pertractabunt.

12. τελευτὴ] τελευτ´

[Scholia versuum 26—34 partim obliterata in Veneto B omni ex parte integra leguntur in codice Lipsiensi et partim in Townleiano, in utroque a manu recentiore, exscripta, verbis leviter mutatis, ex Etymologico Magno. Quibus inter se collatis haec sic supplenda et corrigenda esse patet, 26. (ex Etym. M. p. 515, 53) *κιχείω*] *παρὰ τὸ κίω τὸ πορεύομαι πλεονασμῷ τοῦ χ̄ γίνεται κίχω, ὁ μέλλων κιχῶ, καὶ ὥσπερ παρὰ τὸ βρώσω βρωσείω, οὕτω καὶ κιχῶ καὶ κιχείω.* 28. (in codicibus Townleiano et Lipsiensi a manibus recentibus et similiter in Etym. M. p. 814, 13) *χραίσμῃ*] *βοηθήσῃ. τὸ θέμα χραίσμω, τοῦτο ἀπὸ τοῦ χρήσιμος χρησίμω, συστολῇ τοῦ η̄ εἰς τὸ ᾱ καὶ μεταθέσει τοῦ ῑ χραίσμω.* (In Etym. M. *χρησιμῶ* et *χραισμεῖ* scriptum. Brevius in Townl. et Lips. *χραίσμῃ*] *ἀπὸ τοῦ χρήσιμος γέγονε καὶ συστολῇ—τοῦ ῑ χραισμῶ*). Duplicem accentum, *χραίσμω* vel *χραισμῶ*, diserte testatur Etym. M. Scholion totum integrius repetitur infra ad v. 566 p. 367, 9–13, ubi recte scriptum est *συστολῇ τοῦ η εἰς ᾱ καὶ ὑπερβιβασμῷ* (*ἐν μεταθέσει* codices Townleianus et Lips. cum Etym. M.) *τοῦ ῑ χραίσμω.* 28. (in cod. Lips. et Etym. M. p. 717, 2) *σκῆπτρον*] *ἐκ τοῦ σκήπτω τὸ ἐπακουμβίζω· τὸ δὲ σκήπτω σημαίνει δύο· τὸ ἐπακουμβίζω, ἐξ οὗ καὶ σκῆπτρον, καὶ τὸ προφασίζομαι, ἐξ οὗ καὶ σκῆψις ἡ ποόφασις· τὸ δὲ σκῆψις ἡ πρόφασις ἐκ τοῦ σκέπτω, ἡ ἐκ μελέτης ψευδὴς μαρτυρία. ὁ γὰρ σκεπτόμενος ψευδές τι εἰπεῖν, κρυφίως τοῦτο μελετᾷ καὶ οἱονεὶ ἐσκεπασμένος.* 29. (cum cod. Lips.) *γῆρας ἡ τελευτὴ ἡλικίας, ἐξ οὗ καὶ γηραιός. τοῦτο δὲ ἐκ τοῦ ἐν τῇ γῇ ὁρᾶν.* 30. (Cum cod. Lips. et Etym. M. p. 757, 14) *τηλόθι*]—*οὕτω καὶ τὸ τηλόθι.* 32. *ἐρέθιζε—ἐρεθίζω*] Non leguntur haec in Townl. et Lips. Ex paucis quae supersunt verbis non potest colligi eadem omnia lecta fuisse quae in Etym. M. p. 370, 31, ubi inepta memoratur etymologia *ἀπὸ τοῦ ἐρέθω καὶ τῆς ἔρας.* Ibid. Scholii de v. *σαώτερος* reliquiae comparandae cum Etym. M. p. 709, 15 et Epimerismis Hom. in Crameri Anecd. Oxon. vol. I p. 393, 15. 33. (cum cod. Lips. et Etym. M. p. 593, 43) *μύθῳ*] *μῦθος σημαίνει δύο, τὸν σκοτεινὸν λόγον, καὶ γίνεται παρὰ τὸ καμμύω· καὶ*

τὸν ἁπλοῦν λόγον, καὶ γίνεται παρὰ τὸ μύω μυήσω, τὸ διδάσκω, μύηθος καὶ μῦθος. 34. (cum Etym. M. p. 796, 32) πολυφλοίσβοιο] φλοῖσβος παρὰ τὸ φλογίζω φλογισμός καὶ ἀποβολῇ τοῦ γ̄ φλοϊσμός καὶ συναιρέσει φλοῖσμος καὶ τροπῇ τοῦ μ̄ εἰς β̄ φλοῖσβος. Verba quae in fine evanuerunt fortasse fuerunt κατὰ ἀντίφρασιν ἡ μὴ φλέγουσα, ut in Etym. M.]

47. ἤϊε] ἐπορεύετο, ἐκ τοῦ εἴω τὸ πορεύομαι ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα, ὁ μέσος εἶα, καὶ ἐν διαλύσει ἔϊα, καὶ τροπῇ τοῦ ε̄ εἰς η̄, ἤϊα ἤϊας ἤϊε.

50. οὐρῆας] παρὰ τὸ ὄρος ὀρεύς καὶ ἡνίοχος ἡνιοχεύς, ἐν τῷ ὄρει ἐργαζόμενος καὶ πλεονασμῷ τοῦ ῡ οὐρεύς. ἡ γενικὴ κατὰ Ἴωνας οὐρῆος.

52. θαμειαί παρὰ τὸ θαμά . . . . τὸ συνεχὲς καὶ πυκνόν. γίνεται οὖν θαμός καὶ θαμειός καὶ θαμειαί. τὸ δὲ θαμά ἐκ τοῦ ἅμα . . . . οὕτω καὶ ἀπὸ τοῦ θάλος θά . . . . Conf. Etym. M. p. 75, 13.

57. ὁμηγερέες] ἐκ τοῦ ὁμοῦ καὶ τοῦ ἀγείρω τὸ συναθροίζω ὁμοαγειρὴς ὁμοαγειρέος καὶ ὁμηγερέος καὶ ὁμηγερέες.

60. ἀπονοστήσειν ἐκ τῆς ἀπό προθέσεως καὶ τοῦ νοστῶ . . . . ἀνακομιδή. παρὰ δὲ τῇ συνηθείᾳ ὁ γλυκασμὸς λ . . . . τῶν ἐδεσμάτων. καὶ Ὅμηρος "οὐδὲν γλύκιον ἧς πατρίδος" (Od. 9. 34). γίνεται δὲ παρὰ τὸ νέω τὸ πορεύομαι . . . . νοστήσω.

75. ἑκατηβελέταο] Αἰολικῶς τοῦτο παρὰ τὸ ἵημι τὸ πέμπω, οὗ παθητικὸν παρακείμενον ἕμαι ἕσαι ἕται ἕτης καὶ μετὰ τοῦ βέλους βελέτης καὶ μετὰ τῆς ἑκῇ καὶ πλεονασμῷ τοῦ ατ ἑκατηβελέτης ὁ τὰ βέλη μήκοθεν βάλλων.

85. θεοπρόπιον] ἐκ τοῦ θεοπρόπος. τοῦτο ἐκ τοῦ θεοπροπῶ· ἔστι δὲ παρασύνθετον ἐκ τοῦ θεός καὶ τοῦ προέπω τὸ λέγω, ὁ τὰ ἐκ θεοῦ προλέγων. οὕτως οὖν καὶ τὸ θεοπρόπιον.

95. ἄποινα] οἱ μὲν ἐκ τοῦ φόνος ἄφονος ἄφοινος καὶ ἄποινος· οἱ δὲ ἐκ τοῦ ποινὴ, ἡ τιμωρία, γίνεται ἄποινος. ἢ ἐκ τοῦ φονὴ, ὃ σημαίνει τὸν τόπον τῶν ἀναιρουμένων, ὡς τὸ "ἐν ἀργαλέῃσι φονῇσι" (Il. 10, 521).

102. κρείων ὄνομά ἐστι βασιλικόν· ἀπὸ γὰρ μετοχῆς μετήχθη εἰς ὄνομα. γίνεται δὲ ἐκ τοῦ κρατῶ, ὃ σημαίνει τὸ ἄρχω, ἐξ οὗ κατὰ

παραγωγὴν κρατείω, ὡς τὸ ὀψείω βρωσείω θείω. τούτου ἡ μετοχὴ κρατείων καὶ συγκοπῇ κρείων. Ex Etym. M. p. 537, 8.

114. χερείων ἐκ τοῦ χερειότερος καὶ κατὰ μεταπλασμὸν χέρειος. σημαίνει δὲ τὸν ἐλάσσω καὶ γίνεται ἐκ τοῦ χείρ χειρός καὶ ἀφαιρέσει τοῦ ῑ χερός. ἐξ οὗ χερείων. χερείων δὲ κυρίως ὁ ταῖς χερσὶν ἥττων.

115. δέμας ἐκ τοῦ δέω τὸ δεσμεύω. δέδεκα δέδεμαι. δεσμὸς γὰρ ὡς τῆς ψυχῆς τὸ σῶμα παρὰ τὸ δεδέσθαι τὴν ψυχὴν ἐν αὐτῷ.

120. γέρας ἐκ τοῦ ῥῶ τὸ ἐπιθυμῶ ἔρας καὶ γέρας.

124. ἴδμεν] οἱ μὲν ἐκ τοῦ ἴσημι, ἴσαμεν καὶ ἐν συγκοπῇ ἴσμεν, καὶ τροπῇ τοῦ σ̄ εἰς δ̄ ἴδμεν· οἱ δὲ ἀπὸ τοῦ εἴδω τὸ γινώσκω. ὁ δεύτερος ἀόριστος ἴδον ἴδομεν. καὶ ἀποβολῇ τοῦ ō ἴδμεν.

143. καλλιπάρηος γίνεται ἐκ τοῦ κάλλος καὶ τοῦ παρειά. τοῦτο δὲ παρὰ τὸ ἐπαίρω τὸ ἀνεσταλμένον μέρος τοῦ σώματος. τὰ δὲ παρὰ τὸ κάλλος ἐν συνθέσει διὰ τοῦ ῑ γράφεται. οἱ δὲ Αἰολεῖς τὴν ε̄ῑ δίφθογγον εἰς η̄ τρέπουσι καὶ οἱ Δωριεῖς τὸ ε̄ εἰς η̄.

147. ἑκάεργος ὁ τὰ ἕκαθεν ἐργαζόμενος, τουτέστιν ὁ ἥλιος, ὁ πόρρωθεν τῆς ἡμετέρας ἀφεστηκὼς γῆς. εἰκὸς δέ ἐστιν ἑκάεργον ὁμώνυμον εἶναι τῆς ἐξ Ὑπερβορέων ἐπὶ Δῆλον τὰς ἀπαρχὰς ἐνεγκούσης.

149. κερδαλεόφρον, παρὰ τὸ κερδαλέος καὶ τὸ φρένα. τὸ δὲ κερδαλέον παρὰ τὸ κερδῶ κερδαίνω. τὸ κερδαίνω παρὰ τὸ κέαρ καὶ τὸ αἶνος, τουτέστιν ὁ τὸ κέαρ ἰαίνων.

152. αἰχμητάων παρὰ τὸ αἰχμά αἰχμῶ αἰχμᾶς αἰχμάσω αἰχμή, ἤτοι παρὰ τὸ ἀΐσσω γέγονε ἰαχή καὶ κράσει αἰχή καὶ πλεονασμῷ τοῦ μ̄ αἰχμή. Δωρικὴ δὲ ἡ διάλυσις. οἱ Δωριεῖς δὲ καὶ τὰς εἰς ω̄ν̄ γενικὰς τὰς ἀπὸ τῶν εἰς α̅ι̅ εὐθειῶν γινομένας διὰ τοῦ α̅ω̅ν̅ προφέρουσιν, οἷον μέλισσαι μελισσάων, μέλαιναι μελαινάων. "μελαινάων ὀδυνάων" (Il. 4, 191). αἰχμηταί αἰχμητάων. Similia in Crameri Anecd. Oxon. vol. 1 p. 23, 23.

165. πολυάϊκος ἐκ τοῦ πολύ καὶ τοῦ ἀΐσσω ἀΐξω ἄϊξ ἄϊκος.

181. ὄθομαι παρὰ τὸ θέω καὶ ἐν ὑπερβιβασμῷ ἔθω καὶ τροπῇ τοῦ ō εἰς ε̄ ὄθω, ἐξ οὗ ὀθόνη, ἐκ τοῦ ὄθω ὁ μέλλων ὄσω.

188. ἦτορ παρὰ τὸ ἀήτης ὁ ἄνεμος. τοῦτο ἐκ τοῦ ἄω τὸ πνέω, ἄητορ καὶ ἀφαιρέσει τοῦ ᾱ ἦτορ· πνεῦμα γάρ ἐστιν ἡ ψυχή. Conf. Etym. M. p. 439, 30 et Cramer. Anecd. Oxon. vol. 1 p. 182, 27.

189. *μερμήριξε*] *παρὰ τὸ μερίζω· τοῦτο παρὰ τὸ μέρος· τοῦτο παρὰ τὸ μείρω μερῶ. μερίζω καὶ μερμερίζω, καὶ τροπῇ τοῦ ε̄ εἰς η̄ μερμηρίζω, ἐκ τοῦ ἐπὶ τάδε καὶ τάδε μερίζεσθαι τὴν ψυχὴν τοῦ μεριμνῶντος. ὅθεν καὶ μερμήρας τὰς φροντίδας καὶ μερίμνας ἔνιοι λέγουσιν.*

190. *φάσγανον*] *οἱ μὲν ἀπὸ τοῦ φῶ τὸ φονεύω, οἱ δὲ ἀπὸ τοῦ σφάζω, σφάγανον καὶ φάσγανον.*

194. *κολεοῖο*] *κολεός ἐκ τοῦ κοῖλον τὸ βαθύ· τοῦτο ἐκ τοῦ κῶ τὸ κεῖμαι, παρὰ τὸ κεῖσθαι ὅλον, κοιλεός. καὶ ἀφαιρέσει τοῦ ο̄ ἢ τροπῇ τοῦ ῑ εἰς ῡ κουλεὸς καὶ κολεός.*

ξίφος] *παρὰ τὸ ὀξύνεσθαι πρὸς φόνον. γίνεται ἐκ τοῦ ξύω ξύσω ξύφος καὶ ξίφος.*

199. *θάμβησεν*] *ἐκ τοῦ θάμβος. τοῦτο παρὰ τὸ θάπος· τοῦτο παρὰ τὸ θήπω τὸ ἐκπλήττομαι. θαπῶ, καὶ πλεονασμῷ τοῦ μ̄ καὶ τροπῇ τοῦ π̄ εἰς β̄ θαμβῶ θαμβήσω.*

201. *καί μιν*] *αὐτήν, ἀπὸ τοῦ τρίτου προσώπου πρωτοτύπου, ἐγώ, σύ, ἵ· τοῦτο γὰρ τὸ ἵ, ὡς τρίτον βραχυνόμενον πρόσωπον, ἐφέλκει τὸ ν̄, ἔτυψε ἔτυψεν· καὶ πλεονασμῷ τοῦ μ̄ μίν, ὡς ἴα μία, χεράδιον χερμάδιον. σημαίνει δὲ τρία, αὐτόν, αὐτήν, αὐτό.*

206. *γλαυκῶπις παρὰ τὸ γλάσσω γλάζω τὸ λάμπω, ἢ παρὰ τὸ γλαύσω, ἐξ οὗ καὶ γλαῦξ τὸ ὄρνεον.*

210. *ξίφος ἐκ τοῦ ξύω ξύφος καὶ ξίφος, τὸ πρὸς φόνον ὀξυνόμενον.* Idem fere ad v. 194.

213. *ἀγλαά*] *ἐκ τοῦ ἀγάλλω, ἐφ' οὗ τις ἀγάλλεται. ἢ παρὰ τὴν αἴγλην, ὅ ἐστιν ἀπὸ τοῦ ἀΐσσειν· ὁρμᾶται γὰρ ἡ λαμπηδών.*

237. *φλοιός: ἐκ τοῦ φλῶ τὸ ἀναδίδωμι καὶ ἀναπέμπω, φλοῦς φλοός καὶ φλοιός.*

303. *αἶψα*] *ἐκ τοῦ ἴπτω τὸ βλάπτω, ἶψα ἶψα, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἄϊψα, καὶ συναιρέσει αἶψα ἐπίρρημα· τὸ γὰρ ἀνεμπόδιστον ταχέως γίνεται.*

ἐρωήσει] *παρὰ τὸ ῥῶ, ῥέω, τὸ φθείρω, ἐξ οὗ καὶ ῥᾶον, ὡς γνῶ γνώω· ὅθεν καὶ τὸ "ἐπερρώσαντο ἄνακτος." καὶ γίνεται ῥωή, ὡς ζῶ ζωή, πλεονασμῷ τοῦ ε̄ ἐρωή, καὶ ἐξ αὐτοῦ ῥῆμα ἐρωῶ, ἐρωήσω· ἢ παρὰ τὸ ῥέω, ἐρωή.*

33. * *ῥῆμα—ἐρωή*] *ῥῆμα ῥωῶ ῥωήσω ἢ παρὰ τὸ ἔρω ἐρωή.*

316. παρὰ θῖν'] ἡ παρά τὸ ἔξω δηλοῖ, ὥσπερ καὶ παραπλεῖν τὸ ἔξω πλέειν. αἰγιαλὸς μὲν οὖν κοινῷ εἴρηται ὀνόματι, καὶ ἔστι παρὰ τὸ αἶαν ἐγγὺς ἁλὸς ἔχειν· ἔχει δὲ διαφορὰς τρεῖς, ἀκτὴν ῥηγμῖνα καὶ θῖνα. ἀκτὴ μὲν οὖν εἴρηται ὁ πετρώδης αἰγιαλὸς, παρὰ τὸ ἄγνυσθαι καὶ κλᾶσθαι ἐκεῖ τὰ κύματα. ῥηγμὶν δὲ ὁ πρὸς ἄνεμον αἰγιαλὸς, παρὰ τὸ ῥήσσεσθαι ἐκεῖ τὰ κύματα· θὶν δὲ ὁ εὔδιος καὶ ἡσύχιος αἰγιαλὸς, παρὰ τὸ μετὰ γαλήνης καὶ νηνεμίας ἐκεῖ τὰ κύματα ἀποτίθεσθαι.

566. χραίσμωσι] βοηθήσωσι. ἔστι δὲ ὑποτακτικοῦ δευτέρου ἀορίστου. τὸ θέμα χραισμῶ. ὁ δεύτερος ἀόριστος ἔχραισμον. γέγονε δὲ τὸ χραισμῶ ἀπὸ τοῦ χρήσιμος χρησιμῶ· συστολῇ τοῦ η εἰς α, καὶ ἐν ὑπερβιβασμῷ τοῦ ι, χραισμῶ. τὸ δὲ χρήσιμος ἀπὸ τοῦ χρήζω, ἢ ἀπὸ τοῦ χρῶ, χρήσω, ἀφ' οὗ καὶ ἀχρεῖος. Similia supra ad v. 28.

596. κύπελλον] ποτήριον. γίνεται δὲ παρὰ τὸ κυφός ἢ παρὰ τὸ κύπτω, τὸ κεκυρτωμένον καὶ περιφερές· ἢ παρὰ τὸ χύειν τὸν πηλὸν, τουτέστι τὸν οἶνον. πηλὸς γὰρ παρὰ Ἀττικοῖς ὁ οἶνος, παρὰ τὸ πάλλειν τὰς φρένας καὶ τὰς καρδίας τῶν πινόντων τοῦτον πολύν· ἀφ' οὗ καὶ κάπηλος, παρὰ τὸ κακύνειν τὸν πηλὸν ἤγουν τὸν οἶνον.

598. νέκταρ παρὰ νε στερητικὸν καὶ τὸ κτῶ τὸ φονεύω, τὸ μὴ τοῖς κτεινομένοις, ἀλλὰ τοῖς ἀθανάτοις διδόμενον.

ΕΙΣ ΤΗΝ Β.

50. λιγυφθόγγοισιν] ἐκ τοῦ λιγύς καὶ τοῦ φθόγγος. τὸ δὲ λιγύς παρὰ τὸ λέγω λεγύς καὶ λιγύς· ἢ ἀπὸ τοῦ λίαν ἡδύς.

52. ὦκα] ἐκ τοῦ ὠκύς ὠκέα ὦκα. τὸ δὲ ὠκύς παρὰ τὸ ἀκή, ὃ σημαίνει τὴν ὀξύτητα. τὸ οὐδέτερον ἀκύ ἀκέα ἄκα, καὶ μεταθέσει τοῦ α εἰς η ἧκα, ὡς τὸ "ἧκα πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον" (Il. 3, 155), ἀντὶ τοῦ μετὰ ἡσυχίας, καὶ τροπῇ τοῦ α εἰς ω μέγα ὦκα, ὥσπερ φᾶρος τὸ ἱμάτιον, ἐξ οὗ φωριαμός. Similia in Etym. M. p. 821, 12 et in Crameri Anecd. Oxon. vol. 1 p. 448.

55. ἠρτύνετο] ἐκ τοῦ ἀρτύω· τοῦτο δὲ παρὰ τὸ ἀρτῶ. τοῦτο παρὰ τὸ ἄρω τὸ ἁρμόζω· ὁ μέλλων ἀρῶ ἀρώσω, Αἰολικῶς ἄρσω καὶ ἀρτός. ἐκ γὰρ τοῦ ἀρτύω ἀρτύνω, ἐξ οὗ καὶ τὸ "ἠρτύνθη μάχη" (Il. 11, 216.)

67. ἔχοντες] τὸ ἔχω σημαίνει ιγ', τὸ κρατῶ· "ἐν δ' ἄρα χειρὶ

ἔγχος ἔχ' ἑνδεκάπηχυ" (Il. 8, 493). τὸ καταλαμβάνω· "ἀλλ' οὐκ Ἀτρείδην Ἀγαμέμνονα ποιμένα λαῶν ὕπνος ἔχε γλυκερός" (Il. 10. 3). τὸ φυλάσσω· "ὣς οἱ μὲν Τρῶες φυλακὰς ἔχον" (Il. 9, 1). τὸ ἐπιμελοῦμαι· "ὅς μοι κῆπον ἔχει πολυδένδρεον" (Od. 4, 737). τὸ συνοικῶ γυναικί "τὴν εἶχε κρείων Ἑλικάων" (Il. 3, 123). τὸ ἐλαύνω· "τὼ διὰ Σκαιῶν πεδίων ἔχον ὠκέας ἵππους" (ib. 263). τὸ κτῶμαι· "ἔχω δ' ἄχε' ἄκριτα θυμῷ" (ib. 412). τὸ πλησιάζω, ἐξ οὗ καὶ τὸ ἐγγύς, ὡς τὸ "ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι" (Psalm. 139, 6). τὸ οἰκῶ, ὡς ἐνταῦθα. τὸ κατέχω καὶ κρατῶ· "τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα" (Il. 3, 243). τὸ βαστάζω· "τόξ' ὤμοισιν ἔχων ἀμφηρεφέα τε φαρέτρην" (Il. 1, 45). τὸ κρύπτω. "ἀλλὰ καὶ μετόπισθεν ἔχει κότον ὄφρα τελέσσῃ" (ib. 82). τὸ φορῶ· "τῶν δ' οἱ μὲν λεπτὰς ὀθόνας ἔχον, οἱ δὲ μαχαίρας" (Il. 18, 595).

73. θέμις] παρὰ τὸ τίθημι τίθεμαι θεμός καὶ θέμις καὶ θέμιτα καὶ θέμιστας κατὰ πλεονασμόν.

75. ἐρητύειν] ἐκ τοῦ εἱρκτή εἱρκτύω, ἐξ αὐτοῦ ἐρητύω ἐρητύσω, ὁ μέσος παρακείμενος εἰρήτυκα, ὁ παθητικὸς εἰρήτυμαι ἐρητυθείην ἐρήτυθεν.

87. ἠΰτε] ἐκ τοῦ ὡς γίνεται, καὶ πῶς ἐκ τοῦ ὥς; κανών ἐστιν ὁ λέγων ὅτι τὰ εἰς ως λήγοντα ἐπιρρήματα, συνυπάρχοντά τινι εἰς η̄ λήγει, καὶ ὁμοτονούμενα αὐτοῖς, οἷον πάντως πάντῃ, ἄλλως ἄλλῃ, οὐδαμῶς οὐδαμῇ, διχῶς διχῇ. οὕτως οὖν καὶ ἀπὸ τοῦ ὣς ἧ, καὶ πλεονασμῷ τοῦ ῡ ἠΰ. ψιλοῦται δὲ ὡς τοῦ ῡ πλεονάσαντος.

88. γλαφυρῆς] γίνεται ἐκ τοῦ γλάφω τὸ διορύττω, ἐξ οὗ καὶ γλάφυ. σημαίνει δὲ τὸ σπήλαιον· "καὶ γλάφυ πετρῆεν" (Hesiod. Op. 531). ἔστιν οὖν γλάφω γλάψω ἔγλαψα, ὡς τὸ "ἐν ψαμάθοισι διαγλάψας ἀλίῃσιν" (Od. 4, 438). ἐπὶ δὲ τοῦ ἤδέος περὶ τοῦ διορύττειν καὶ κινεῖν τὴν ἀκοὴν πρὸς ἡδονήν.

90. ἅλις ἐκ τῆς ἁλός γενικῆς. ἐν αὐτῷ γὰρ ἱκανὸν καὶ ἀθρόον ἐστὶ τὸ ὕδωρ.

20. "Scribe συνυπάρχοντα ἔχει τινὰ εἰς η λήγοντα καὶ ὁμοτονούμενα αὐτοῖς, οἷον—διχῇ, οὕτως οὖν καὶ ἀπὸ τοῦ ὥς ἧ καὶ ἦτε, καὶ πλεονασμῷ τοῦ υ ἠΰτε. Apollonium quoque in eadem re Adv. p. 559 misere corruptum video. Verba οὐ μὴν ἀλλὰ quae leguntur p. 559, 2 transferemus ad v. 9 οὐ μὴν ἀλλὰ καὶ οὕτως φαμέν. τοῖς—. Post ἦ θέμις ἐστί v. 14 exciderunt haec: καὶ ἐν συντάξει τοῦ τε "ἦτε ξείνων θέμις ἐστί." Nec scripsit v. 3 καὶ παρὰ τοῦτο τὸ ᾱ ἀποτελεῖταί τι ἕτερον τὸ ἦ κατὰ μετάληψιν τοῦ ᾱ εἰς τὸ η, sed ἰωνικώτερον." LEHRS. in Append. ad Herodianum p. 461.

135. σπάρτα] ἐκ τοῦ σπαρτίου· τοῦτο ἐκ τοῦ σπειρῶ τὸ εἱλίσσω, ἐξ οὗ καὶ σπείρημα τὸ τοῦ ὄφεως εἵλιγμα. σπάρτον οὖν καὶ σπαρτίον. ὥσπερ οὖν ἀπὸ τοῦ μηρία μῆρα, οὕτως καὶ ἀπὸ τοῦ σπαρτία σπάρτα.

142. στήθεσσιν] στῆθος ἐκ τοῦ σιτίον καὶ τοῦ ὤθω, σιτίωθόν τι ὄν, παρὰ τὸ τὰ σιτία δι' αὐτοῦ ὠθεῖσθαι· καὶ κατὰ συγκοπὴν στῶθος καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν στῆθος. ἔνιοι δὲ παρὰ τὸ ἵστημι, στήσω, στῆθος, τὸ ὀρθῶς ἱστάμενον, καὶ μὴ ἐπικεκαμμένως.

144. μακρά] ἐκ τοῦ μῆκος μηκρός καὶ μηκρόν, καὶ ὥσπερ ἐκ τοῦ κῦδος κυδρὸς καὶ "κυδρὴ παράκοιτις," οὕτω καὶ ἐκ τοῦ μῆκος μηκρός καὶ μακρός. ἐτράπη γὰρ τὸ μακρὸν εἰς βραχύ.

145. νότος] παρὰ τὸ ὀνῶ τὸ βλάπτω, ὀνόσω, ὄνοτος, καὶ ἀφαιρέσει τοῦ ο̅, νότος, ὁ βλαπτικὸς οἱονεὶ τῶν καρπῶν καὶ σωμάτων.

147. Ζέφυρος ὁ ἐκ ζόφου φερόμενος, ἤγουν τῆς δύσεως· οἱ γὰρ ἀρχαῖοι τὴν δύσιν ζόφον ἐκάλουν. ἔνιοι δὲ ἐκ τοῦ τὸ ζῆν φέρειν, ὁ τὸ ζῆν πᾶσι παρέχων· τῷ γὰρ θέρει πνέοντος αὐτοῦ αὔξονται οἱ καρποὶ δι' ὧν τὸ ζῆν ἔχομεν. λήϊον ἐκ τοῦ λα̅ ἐπιτατικοῦ καὶ τοῦ ἴω τὸ πορεύομαι καὶ τροπῇ τοῦ α̅ εἰς η̅ λήϊον.

157. αἰγιόχοιο] παρὰ τὸ αἴξ αἰγός αἰγί, καὶ τοῦ ὀχή, ὃ σημαίνει τὴν τροφήν· λέγεται γὰρ αὐτὸν τεθηλακέναι Ἀμάλθειαν τὴν αἶγα. οἱ δὲ, ὅτι σκέπαστρον αὐτῷ αἰγὶς ἦν ἀπὸ Κρητικῆς αἰγὸς ληφθεῖσα. οἱ δὲ, ἀπὸ τοῦ καταιγίζειν τοῖς ἀνέμοις καὶ πνεύμασι· καλεῖται γὰρ ὁ ἄνεμος αἰγίς. οἱ δὲ Αἶγα πρώτην τὴν τοῦ Πανὸς θυγατέρα. ἐκ τοῦ ὀχή δὲ γίνεται καὶ εὐωχία, ἡ καλῶς ἡμᾶς τρέφουσα, κατ' ἐπαύξησιν δὲ τοῦ ο̅ εἰς ω̅.

170. ἐϋσσέλμοιο] ὄνομα σύνθετον ἐΰσελμος, ἐκ τοῦ εὖ μορίου καὶ τοῦ σέλμα, ἡ τῶν ἐρεσσόντων καθέδρα. καὶ ὥσπερ ἀπὸ τοῦ ἔρεισμα γίνεται κατὰ συγκοπὴν ἕρμα, οὕτως ἐστὶ σελίς (σημαίνει δὲ τὴν καθέδραν· καὶ σελάζω ἐξ αὐτοῦ) ἡ γενικὴ σελίδος, καὶ ἐξ αὐτοῦ ῥῆμα σελίζω, σέλισμα, καὶ σέλμα· καὶ τρέπεται τὸ α̅ εἰς ο̅ς̅, ὡς σχῆμα εὔσχημος, σέλμα εὔσελμος, καὶ διαλύσει τῆς ε̅υ̅ διφθόγγου ἐΰσελμος.

191. ἵδρυε] ἐκ τοῦ ἵζω τὸ καθέζομαι· καὶ τροπῇ τοῦ ζ̅ εἰς δ̅ Αἰολικῶς, ὥσπερ ζυγός δυγός, γίνεται ἵδω, καὶ κατὰ παραγωγὴν ἰδύω, καὶ πλεονασμῷ τοῦ ρ̅ ἱδρύω.

11. * ἐτράπη] ἐτράπετο   19. καὶ τοῦ] * καὶ τὸ   29. * σελάζω] σελα

209. πολυφλοίσβοιο] φλοῖσβος ἡ τῶν κυμάτων ἀλλεπάλληλος ἔγερσις καὶ συνεχὴς πάλιν ἀπόπαυσις. ἔστι δὲ ὄνομα πεποιημένον, ὡς τὸ "λίγξε βιός" (Il. 4, 125). φλοῖσβος δὲ γίνεται ἐκ τοῦ φλογίζω, φλογισμός, ἀποβολῇ τοῦ $\overline{\gamma}$ φλοϊσμός, καὶ συναιρέσει φλοισμός, καὶ τροπῇ τοῦ $\overline{\mu}$ εἰς $\overline{\beta}$ φλοῖσβος· κατὰ ἀντίφρασιν ἡ μὴ φλέγουσα· γίνεται δὲ ἀπὸ τοῦ φλῶ τὸ ἀναπέμπω, φλέω, ὁ ἀναδιδόμενος ἦχος τῆς θαλάσσης.

217. χωλός] ἐκ τοῦ κῶλον, ὃ σημαίνει τὸ ὀστοῦν, ὁ τὸ ὀστοῦν βεβλαμμένον ἔχων· καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ καὶ μεταβάσει τοῦ τόνου γίνεται χωλός.

ὦμω] ἐκ τοῦ οἴσω μέλλοντος· ὁ γὰρ ἐνεστὼς οὐκ εἴρηται. καὶ ὥσπερ τρέπεται τὸ $\overline{\omega}$ εἰς $\overline{οι}$, ὡς ἀγκῶνος ἀγκώνη ἀγκοίνη, θῶ τὸ εὐωχοῦμαι θώσω θώνη καὶ θοίνη, οὕτω καὶ ἡ $\overline{οι}$ εἰς $\overline{\omega}$ τρέπεται. Conf. Etym. M. p. 822, 24.

218. κυρτῷ] κυρτός παρὰ τὸ κύπτω, κυπτός, πλεονασμῷ τοῦ $\overline{\rho}$ καὶ ἀποβολῇ τοῦ συμφώνου κυρτός. κύρτος δὲ, παροξύτονον, εἶδος δικτύου, ὡς σπυρίδιον, τὸ λεγόμενον κυρτάριον.

συνοχωκότε] ἐκ τοῦ συνέχω συνοχῶ ῥῆμα· ὁ μέλλων συνοχήσω, συνώχηκα, συνωχηκώς, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν, διὰ δὲ τὸ μέτρον τὸ $\overline{ο}$ μικρόν.

219. λάχνη. παρὰ τὸ $\overline{λα}$ ἐπιτατικὸν μόριον καὶ τὸ ἔχω τὸ κρατῶ, γίνεται λαέχνη, καὶ κατὰ κρᾶσιν λάχνη. παράγεται δὲ καὶ ἀπὸ τοῦ λάζω, τὸ κρατῶ, ὁ μέλλων λάξω, καὶ ἐξ αὐτοῦ λάχνη· οὐδὲν γὰρ εὐληπτότερον τῆς τριχός.

220. ἔχθιστος ἐκ τοῦ ἐχθρός· τοῦτο ἐκ τοῦ ἐκθορῶ, ἐκθορήσω, ἔκθορος καὶ ἐχθρός, ὁ ἔξω ἡμῶν προδιερχόμενος. ἔχθιστος δὲ ἐκ τοῦ ἐκθέειν ἡμῶν.

225. χατίζεις] ἐκ τοῦ αἰτῶ τὸ ζητῶ καὶ χρήζω· ἀποβολῇ τοῦ $\overline{ι}$ ἀτῶ, καὶ πλεονασμῷ τοῦ $\overline{\chi}$ χατῶ, καὶ κατὰ παραγωγὴν χατίζω. ἢ ἐκ τοῦ ματῶ ματίζω, καὶ τροπῇ τοῦ $\overline{\mu}$ εἰς $\overline{\chi}$ χατίζω.

233. νόσφι] ἐκ τοῦ $\overline{νο}$ στερητικοῦ καὶ τοῦ ἕπω τὸ ἀκολουθῶ. καὶ ἐξ αὐτοῦ νόεπι· καὶ ὥσπερ ἀπὸ τοῦ θεόφατον κατὰ ἀποβολὴν τοῦ $\overline{ο}$ καὶ πλεονασμῷ τοῦ $\overline{\sigma}$ γίνεται θέσφατον, καὶ θέοπις θέσπις, ὡς τὸ "θέσπιν κατεβρόντησεν," οὕτω καὶ τὸ νόεπι ἀποβολῇ τοῦ $\overline{\epsilon}$ καὶ πλεονασμῷ τοῦ $\overline{\sigma}$ γίνεται νόσπι, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ νόσφι, ὁ μὴ ἀκολουθῶν, ἀλλὰ πόρρωθεν καὶ χωρὶς ὑπάρχων. γίνεται

δὲ καὶ ἐκ τοῦ νόστος, νόστου νοστόφι καὶ ἐν συγκοπῇ νόσφι. καὶ διὰ τί γενόμενον ἀπὸ τῆς νόστου γενικῆς οὐκ ἐγένετο νοστοῦφι, ἀλλ' ἀπέβαλε τὸ ῡ; καὶ λέγομεν ὅτι αἱ πτώσεις αἱ ἐπεκτεινόμεναι διὰ τῆς φι συλλαβῆς, εἰ μὲν ἔχουσιν ἓν φωνῆεν κατὰ τὴν λήγουσαν, φυλάττουσιν αὐτὸ, οἷον οὐρανία οὐρανίαφι, ἑτέρη ἑτέρηφι "ὁδὸς δ' ἑτέρηφι παρελθεῖν" (Hes. O. 214)· εἰ δὲ ἔχουσι δύο φωνήεντα κατὰ τὴν λήγουσαν, τὸ τελευταῖον αὐτῶν ἀποβάλλουσιν, οἷον χαλκός χαλκοῦ χαλκόφι· "πλάγχθη δ' ἀπὸ χαλκόφι χαλκός" (Il. 11, 351). νόστος νόστου νοστόφι, καὶ ἐν συγκοπῇ νόσφι. ἰστέον δὲ ὅτι ἡ διὰ τῆς φι συλλαβῆς παραγωγὴ κατὰ πᾶσαν γίνεται πτῶσιν, καὶ ἀπὸ εὐθείας μὲν οἷον ἑτέρη ἑτέρηφι "ὁδὸς δ' ἑτέρηφι παρελθεῖν·" ἀπὸ γενικῆς οἷον χαλκός χαλκοῦ χαλκόφι, νόστος νόστου νοστόφι καὶ νόσφι· ἀπὸ δοτικῆς οἷον βίη βίηφι "Ἕκτωρ ἧφι βίηφι" (Il. 22, 107) ἀντὶ τοῦ ἐν βίᾳ, φρήτρη φρήτρηφι· ἀπὸ αἰτιατικῆς ὡς δεξιόν δεξιόφι "ἢ ἐπὶ δεξιόφι παντὸς στρατοῦ ἢ ἀνὰ μέσσους" (Il. 13, 308) ἀντὶ τοῦ ἐπὶ δεξιόν· ἢ ἀπὸ κλητικῆς οἷον οὐρανία οὐρανίαφι "οὐρανίαφι λίγ' ἀείσομαι." αὗται αἱ διὰ τῆς φι συλλαβῆς ἐπεκτάσεις τὸ αὐτὸ μέρος τοῦ λόγου φυλάττουσι, χωρὶς τοῦ νόσφι καὶ ἶφι· ταῦτα γὰρ μετῆλθον εἰς ἐπιρρηματικὴν σύνταξιν.

235. ἐπιβασκέμεν ἀντὶ τοῦ ποιεῖν ἐπιβαίνειν.

242. λωβήσαιο] ἐκ τοῦ λωβῶ λωβήσω. τοῦτο ἐκ τοῦ λοβός, ἀπὸ μεταφορᾶς τῶν ἠκρωτηριασμένων, ἐπειδὴ οἱ παλαιοὶ τοὺς ἔν τινι ἀτοπήματι ἁλόντας ἐνυβρίζοντες τὰ ἄκρα τῶν ὤτων ἀπέτεμνον, ὡς καὶ ὁ ποιητὴς πρὸς τὸν Ἶρον (Od. 18, 86). καὶ ταῦτα ὁ Ὠρίων. ὁ δὲ Ἡρωδιανὸς ἐκ τοῦ λαβή εἶναι λέγει, ὃ σημαίνει τὸ ξίφος· καὶ τροπῇ τοῦ ᾱ εἰς ω̄ καὶ ἀναδόσει τοῦ τόνου λώβη, ὡς ἀπὸ τοῦ φᾶρος φαριαμός καὶ φωριαμός.

245. ἠνίπαπε] ἐκ τοῦ ἐνίπω τὸ ἐπιπλήσσω. τοῦτο ἐκ τοῦ ἐνέπω τὸ λέγω· κυρίως γὰρ τὸ διὰ λόγων ἐπιπλήσσειν. ἐνίπτω γοῦν ἐνίψω, ὁ παρακείμενος ἤνιφα, ὁ μέσος ἤνιπα καὶ ἠνίπαπα, ἐξ οὗ καὶ ἐνιπή, ὡς τὸ "μάλα πώς με καθίκεο θυμὸν ἐνιπῇ" (Il. 14, 104).

251. νόστος ἐκ τοῦ νέω τὸ πορεύομαι νέσω νόστος ὑποστροφή.

290. χήρα παρὰ τὸ χῶ τὸ χωρῶ, ὁ μέλλων χήσω, καὶ ἐξ αὐτοῦ

4–19. Cf. Cram. Anecd. Oxon. vol. 1 p. 293, 7–26.
10. * πτῶσιν] om.
15. * δεξιόφι] δεξιοῦ
17. * λίγ'] φίλη γ'.

χήρα ἡ χωρητικὴ τῆς λύπης. ἐτυμολογεῖται δὲ καὶ ἀπὸ τοῦ χαρά, καὶ ἀναδόσει τοῦ τόνου καὶ τροπῇ τοῦ α εἰς η χήρα, κατὰ ἀντίφρασιν, ἡ τῆς εὐφροσύνης καὶ χαρᾶς ἐστερημένη.

293. ἀσχαλάᾳ] ἔστιν ἄχος ἡ λύπη. ἐξ αὐτοῦ ἀχῶ, καὶ πλεονασμῷ τῆς αλ συλλαβῆς ἀχάλω, προσθέσει τοῦ σ ἀσχάλω, ἤσχαλον. ἐκ τούτου οὖν ἀσχαλάω, ἀσχαλᾷς, ἀσχαλάᾳ.

πολυζύγῳ] πολυκραθέδρῳ, ἐκ τοῦ πολύς καὶ τοῦ ζυγός. ζυγὸς δὲ σημαίνει δ΄, τὸ τῶν ἵππων ἅρμα, ὡς τὸ "ἱππείου δὲ ζυγοῦ θεὰ ἥψατο φώνησέν τε" (Il. 5, 799). καὶ τὸν τῆς κιθάρας πῆχυν, εἰς ὃν οἱ κόλλαβοι συμπεπήγασιν, ὡς τὸ "ἐπὶ δ' ἀργύρεος ζυγὸς ἦεν" (Il. 9, 187). καὶ τὰς τῶν ἐρεσσόντων καθέδρας, ὡς ἐνταῦθα· καὶ τὸν κατὰ συνήθειαν παρ' ἡμῖν λεγόμενον ζυγόν, τῶν βοῶν δηλονότι, ὡς τὸ "τὴν οὔ πώ τις ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ" (Il. 10, 293).

316. ἀμφιαχυῖαν] ἐκ τῆς ἀμφί προθέσεως καὶ τοῦ ἰάχω. τὸ δὲ ἰάχω ἐκ τοῦ ἰά, ἡ ἐκπεμπομένη φωνή, ἰάχω, ἰαχή· γίνεται δὲ ἐκ τοῦ ἀμφιάζω, ἀμφίαχα, ἀμφιαχὼς ἀμφιαχυῖα.

318. ἀρίζηλον] τὸν διάδηλον καὶ φανερόν. γίνεται δὲ ἐκ τοῦ αρι ἐπιτατικοῦ μορίου καὶ τοῦ ζῆλος, τὸ δὲ ζῆλος ἐκ τοῦ δῆλος, τὸ δὲ δῆλος ἐκ τοῦ δαλός, ὃ σημαίνει τὸν πεπυρακτωμένον σίδηρον. ἀναδόσει δὲ τοῦ τόνου καὶ τροπῇ τοῦ α εἰς η δῆλος, καὶ μετὰ τῆς αρι προσθέσεως καὶ προσθέσει τοῦ σ ἀρίσδηλος. ἐπεὶ δὲ τὸ ζ ἐκ τοῦ σ καὶ δ σύγκειται, συναιρέσει τοῦ σ καὶ δ εἰς ζ γέγονεν ἀρίζηλος.

321. πέλωρα] πέλωρον τὸ ἐξαίσιον καὶ φοβερόν. γίνεται δὲ παρὰ τὸ πέλω καὶ τὸ ὤρα ἡ φροντίς, οἷς ὑπάρχει ἀεὶ ἡ φροντὶς διὰ τὸ μέγεθος. ἐτυμολογεῖται δὲ καὶ παρὰ τὸ πελάζειν καὶ προσεγγίζειν τῷ Ὠρίωνι.

ἄνεῳ] ἄφωνοι· γίνεται δὲ ἐκ τοῦ ἴα, ἡ ἐκπεμπομένη φωνὴ ἴος, καὶ μετὰ τοῦ στερητικοῦ α, ἄϊος καὶ ἄνιος ὁ ἄφωνος, καὶ τὸ Ἀττικὸν ἄνεως, ἄνεῳ.

338. νηπιάχοις] παρὰ τὸ νήπιον· τοῦτο παρὰ τὸ νη στερητικὸν καὶ τὸ βίος, τὸ ἐστερημένον τῶν βιωτικῶν φροντίδων. ἢ παρὰ τὸ νη καὶ τὸ βῶ τὸ λέγω, τὸ ἐστερημένον τοῦ λέγειν.

342. μῆχος ἡ μηχανὴ παρὰ τὸ μήδω τὸ βουλεύομαι, μέμηχα μῆχος.

344. ἀστεμφὴς ὁ ἀμετάστρεπτος καὶ ἀμετάθετος. γίνεται δὲ ἐκ τοῦ στρέφω, στρεφής. καὶ μετὰ τοῦ στερητικοῦ α, καὶ ἐν ὑπερβιβασμῷ ἀστρεφής, καὶ μεταθέσει τοῦ ρ εἰς μ ἀστεμφής.

380. ἠβαιόν] ἐκ τοῦ βαίνω γίνεται βαός, καὶ πλεονασμῷ τοῦ ῑ βαιός, ὁ ἐπ' ὀλίγον χρόνον βεβηκώς. πλεονασμῷ δὲ τοῦ η̄, ἠβαιός, ὡς τὸ μύει ἠμύει· σημαίνει δὲ τὸ κλίνει.

388. τελαμών] παρὰ τὸ ταλάσσω, τὸ ὑπομένω. ἢ ἀπὸ τοῦ τέλος, τελῶ τελέσω, καὶ ἐκ τούτου τετέλεσμαι, τελεσμός, ἀποβολῇ τοῦ σ̄ καὶ τροπῇ τοῦ ε̄ εἰς ᾱ, τελαμών.

399. καπνίζω ἐκ τοῦ καπνός. τοῦτο παρὰ τὸ καίω καὶ τὸ πνοή· καπνὸς γὰρ κυρίως ἡ ἐκ τῆς καύσεως πνοή. ἐξ αὐτοῦ καπνίζω.

403. πίονα ἐκ τοῦ πίνω πίω πίων. οἱ δὲ παρὰ τὴν πόαν.

410. οὐλοχύτας] ἐκ τοῦ οὔλη, βαρυτόνως, ὃ σημαίνει τὴν κριθήν. τοῦτο ἐκ τοῦ οὖλος· σημαίνει δὲ τὸν ὁλόκληρον ὡς τὸ "ἄρτον οὖλον ἑλών" (Od. 17, 343). καὶ ἐξ αὐτοῦ οὔλη· πρὸ γὰρ τοῦ εὑρεθῆναι τὸν Δημητριακὸν σῖτον ὁλοκλήρους τὰς κριθὰς ἤσθιον. οὖλος οὖν γέγονεν ἐκ τοῦ ὅλος, πλεονασμῷ τοῦ ῡ· ὅλος γὰρ ὁ ὁλόκληρος. τὸ οὔλη οὖν παροξυτόνως ἐπὶ τῆς κριθῆς. ἐκ τοῦ οὔλη οὖν καὶ τοῦ χύω οὐλοχύται. οὐλή δὲ ὀξυτόνως ἐπὶ τῆς τρώσεως.

412. κύδιστος ἐκ τοῦ κῦδος· τοῦτο ἐκ τοῦ κύειν ἦδος, ἤγουν ἡδονήν, ὄφελος.

κελαινεφές] γίνεται ἐκ τοῦ μελαίνω καὶ τοῦ νέφος, ὁ τὰ νέφη μελαίνων. τροπῇ τοῦ μ̄ εἰς κ̄, καὶ κατὰ συγκοπὴν ὡς τανύω τανύπεπλος, κελαινονεφές, καὶ συγκοπῇ τῆς ν̄ο̄ συλλαβῆς, κελαινεφής.

413. ἠέλιος] κατὰ πλεονασμὸν τοῦ ε̄ ποιητικῶς. γίνεται δὲ παρὰ τὸ ἕλη, ὃ σημαίνει τὴν λαμπηδόνα, ἕλιος καὶ τροπῇ τοῦ ε̄ εἰς η̄ ἥλιος, ὥσπερ ἔστιν ἔπω τὸ λέγω καὶ ἐξ αὐτοῦ ἐπύω καὶ τροπῇ τοῦ ε̄ εἰς η ἠπύω τὸ φωνῶ "ἠπύτα κῆρυξ" (Il. 7, 384). ἢ παρὰ τὸ δῆλος ὁ φανερός, δήλιος καὶ ἀποβολῇ τοῦ δ̄ ἥλιος, ὡς παρὰ τὸ διωκή ἰωκή, καὶ δαίω τὸ μερίζω δαῖσα καὶ αἶσα, καὶ δαίμονα αἵμονα "αἵμονα θήρης" (Il. 5, 49). ἢ παρὰ τὸ ἅλς ἁλός ἅλιος καὶ ἥλιος· ἀνιμᾶσθαι γάρ φασιν οἱ φυσικοὶ τὸν ἥλιον τὸ τῆς θαλάσσης ὕδωρ. καὶ Ποσειδῶν παρὰ τὸ τὴν πόσιν ἀναπίνειν τῷ δάει, τουτέστι τῷ ἡλίῳ. δάος δὲ ἐκ τοῦ δαίω τὸ καίω.

κνέφας τὸ σκότος παρὰ τὸ κενὸν φάους εἶναι.

417. χαλκός παρὰ τὸ Χάλυψ Χάλυβος (σημαίνει δὲ ὄνομα ἔθνους) τροπῇ τοῦ β̄ εἰς κ̄ χαλκός· ἐκεῖ γὰρ λέγουσιν εὑρεθῆναι πρῶτον τὸν σίδηρον. ἐκ τοῦ οὖν χάλυβος χαλβός καὶ χαλκός. ἐκλήθη δὲ χαλκὸς ὁ σίδηρος διὰ τὸ πρῶτον εὑρεθῆναι τὸν χαλκόν, ὕστερον δὲ τὸν

σίδηρον. ἐκάλουν οὖν ὁμωνύμως τὸν σίδηρον χαλκὸν καὶ τὸν χαλκὸν σίδηρον.

436. ἐγγυαλίξει] παρὰ τὸ ἐγγυαλίζω· τοῦτο παρὰ τὸ γῶ τὸ χωρῶ καὶ δέχομαι· τοῦτο κατὰ παραγωγὴν γυῶ, ἐξ οὗ καὶ γυῖα τὰ μέλη. ἔστιν οὖν γύον καὶ κατὰ παραγωγὴν γυΐζω καὶ γυαλίζω καὶ ἐγγυαλίζω, ὃ σημαίνει τὸ εἰς χεῖρας δοῦναί τι καὶ παρασχεῖν. ἢ καὶ ἀπὸ τοῦ ἐγγῶ τὸ ἀντιφωνῶ καὶ οἰκειῶ. ἢ παρὰ τὸ ἐγγὺς καὶ τὸ ἀλίζω, ἀποβολῇ τοῦ σ̄, ἐγγυαλίζω.

443. κάρη ὄνομα οὐδέτερον αἰτιατικῆς τῶν πληθυντικῶν ἐκ τοῦ κάρηνα, οὗ ἡ εὐθεῖα τῶν ἑνικῶν τὸ κάρηνον, ἡ γενικὴ τῶν πληθυντικῶν τῶν καρήνων, ὡς τὸ "βῆ δὲ κατ' Οὐλύμποιο καρήνων" (Il. 1, 44). σημαίνει δὲ τὸ ἀκρωτήριον, ὅ ἐστι τῶν κεφαλῶν. ὅτι δὲ πεπονθός ἐστι τὸ κάρη καὶ οὐχ ὑγιὲς δῆλον. τὰ γὰρ εἰς η̄ λήγοντα οὐδέτερα οὐδέποτε ἑνικῆς πτώσεώς ἐστιν, ἀλλ' ἢ δυϊκῆς ἢ πληθυντικῆς, ὡς τὸ τείχη βέλη σκέλη. τοῦτο δὲ τὸ κάρη οὔτε εὐθείας ἑνικῆς ἐστιν οὔτε πληθυντικῆς. κατὰ συγκοπὴν οὖν ἄρα ἐστὶ τὸ κάρη ἐκ τοῦ κάρηνα.

κάρη ὄνομα οὐδέτερον αἰτιατικῆς τῶν πληθυντικῶν. ἡ εὐθεῖα τῶν ἑνικῶν τὸ κάρα. ἔστι δὲ τὸ ρ̄ᾱ καὶ μακρὸν καὶ βραχύ, ὥσπερ τὸ ἡμέρα. τὰ εἰς ᾱ λήγοντα οὐδέτερα συστέλλει τὸ ᾱ, βῆμα δῶμα, πλὴν τοῦ κάρα, ὡς λέγει ὁ τεχνικός. τὸ κάρα λίπα ἄλειφα ἀποκοπή ἐστιν. ἀεὶ δὲ ὁ ποιητὴς τῷ κάρη χρῆται. τὸ δὲ "ἐξ ὀρέων ἐπὶ κάρ" (Il. 16, 392). ἐκ ποίου λέγεται εἶναι; ἀπὸ τοῦ κάρα ἢ ἀπὸ τοῦ κάρη; λέγομεν οὖν ὅτι ἀπὸ τοῦ κάρη. εἶπον γὰρ ὅτι ὁ ποιητὴς ἀεὶ τῷ κάρη χρῆται. τὸ δὲ κάρα γίνεται ἐκ τοῦ κέρας, ὃ σημαίνει τὴν τρίχα, καὶ τροπῇ τοῦ ᾱ εἰς η̄ Ἰωνικῶς γίνεται κάρη. ἢ παρὰ τὸ κείρω τὸ κόπτω ἔκαρον.

κομόωντας] κομῶ. ἔστι δὲ συζυγίας πρώτης καὶ δευτέρας. καὶ τί σημαίνει ὅτε ἐστὶ πρώτης, καὶ τί ὅτε δευτέρας, καὶ πόσα σημαίνει; ὅτε μὲν οὖν ἐστι πρώτης, σημαίνει τὸ θεραπεύω καὶ ἐπιμελοῦμαι "τούτω μὲν θεράποντε κομείτην" (Il. 8, 113). ἐξ οὗ καὶ κατὰ παραγωγὴν κομίζω, ὡς τὸ κομίσατέ με. ὅτε δέ ἐστι δευτέρας συζυγίας τῶν περισπωμένων, σημαίνει τὸ εὐφραίνομαι καὶ ἀγάλλομαι καὶ τὸ τὰς τρίχας τρέφω. τὸ δὲ κόμη ἐκ τοῦ κόσμος· ὥσπερ γὰρ κόσμον ὁ δημιουργὸς ἐνέθηκε τῷ ἀνθρώπῳ τὰς τρίχας. ἐκ δὲ τοῦ κομῶ καὶ τοῦ ἵππος γίνεται ἱπποκόμος καὶ γηρωκόμος. βαρύνεται

δὲ τὸ ἱπποκόμος καὶ γηρωκόμος, ἐπειδὴ τὰ ἀπὸ ῥημάτων συγκείμενα ὀνόματα πρὸ μιᾶς ἔχουσι τὸν τόνον, οἷον ἱπποκόμος γηρωκόμος. εἰ δὲ ἀπὸ ὀνομάτων, ἀναβιβάζεται, οἷον "ἱππόκομον πήληκα." (Il. 16, 797.) τοῦτο γὰρ ἀπὸ τοῦ κόμη συνετέθη τοῦ ὀνόματος, καὶ οὐκ ἀπὸ ῥήματος.

455. ἀΐδηλον] ἐκ τοῦ εἴδω γίνεται ἰδνός· πολλὰ γάρ εἰσιν ὀνόματα· καὶ μετὰ τοῦ δῆλος, ὃ σημαίνει τὸ φανερός, γίνεται ἰδνόδηλος· καὶ μετὰ τοῦ στερητικοῦ α, ἀϊδνόδηλος, καὶ συγκοπῇ ἀΐδηλος.

460. χὴν χηνός· γίνεται ἐκ τοῦ ἠχῶ τὸ βοῶ· ἡ αἰτιατικὴ ἠχήν, καὶ ἀποβολῇ τοῦ η, χήν. κραυγαστικὸν γὰρ τὸ ὄρνεον.

γέρανος παρὰ τὸ τὰ ἐν τῇ γῇ σπέρματα ἐρευνᾶν, γήρευνός τις ὤν, ὃς καὶ σπερμολόγος καλεῖται.

461. Ἀσίῳ] ἡ εὐθεῖα ὁ Ἀσίας τοῦ Ἀσίου, ὡς Αἰνείας Αἰνείου Αἰνείαο Αἰνείεω. οὕτως οὖν καὶ Ἀσίεω, καὶ κατὰ συγκοπὴν Ἀσίω.

λειμὼν ἐκ τοῦ λείβω τὸ στάζω, λείψω λέλειφα λέλειμμαι λειμών.

Καΰστριος ὡς κάπριος, ἀπὸ Καΰστρου. οὗτος ὁ Κάϋστρος ἦν υἱὸς Πενθεσιλείας τῆς Ἀμάζονος, ὃς ἐν Ἀσκαλῶνι ἔγημε τὴν Δερκετὼ, ἐξ ἧς ἔσχε τὴν Σεμίραμιν, ἥτις καὶ τὰ Βαβυλώνια τείχη κατεσκεύασεν.

463. σμαραγῶ ἐκ τοῦ σμάραγος ὁ ψόφος καὶ ὁ ἦχος. γίνεται δὲ ἐκ τοῦ σπαράσσω σπάραγος, καὶ τροπῇ τοῦ π εἰς μ σμάραγος· κυρίως σμάραγος ὁ ἀπὸ σπαραγμοῦ ἦχος. ἔστι δὲ καὶ ἕτερον σμαραγῶ ὃ σημαίνει τὸ λάμπω, ἐξ οὗ σμάραγδος ὁ λίθος. γίνεται δὲ ἐκ τοῦ μαίρω τὸ λάμπω, μαρῶ, μαράσσω, καὶ πλεονασμῷ τοῦ σ σμαράσσω σμαραγῶ.

466. σμερδαλέον] ἐκ τοῦ σμερδνόν· τοῦτο παρὰ τὸ μερίζω, μεριδνός, καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ σ, σμερδνός· ἐξ αὐτοῦ σμερδναλέος, καὶ ἀποβολῇ τοῦ ν, σμερδαλέος· τῷ φόβῳ γὰρ μερίζεται ἡ ψυχὴ τῶν ὁρώντων, καὶ οὐκ ἐᾶται ἐν τῷ αὐτῷ μένειν.

κονάβιζε] ἀντὶ τοῦ ἐκ τῆς κονίας βοὴν ἀπετέλει. κυρίως γὰρ ἡ ἐκ τῆς κονίας βοή, ὡς ἄραβος ἡ ἐκ τῆς ἔρας βοή. κονία δὲ ἡ κόνις· ἐκ τοῦ καίνω, κανῶ, ἡ εἰς μικρὰ κεκομμένη καὶ τετμημένη γῆ.

471. γλάγος] τὸ γάλα. τοῦτο παρὰ τὸ καλόν, κάλα καὶ γάλα· τὸ καλὸν πρὸς ἀνατροφήν.

479. στέρνον παρὰ τὸ στερρὸν εἶναι.

ΕΙΣ ΤΗΝ Γ.

6. Πυγμαίοισι] ἐκ τοῦ πυγμή, ὅ ἐστιν εἶδος ἀγῶνος. τοῦτο παρὰ τὸ πτύσσω πτύξω, πτυγμή, καὶ ἀποβολῇ τοῦ τ πυγμή. σημαίνει δὲ ὅτι κλείοντες τοὺς δακτύλους πλήττομεν. σημαίνει καὶ τὸν γρόνθον. ἐκ τοῦ πυγμή γοῦν πυγμαῖος.

7. ἠέριαι] ὀρθριναί, ἐκ τοῦ ἀήρ ἡ ἀορασία. ἀήρ ἀέρος ἠέρος, τροπῇ τοῦ α εἰς η· ἐξ αὐτοῦ ἠερία, αἱ ἠέριαι.

18. δοῦρε] ἐκ τοῦ δρῦς δρυός, καὶ ὑπερβιβασμῷ δουρός, ἐπὶ παντὸς λεγόμενον. ἢ παρὰ τὸ δέρω τὸ ἐκδέρω, ἤγουν τὸ λεπίζω· τοῦ γὰρ φλοιοῦ λεπίζεται τὰ ξύλα· ἢ ἐκ τοῦ θορῶ, τὸ πηδῶ, θόρυ τὶ ὂν καὶ δόρυ τὸ ἐκ τῆς γῆς ἀνατρέχον. καὶ ὁ ποιητής, "ἐπεὶ οὔπω τοῖον ἀνήλυθεν ἐκ δόρυ αἴης" (Od. 6, 167).

26. αἰζηός· παρὰ τὸ αἰεὶ ζέειν καὶ ἀκμάζειν πρὸς τὴν ἡλικίαν γίνεται αἰζεός καὶ κατ' ἐπαύξησιν τοῦ ε εἰς η αἰζηός.

35. ἄψ τὸ ὀπίσω· γίνεται ἐκ τοῦ α τοῦ σημαίνοντος τὸ ὁμοῦ, καὶ πλεονασμῷ τοῦ ψ, ἄψ τὸ ὁμοκέλευθον· ὡς τὸ ἐρύω, ἀερύω, καὶ πλεονασμῷ τοῦ υ, αὐερύω, τὸ εἰς τὸ ὀπίσω, ὡς τὸ αὐέρυσαν· ἢ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ ἕψ καὶ ἄψ.

38. αἰσχρός· ὡς παρὰ τὸ κῦδος κυδρός, οὕτω καὶ ἀπὸ τοῦ αἶσχος αἰσχρός· τὸ δὲ αἶσχος ἐκ τοῦ α στερητικοῦ καὶ τοῦ ἴσχω· ἀΐσχω, αἶσχος· ὃ οὐκ ἄν τις βούλοιτο ἔχειν.

39. ἠπεροπευτής· ἐκ τοῦ ἕπω τὸ λέγω ὀπεύς καὶ πλεονασμῷ τοῦ περ καὶ μετὰ τοῦ α τοῦ σημαίνοντος τὸ κακὸν ἠπεροπεύς, τροπῇ τοῦ α εἰς η, ὡς παρὰ τὸ ἔχω ὀχεύς.

43. καγχαλόωσι] παρὰ τὸ χαλόω, καὶ κατὰ ἀναδιπλασιασμὸν καγχαλόω, παρὰ τὸ ἐν χαλάσματι γίνεσθαι τὴν ψυχὴν χαίρουσαν.

45. ἀλκή] παρὰ τὸ ἀρκῶ τὸ βοηθῶ, ἀρκή· καὶ μεταθέσει τοῦ ρ εἰς λ, ἀλκή. ἢ παρὰ τὸ ἀκμὴν τὴν ἡλικίας· τοῦτο παρὰ τὸ κμῶ τὸ κοπιῶ γίνεται κμή· καὶ μετὰ τοῦ στερητικοῦ α, ἀκμή, ἡ μὴ ταχέως κάμνουσα καὶ κοπιῶσα, ἀλλὰ φέρειν κόπους δυναμένη.

47. ἑτάρους] ἐκ τοῦ ἑταῖρος· τοῦτο ἐκ τοῦ ἔθος ἐθαῖος, ὡς δρόμος δρομαῖος· πλεονασμῷ τοῦ ρ, ἐθαῖρος· τροπῇ δὲ τοῦ δασέος εἰς ψιλὸν γέγονεν ἑταῖρος, οἱονεὶ συνήθης καὶ φίλος.

ἐρίηρας] ἄγαν εὐαρμόστους καὶ φίλους τοῦ Ἀλεξάνδρου, τουτέ-

στιν ἅρπαγας, πλεονέκτας καὶ μοιχούς. γίνεται δὲ ἐκ τοῦ ερι ἐπιτατικοῦ καὶ τοῦ ἄρω τὸ ἁρμόζω, οἱονεὶ ὁ εὐάρμοστος· ἢ παρὰ τὸ ἦρα, ὃ σημαίνει τὴν χάριν, ὡς τὸ "ἐπὶ ἦρα φέροντες."

54. κίθαρις] ἡ κιθάρα. γίνεται δὲ παρὰ τὸ κίω τὸ κινῶ κιάρα καὶ πλεονασμῷ τοῦ θ κιθάρα. ἐτυμολογεῖται δὲ παρὰ τὸ κινεῖν εἰς ἔρωτα τοὺς ἀκούοντας.

71. κρείσσων] παρὰ τὸ κρατῶ κρατείω κράσσων, τροπῇ τοῦ α εἰς ε κρέσσων, ὡς βάραθρον βέρεθρον, πλεονασμῷ τοῦ ι κρείσσων.

83. στεῦται] ὑπισχνεῖται, διαβεβαιοῦται. γίνεται δὲ ἀπὸ τοῦ στεύομαι στεύεται, καὶ ἐν συγκοπῇ στεῦται· τὸ θέμα στεύω· τοῦτο ἀπὸ τοῦ στῶ.

92. ὁππότερος] τὰ ἀπὸ τοῦ οπ ἀρχόμενα δασύνεται. τὸ ἐρωτηματικὸν πότερος, καὶ τὸ ἀναφορικὸν πλεονασμῷ τοῦ ο, ὁπότερος· καὶ τὸ π ποιητικῶς πλεονάζει, σχήματι συνθέτου. γίνεται οὖν ἐκ τοῦ ὁποῖος καὶ τοῦ ἕτερος, ὁποιότερος καὶ ὁπότερος, ὁ ἕτερος τῶν δύο.

95. ἀκήν] ἡσύχως, ἐπίρρημα μεσότητος· σημαίνει δὲ καὶ τὸ ἀφώνως. γίνεται δὲ παρὰ τὸ ἄγη, ὃ σημαίνει τὴν ἔκπληξιν, κατὰ μετάμειψιν τοῦ γ εἰς κ. ὡς ἔστι καὶ τὸ λυγαῖον, ὃ σημαίνει τὸ σκοτεινόν, λυγόφως καὶ λυκόφως, οὕτω καὶ ἄγη ἄκη, καὶ κατὰ μεταβολὴν τοῦ τόνου ἀκή, καὶ ἀκήν ἀντὶ τοῦ ἡσύχως. οἶδε γὰρ ἡ ἔκπληξις καὶ ἀφωνίαν ἐμποιεῖν· ἢ παρὰ τὸ μὴ χαίνειν.

97. τὸ δὲ κέκλυτε σημαίνει δύο, γίνεται δὲ ἐκ τοῦ κλύω τὸ δοξάζω καὶ τὸ ἀκούω. καὶ εἰ μὲν σημαίνει τὸ δοξάζω; γίνεται ἐκ τοῦ κλέος, κλέω, καὶ ὥσπερ ἀπὸ τοῦ ῥέω γίνεται ῥύω, ἀφ' οὗ καὶ ῥυτόν, καὶ ἀπὸ τοῦ χέω χύω καὶ ξέω ξύω, οὕτως καὶ ἀπὸ τοῦ κλέω κλύω, ἀφ' οὗ καὶ κλυτός, ὡς τὸ δουρικλυτός. εἰ δὲ σημαίνει τὸ ἀκούω, γίνεται ἀπὸ τοῦ κλῶ τὸ καλῶ, κλύω κλῦμι ἔκλυν κλύε κλῦθι, καὶ διπλασιασμῷ κέκλυθι· "κλῦθί μευ ἀργυρότοξε" (Il. 1, 37). ὡς καὶ ἐνταῦθα.

99. πέποσθε] ὁ μὲν Ἡρωδιανὸς ἐκ τοῦ πήθω τὸ πανθάνω, πήσω πέπηκα πέπησμαι πεπήσμεθα πέπησθε, καὶ συστολῇ τοῦ η εἰς ο. ἔνιοι δὲ ἐκ τοῦ πονῶ, πονήσω πεπόνηκα πεπόνημαι πεπόνησαι πεπονήμεθα πεπόνησθε, καὶ ἀποκοπῇ τῆς νη συλλαβῆς πέποσθε ἀντὶ τοῦ πεπόνθατε.

22. Scholion hoc ab τὸ δὲ incipit quia temere adiunctum est scholio manus primae ad hunc versum.

108. ὁπλότερος ὁ νεώτερος. ἔστι δὲ συγκριτικόν· ὡς δὲ τὸ νεώτερος καὶ πρεσβύτερος τύπῳ μέν εἰσι συγκριτικὰ, τῇ δὲ φωνῇ ἀντὶ ἁπλῶν παραλαμβάνονται, οὕτω καὶ τὸ ὁπλότερος τύπῳ μέν ἐστι συγκριτικὸν, τῇ δὲ φωνῇ ἀνθ' ἁπλοῦ παραλαμβάνεται. γίνεται οὖν παρὰ τὸ ὅπλον, ὁ μᾶλλον ὅπλα φέρειν δυνάμενος ὡς πρὸς τὸν γέροντα.

ἠερέθονται] οἱ μὲν ἐκ τοῦ αἰωρῶ καὶ σείω, οἱ δὲ ἐκ τοῦ ἀείρω τὸ ἐπαίρω. ἐξ αὐτοῦ ἀερέθω, καὶ τροπῇ τοῦ α εἰς η ἠερέθω.

112. ὀϊζυρός] παρὰ τὸ ὀϊζύς· τοῦτο παρὰ τὸ οι σχετλιαστικὸν ἐπίρρημα, ὅπερ πλεονασμῷ τῆς μοι συλλαβῆς γίνεται οἴμοι καὶ οἰμώζω, καὶ κατὰ παραγωγὴν, οἴζω. ἐξ αὐτοῦ οἰζύω, ὡς πλήθω πληθύω· καὶ διαλύσει τῆς οι διφθόγγου ὀϊζύω, ἀφ' οὗ ὀϊζυρός.

117. καρπαλίμως] ταχέως. γίνεται δὲ παρὰ τὸ τὸ κάρ ἤγουν τὴν κεφαλὴν πάλλεσθαι, διὰ τὸ ταχέως καὶ μετὰ δρόμου βαδίζειν. οἱ δὲ ἐκ τοῦ κραιπνῶς, κραίπνιμος, πλεονασμῷ τῆς αλ συλλαβῆς, καὶ τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον, καὶ ἐκβολῇ τοῦ ι, καὶ μεταθέσει τοῦ ρ, καρπάλιμος, καρπαλίμων, καὶ καρπαλίμως.

119. ἄρνα· ἡ εὐθεῖα τῶν ἑνικῶν ῥήν, τὸ πρόβατον. γέγονε δὲ ἐκ τοῦ ἀρῶ τὸ εὔχομαι, τὸ ὑπὲρ εὐχῆς διδόμενον. οἱ γὰρ παλαιοὶ δι' ἀρνῶν τὰς ἑαυτῶν θυσίας ἐποίουν. κλίνεται οὖν ῥανός, καὶ ἐν ὑπερβιβασμῷ ἀρνός, καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν, καὶ κλίνεται ἀρνός ἀρνοῦ ἀρνόν, καὶ κατὰ μεταπλασμὸν ἄρνα. γίνωσκε δὲ ὅτι ἀρνειός σημαίνει τὸν τέλειον, ἀρνός δὲ τὸν νεογνόν. οἱ δὲ λέγουσι γίνεσθαι τὸν ἄρνα ἐκ τοῦ ῥήν, καὶ μετὰ τοῦ α μορίου καὶ ἀναδόσει τοῦ τόνου, ἄρην, ἄρενος, ἄρενα, καὶ ἀποβολῇ τοῦ ε, ἄρνα.

121. λευκώλενος] παρὰ τὸ λευκός καὶ τὸ ὠλένη. ὃ σημαίνει τὸν βραχίονα· τοῦτο παρὰ τὸ δι' αὐτοῦ ὁλοῦσθαι τὰς πράξεις, τουτέστι πληροῦσθαι. ὠλέναι δὲ λέγονται τὰ ἄνω τῶν βραχιόνων. τὸ δὲ λευκός παρὰ τὸ λεύσσω τὸ βλέπω, ὡς ἐκ τοῦ ἐναντίου τὸ μέλαν τὸ μὴ βλεπόμενον, παρὰ τὸ λάω τὸ βλέπω.

122. γάλως ἡ εὐθεῖα, τῆς γάλω, καὶ πλεονασμῷ τοῦ ο καὶ ἀναδόσει τοῦ τόνου, γαλόῳ.

126. πάσσω τὸ ποικίλλω, ἐξ οὗ καὶ παστὸς ὁ γαμικὸς θάλαμος, παρὰ τὸ πάσσεσθαι ἤγουν ποικίλλεσθαι τοῖς ὑφάσμασι καὶ ἑτέροις εἴδεσιν.

139. ἵμερος· ἐκ τοῦ ἵημι τὸ προθυμοῦμαι, καὶ μετὰ τῆς ἐπί

προθέσεως, ἐφίημι, ἐφίεμαι· ἐκ τοῦ ἵημι οὖν ἵμερος καὶ ἱμείρω, πλεονασμῷ τοῦ ῑ.

141. ἀργεννῇσι] ἀπὸ τοῦ ἀργός ὁ λευκὸς ἀργεννὸς ἀργεννή· ἀργὸς δὲ ὁ λευκὸς γίνεται παρὰ τὸ ἀήρ ἀέρος ἀργός. διειδὴς γὰρ καὶ διαφανὴς ὁ ἀὴρ, ἅτε λεπτομερέστατος ὤν.

ὀθόνῃσιν] ὀθόνη ἐκ τοῦ ὄθω τὸ ἐπιστρέφομαι, οἱονεὶ τὸ μαλακὸν καὶ εὐένδυτον καὶ εὐεπίστροφον.

152. λειριόεσσαν] παρὰ τὸ λείριον τὸ ἄνθος, ὃ γίνεται ἐκ τοῦ λεῖον τὸ ὁμαλὸν λείϊον, καὶ πλεονασμῷ τοῦ ρ̄, λείριον, ὡς ἔγχος, ἔγχεϊ ἔγχει, ἐγχειίδιον, καὶ πλεονασμῷ τοῦ ρ̄, ἐγχειρίδιον.

165. πηός, ἢ ὅτι κατὰ διάλεκτον εὑρέθη παός, ἢ ἐκ τῆς παραγωγῆς αὐτοῦ. ἔστι γὰρ πῶ τὸ σημαῖνον τὸ κτῶμαι· ὁ μέλλων πάσω· ἐξ οὗ καὶ πάμμων καὶ πολυπάμμων· "πολυπάμμονος ἀνδρὸς ἐν αὐλῇ" (Il. 4, 434). παὸς καὶ τροπῇ τοῦ ᾱ εἰς η̄, πηός.

167. ἠΰς] σημαίνει δύο, τὸν γενναῖον καὶ ἰσχυρὸν, καὶ τὸν ἀγαθόν. καὶ ὁ μὲν ἰσχυρὸς παρὰ τὸ ἔω τὸ ὑπάρχω, ἐΰς καὶ ἠΰς· ὁ δὲ ἀγαθὸς ἐκ τοῦ ἡδύς, ἀποβολῇ τοῦ δ̄, ἠΰς. ἐξ οὗ καὶ τὸ θηλυκὸν ἠεῖα, ὡς τὸ "νῦν τις ἐνηείης Πατρόκλοιο" (Il. 17, 676).

172. ἑκυρὸς ὁ πενθερὸς, παρὰ τὸ πρὸς ἑαυτὸν τὴν νύμφην ἄγειν. γίνεται δὲ ἐκ τοῦ δέχω δεχύω δεχυρός, ὡς ἴσχω ἰσχύω ἰσχυρός· ἀποβολῇ οὖν τοῦ δ̄ καὶ τροπῇ τοῦ χ̄ εἰς κ̄, ἑκυρός· ἢ παρὰ τὸ κύρω τὸ ἐπιτυγχάνω, κυρὸς καὶ ἑκυρός.

175. θάλαμος] εἰ μὲν σημαίνει τὸν νέον οἶκον, ἐν ᾧ εἰσέρχονται ὅ τε νύμφιος καὶ ἡ νύμφη, γίνεται παρὰ τὸ θάλλω· δεῖ γὰρ ἐν αὐτῷ θάλλοντας εἰσιέναι τὰ σώματα, τουτέστιν ἀκμάζοντας· εἰ δὲ σημαίνει τὴν οἰκίαν, γίνεται παρὰ τὸ θάλπω, τὸ θερμαίνω.

182. ὄλβιος ἐκ τοῦ ὅλος καὶ τοῦ βίος, ὁλόβιος, ὁ πάνυ πλούσιος· ἢ παρὰ τὸ οὖλος, ὃ σημαίνει τὸν ὑγιῆ, οὐλόβιος· ἀποβολῇ τοῦ ῡ, καὶ συγκοπῇ τοῦ ο̄, ὄλβιος· φησὶ γὰρ, "οὖλέ τε καὶ μέγα χαῖρε," ἀντὶ τοῦ ὑγίαινε. ὄλβιος οὖν ὁ ἐν μηδενὶ ἐνδεής. ἔνιοι δὲ ἐκ τοῦ ὅλος, καὶ πλεονασμῷ τοῦ β̄, ὄλβος· ὅλος γὰρ ὁ ὁλόκληρος.

190. ἑλίκωπες] ἡ εὐθεῖα ἑλίκωψ. γίνεται οὖν ἐκ τοῦ ἑλίκη, ὃ σημαίνει τὴν μεγάλην ἄρκτον, ὡς καὶ Ἄρατος (37) "ἑλίκῃ γε μὲν ἄνδρες ἐὶν ἁλὶ τεκμαίροντες." δύο οὖν εἰσὶν ἄρκτοι, καὶ ἡ μὲν μεγάλη

29. * φησὶ] φασὶ

καλεῖται ἑλίκη, πρὸς ἣν ἀποβλέποντες καὶ ἀπευθύνοντες τὴν πορείαν ἐποιοῦντο· ἐκ τούτου οὖν ἐκλήθησαν ἑλίκωπες· ἡ δὲ μικρὰ κυνόσουρα.

201. κραναῆς] τραχείας. τοῦτο παρὰ τὸ κρανίον, ὅπερ ἐστὶ τραχὺ καὶ ὀστῶδες· "ἐν δ' Ἰθάκῃ οὔτ' ἂρ δρόμοι εὐρέες οὔτε τι λειμὼν αἰγίβοτος" (Od. 4, 605).

213. ἐπιτροχάδην] τὸ σύντομον καὶ ταχύ, ἐκ τοῦ τρόχος τροχάδην. τὰ γὰρ ἀπὸ ὀνομάτων εἰς ο̅ς̅ γινόμεναι ἐπιρρήματα διὰ τοῦ α̅ ἐκφέρονται, οἷον νόμος νομάδην, σπόρος σποράδην, τρόχος τροχάδην. τὸ δὲ παμπήδην ἐκ τοῦ πάμπαν.

214. παῦρα] ἀπὸ τοῦ παῦρος. σημαίνει δὲ τὸ ὀλίγον. γίνεται οὖν παρὰ τὸ παύω, παύσω, παῦρος· ὁ μὴ μέχρι πολλοῦ διήκων, ἀλλὰ ταχέως παύων. ὡς τὸ "παῦρα δασάσκετο" (Il. 9, 333).

236. δοιώ] ἡ εὐθεῖα τῶν ἑνικῶν ὁ δοιός· οἱ γὰρ Δωριεῖς τὴν ἐν τοῖς ῥήμασιν ἀναλογίαν φυλάττοντες καὶ ἐν τοῖς ὀνόμασι πλεονάζουσι τῷ ι̅. γίνεται δὲ ἐκ τοῦ δέω τὸ δεσμεύω δοός, καὶ πλεονασμῷ τοῦ ι̅ δοιός, δοιοῦ, καὶ δοιὼ δυϊκόν.

247. ἀσκός] παρὰ τὸ σχῶ τὸ κρατῶ καὶ κατέχω, καὶ τὸ α̅ ἐπιτατικόν· οἱονεὶ ὁ ὑγιὴς καὶ κατέχων τὸν οἶνον.

260. ὀτραλέως] ἔστι ῥῆμα τρῶ, τὸ φοβοῦμαι. ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν τρεύς, καὶ μετὰ τοῦ στερητικοῦ α̅ ἀτρεὺς ὁ ἄφοβος· τροπῇ τοῦ α̅ εἰς ο̅, ὀτρεύς· ἡ γενικὴ τῶν πληθυντικῶν ὀτρέων, καὶ τὸ ἐπίρρημα ὀτρέως. καὶ ὥσπερ παρὰ τὸ κάρπνιμος πλεονασμῷ τῆς α̅λ̅ συλλαβῆς γίνεται καρπάλιμος, οὕτω καὶ ἀπὸ τοῦ ὀτρέως πλεονασμῷ τῆς α̅λ̅ συλλαβῆς γίνεται ὀτραλέως.

261. ἡνία οἱ χαλινοί, παρὰ τὸ ἀνύω ἀνία καὶ ἡνία, κατὰ τροπὴν τοῦ α̅ εἰς η̅· δι' αὐτῶν γὰρ τὰς ὁδοὺς τῶν ἵππων ἀνύομεν. οἱ δὲ παρὰ τὸ εἷς ἑνός, ἑνία καὶ ἡνία· διὸ καὶ δασύνεται.

266. ἐστιχόωντο· γίνεται οὖν ἐκ τοῦ στίξ στιχός στίχες αἱ τάξεις. τὸ δὲ στίξ ἐκ τοῦ στείχω στιχῶ, ἀπὸ τοῦ στιχόω, ἐστιχόουν τὸ τρίτον τῶν πληθυντικῶν, ἐστιχοώμεθα ἐστιχόωντο· "τῆς μὲν ἰῆς στιχὸς ἦρχε Μενέσθιος" (Il. 16, 123).

281. καταπέφνῃ] ῥῆμα ὑποτακτικὸν ἀορίστου δευτέρου. τὸ ῥῆμα φένω· γίνεται οὖν ἐκ τοῦ φῶ τὸ φονεύω, ἐξ αὐτοῦ φόνος. τοῦ φένω οὖν ὁ μέλλων φενῶ, ὁ δεύτερος ἀόριστος ἔφενον, καὶ μετὰ τῆς ἐπί,

8. ἐκφέρονται] * ἐκφέρεται 15. τῷ] *τὸ

ἐπέφενον καὶ ἔπεφνον· ἡ μετοχὴ πεφνών· τὸ ὑποτακτικὸν, ἐάν πέφνω, πέφνῃς, πέφνῃ.

292. στόμαχος, σιτόμαχός τις ὢν, ὁ τοῖς σιτίοις μαχόμενος· ἢ ὅτι στόμα ἐστὶ τῶν χεομένων. ἢ ἐκ τοῦ στόμα καὶ τὸ μῆχος, τὸ μηχάνημα· ἢ παρὰ τὸ στόμα καὶ τὸ χέω· δι' αὐτοῦ γὰρ ἥ τε ξηρὰ καὶ ὑγρὰ τροφὴ πρὸς τὴν γαστέρα χεῖται.

307. μαρνάμενος· μαχόμενος. γίνεται δὲ ἐκ τοῦ μάρνημι, τοῦτο ἐκ τοῦ μαραίνω, ὃ σημαίνει τὸ φθείρω. ὁ μέλλων μαρανῶ, καὶ ἐν συγκοπῇ μαρνῶ, καὶ ἐξ αὐτοῦ μάρνημι, μάρναμαι, μαρνάμενος, οἱ δὲ, ἀπὸ τοῦ μαρνῶ. τοῦτο ἀπὸ τοῦ ἀρνός. οἱ παλαιοὶ γὰρ τὰς πραγματείας μετὰ ἀρνῶν ἐποιοῦντο, ὅθεν καὶ τὸ ἀρνῶ ἀρνοῦμαι σημαίνει. οἱ δὲ, ἀπὸ τοῦ μάρη ἡ χείρ, ἤγουν τὸ διὰ χειρῶν μάχεσθαι κατὰ Πίνδαρον· ὅθεν καὶ εὐμαρές.

343. ἐϋκνήμιδας τοὺς καλὰς κνημῖδας ἐν ταῖς κνήμαις φοροῦντας, ἤγουν φυλακτήρια. κνήμη δέ ἐστι τὸ ὄπισθεν τοῦ σκέλους, ἡ ἰγνύη. γίνεται δὲ ἐκ τοῦ κινῶ κινήσω, κινήμη καὶ κνήμη.

355. ἀμπεπαλών] μετοχή, ἀόριστος β. γίνεται δὲ ἐκ τοῦ ἀναπάλλω. οἱ δὲ Ἴωνες εἰώθασιν ἐν τοῖς ῥήμασι καὶ ταῖς μετοχαῖς ἀναδιπλασιάζειν, λάχωσι λελάχωσι, λάθῃ "λελάθῃ δ' ὀδυνάων" (Il. 15, 60).

356. ἀσπίς παρὰ τὸ σπίζω, ὃ σημαίνει τὸ ἐκτείνω καὶ μηκύνω· ὁ μέλλων σπίσω, σπίς, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀσπίς· ἡ μὴ εἰς ἔκτασιν μεμηκυμένη, ἀλλ' εἰς περιφέρειαν κεκυκλωμένη.

357. ὄβριμος γίνεται παρὰ τὸ βρι ἐπίρρημα, τὸ μεγάλως καὶ ἰσχυρῶς, βρίμος, καὶ πλεονασμῷ τοῦ ο, ὄβριμος· ἐκ τοῦ βρίμος οὖν γίνεται βριμῶ καὶ ἐμβριμῶ, τὸ ἐπιτιμῶ.

359. λαπάρα· ἐκ τοῦ λαπάζω, τὸ κενῶ· τοῦτο ἐκ τοῦ λάπαθος ἡ βοτάνη· ἔστι δὲ κενωτικὴ τῆς γαστρός· τοῦτο ἐκ τοῦ λα ἐπιτατικοῦ καὶ τοῦ πάθος, ἡ τὸ πάθος ἀπελαύνουσα. λαπάρα δέ ἐστιν ὁ κενὸς τῶν ὀστέων τόπος ὁ ὑποκάτω τῶν πλευρῶν κείμενος.

διάμησε· ἐκ τοῦ διά καὶ τοῦ ἀμῶ τὸ θερίζω. γίνεται τὸ ἀμῶ ἐκ τοῦ ἄμη ἡ δρεπάνη.

360. ἀλεύατο] ἐξέφυγε. γίνεται οὖν ἐκ τοῦ ἀλῶ τὸ πλανῶ καὶ ἐκκλίνω. τοῦτο ἐκ τοῦ λῶ, τὸ θέλω, καὶ μετὰ τοῦ στερητικοῦ α, ἀλῶ· οἱ γὰρ πλανώμενοι οὐ θέλοντες πλανῶνται, καὶ ὧν βούλονται οὐ τυγχάνουσιν.

371. ἁπαλός, παρὰ τὸ ἁφὴ γίνεται ἁφαλός καὶ ἁπαλός, ὁ τῇ ἁφῇ εἴκων. τὸ δὲ ἁφή παρὰ τὸ ἅπτω, τὸ προσεγγίζω· ὁ μέλλων ἅψω, ὁ παρακείμενος ἧφα, ἡφὴ καὶ ἁφή.

372. τρυφαλείης] κανών ἐστιν ὁ λέγων, ὅτι ὁ δύο καὶ τρεῖς, μὴ μετὰ τοῦ δέκα ἀριθμοῦ συντιθέμενος, εἰς τὰ ἐπιρρήματα τὰ δίς καὶ τρίς μεταλαμβάνονται, οἷον διπρόσωπος, ὁ δύο πρόσωπα ἔχων, τρίπους, ὁ τρεῖς πόδας. οὕτως οὖν καὶ τρυφάλεια ἡ τρεῖς φάλους ἔχουσα· τριφάλεια, καὶ κατὰ τροπὴν τρυφάλεια.

373. ἄσπετον] ἐκ τοῦ ἔπω τὸ λέγω. σπῶ, σπετός, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ, ἄσπετος, οἱονεὶ ὁ πολὺς καὶ μέγας καὶ μὴ δυνάμενος λεχθῆναι.

385. ἐτίναξε] τὸ τινάσσω ἐκ τοῦ τιταίνω τὸ ἕλκω· τιτανῶ, Αἰολικῶς τιτάνσω, καὶ ἐν ὑπερβιβασμῷ, τινάσσω· ἢ παρὰ τὸ ἴς ἡ δύναμις, ἰνός, ἰνάσσω καὶ τινάσσω.

409. εἰσόκε] ἐκ τῆς εἰς προθέσεως καὶ τοῦ ὅ ἄρθρου ἀναφορικοῦ καὶ τοῦ κέν συνδέσμου. ἔστι δὲ ἐπίρρημα χρόνου δηλωτικόν. ἀποροῦσι δέ τινες εἰ τὸ εἰσόκεν ἐν συνθέσει ἐστὶν ἢ ἐν παραθέσει· καὶ λέγομεν ὅτι ἐν παραθέσει. κανὼν γάρ ἐστιν ὁ λέγων ὅτι τὰ εἰς ε̄ λήγοντα χρονικὰ ἐπιρρήματα θέλουσιν ἔχειν πρὸ τοῦ ε̄ τὸ τ̄, ἐνίοτε ἑκάστοτε ἄλλοτε, καὶ ὅτι οὐδέποτε κατ᾽ ἀρχὰς ὁ σύνδεσμος τίθεται. ἔνιοι δὲ λέγουσιν ὅτι ἐν συνθέσει ἐστίν· οὐδέποτε γὰρ εὑρίσκεται ὁ ποιητὴς παραλαμβάνων τοῦτο τὸ ἐπίρρημα χωρὶς τοῦ κέν συνδέσμου· "εἰσόκεν ἢ ὑμεῖς Τροίην εὔπυργον ἕλητε" (Π. 7, 71). ἢ ὡς ἐνταῦθα. ἔστι δὲ εἰπεῖν ὅτι αἱ προθέσεις παρατιθέμεναι τοῖς ὀνόμασιν ἔννοιαν ἔχουσαι τοπικὴν, ποιοῦνται τὰς ὑποσχέσεις, οἷον οἴκου—ἐξ οἴκου, οἶκον—εἰς οἶκον. τὸν αὐτὸν τρόπον καὶ τὰ ἄρθρα τὰ σημαίνοντα τὴν ἀναφοράν. ἡ δὲ ἀναφορὰ ἐν τῷ χρόνῳ οὖσα καὶ λαβοῦσα τὴν παράθεσιν τῆς προθέσεως ποιεῖ σχέσιν χρονικὴν, οὗ—ἐξ οὗ, ᾧ—ἐν ᾧ. ὃν τρόπον τὸ ἐξ οἴκου, ὅτε ἀπὸ τῆς προθέσεως, οὐκέτι σχέσιν τοπικὴν σημαίνει, ὁμοίως καὶ τὸ εἰς οἶκον, τὸν αὐτὸν τρόπον καὶ τὸ εἰσόκεν· ἐὰν ἀποστῇ τὸ ἕτερον τοῦ ἑτέρου, ἐκστήσεται καὶ τὸ σημαινόμενον.

δοῦλος γίνεται παρὰ τὸ δύη ἡ κακοπάθεια· ἐξ αὐτοῦ παράγωγον ὄνομα δῦλος, καὶ πλεονασμῷ τοῦ ο̄, δοῦλος· ὁ ἐν τῷ δουλεύειν κακοπαθῶν.

5. *τὰ] τοῦ   20. *κατ᾽ ἀρχὰς ὁ] ὁ κατ᾽ ἀρχὰς

ΕΙΣ ΤΗΝ Δ.

76. στρατὸς παρὰ τὸ στερρῶς ἄττειν. ἢ παρὰ τὸ στρέφω, ἔστραμμαι, στραπτός, ὡς γέγραπται γραπτός, καὶ ἀποβολῇ τοῦ π, στρατός. ἢ παρὰ τὸ στερρῶς ἵστασθαι, στρατὸς ὁ συνεστραμμένος καὶ συνδεδεμένος ὄχλος.

137. μίτρης] ἐκ τοῦ μίτος, ἡ διὰ μίτου ὑφαινομένη.

177. τύμβος, παρὰ τὸ τύφεσθαι ἐκεῖ τὸ νεκρὸν σῶμα.

186. ὑπένερθε· ἐκ τῆς ὑπό προθέσεως καὶ τοῦ ἔνερθεν ἐπίρρημα τοπικόν. τὸ δὲ ἔνερθεν ἐκ τοῦ ἔνερος, ὃ σημαίνει τὸν νεκρὸν, ὡς τὸ "ἄναξ ἐνέρων Ἀϊδωνεύς" (Il. 20, 61). ἐξ αὐτοῦ ἐνερόθεν καὶ ἔνερθεν.

251. οὐλαμὸς ἡ συνεστραμμένη τάξις. γίνεται παρὰ τὸ εἰλῶ, ὅθεν καὶ τὰς τρίχας οὔλας φαμέν. ἢ παρὰ τὸ ὀλῶ τὸ συστρέφω.

276. ζέφυρος ὠνομάσθη διὰ τὸ πνέειν ἀπὸ ζόφου· τουτέστι τῆς δύσεως· οἱ γὰρ ἀρχαῖοι τὴν δύσιν ζόφον ἐκάλουν.

287. ἀνώγετον] ἐκ τοῦ ἀνώγω. τοῦτο ἐκ τοῦ ἀνάγω, τοῦτο ἐκ τοῦ ἄναξ, οὗ ὁ μέλλων ἀνάξω, ὁ μέσος παρακείμενος ἄνηγα· καὶ ὥσπερ ἐκ τοῦ πέπληγμαι παρακειμένου ἐγένετο ῥῆμα πεπλήγω, οὕτως καὶ ἀπὸ τοῦ ἄνηγα μέσου παρακειμένου γίνεται ἀνήγω, καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν, ἀνώγω· τοῖς γὰρ ἀνάσσουσι καὶ ἄρχουσι πέφυκε τὸ κελεύειν. ἔχει δὲ καὶ μέλλοντα ἀνώξω, ὡς τὸ "πληθὺν δὲ ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι" (Il. 15, 295).

396. πότμος] γίνεται παρὰ τὸ πέτω ποτῶ, ἐξ αὐτοῦ πότος, καὶ πλεονασμῷ τοῦ μ πότμος. σημαίνει δὲ τρία, τὸν θάνατον καὶ τὴν ἐσχάτην σύμπτωσιν τοῦ βίου, ἀπὸ τοῦ πεσεῖν· ἐπὶ δὲ τῆς τύχης παρὰ τὸ μεταπίπτειν, ἡ ὑπὸ τὴν πρώτην γένεσιν τοῦ βρέφους ἀπὸ τοῦ πεσεῖν ἐπιμεριζομένη τύχη. γίνεται γὰρ παρὰ τὸ πτῶ, ὅπερ ἐστὶ κατὰ συγκοπὴν τοῦ πίπτω, εἰς μος ὄνομα πτμός, καὶ πλεονασμῷ τοῦ ο διὰ τὴν ἀσυνταξίαν τοῦ πτμ πότμος, ὁ ποιῶν πεσεῖν εἰς γῆν. ἐπὶ δὲ τῆς τύχης παρὰ τὴν μετάπτωσιν· ὅθεν καὶ Μένανδρός φησι· "τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ."

2 et 4. στερρῶς — στερρῶς] στερῶς — στερεῶς. Correxi ex Etym. Gud. p. 513, 18.

23–31. Ex Epim. Homericis ap. Cramerum vol. 1 p. 333, 22–32.

25 et 30. τύχης Epim.] ψυχῆς

29. πτμ Epim.] πτμ

434. ἀμέλγω γίνεται παρὰ τὸ ἅμα καὶ τὸ ἕλκω, ἁμαέλκω, καὶ συγκοπῇ ἀμέλκω, καὶ τροπῇ τοῦ κ̄ εἰς γ̄, ἀμέλγω· ἅμα γὰρ τῷ τὸν μαστὸν λαβεῖν τὸ γάλα ἐξέρχεται.

513. μάρναται] μάχεται· γίνεται οὖν ἐκ τοῦ μάρνημι· τοῦτο ἐκ τοῦ μαραίνω, ὃ σημαίνει τὸ φθείρω. ὁ μέλλων μαρανῶ, καὶ συγκοπῇ μαρνῶ, καὶ ἐξ αὐτοῦ μάρνημι.

ΕΙΣ ΤΗΝ Ε.

31. βροτολοιγέ] βροτολοιγὸς παρὰ τὸ βροτὸς καὶ τὸ λοιγός· τὸ δὲ λοιγὸς ἐκ τοῦ λείπω λοιπὸς καὶ λοιγός, ὁ λεῖψιν τῶν ἀνθρώπων ἐργαζόμενος.

89. γέφυρα παρὰ τὸ γῆ καὶ τὸ φύρω, τὸ ἀναμιγνύω· ἡ ἐφ' ὑγρῷ τόπῳ κειμένη. ἢ ἡ τῇ γῇ φυραθεῖσα.

91. ὄμβρος] γίνεται παρὰ τὸ ὁμοῦ καὶ τὸ ῥέω. ὁμόροος τις ὢν καὶ ἐν συγκοπῇ ὄμρος. καὶ ἐπεὶ πρὸ τοῦ ρ̄ οὐ δύναται εἶναι τὸ μ̄, πλεονάζει τὸ β̄ καὶ γίνεται ὄμβρος.

94. πυκινή· παρὰ τὸ πετύω πετύσω καὶ πτύσσω. ἄλλο γὰρ οὐ σημαίνει τὸ πτύσσω, εἰ μὴ τὸ ἐπιπίπτειν ἕτερον πρὸς τὸν ἕτερον.

194. πέπλος. ἐκ τοῦ πρέπω πρέπαλος καὶ κατὰ ἀποκοπὴν πέπλος.

358. χρυσάμπυκας] ἄμπυξ σημαίνει δύο, τὸ γυναικεῖον ἀνάδεμα, ὡς τὸ "ἄμπυκα κεκρύφαλον" (Il. 22, 469). καὶ τὸν χαλινόν, ὡς ἐνταῦθα.

372. ῥέζω σημαίνει τρία, τὸ πράττω, ὡς τὸ "νῦν δὲ τόδε μέγ' ἄριστον ἐν Ἀργείοισιν ἔρεξεν" (Il. 2, 274). καὶ τὸ θύω, ὡς τὸ "ἄλλος δ' ἄλλῳ ἔρεξε θεῶν ἀειγενετάων" (ib. 400). καὶ τὸ τῇ χειρὶ καταψῶ, ὡς ἐνταῦθα.

388. ἆτος ὁ ἀκόρεστος. γίνεται ἐκ τοῦ ἄω, τὸ εἰς κόρον ἄγω, ἐξ οὗ καὶ τὸ κορέσαι ὡς τὸ "αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν" (Il. 5, 289).

443. τυτθόν] τὸ μικρὸν ἔμβρυον. γίνεται οὖν ἐκ τοῦ τιτθή, ὃ σημαίνει τὸν μαστόν, καὶ τροπῇ τοῦ ῑ εἰς ῡ τυτθόν καὶ τυτθή.

ὀπίσσω] ἐπίρρημα τοπικόν, σχέσεως τῆς ἐν τόπῳ. σχέσεις δὲ τῶν τόπων εἰσὶν ϛ', ἄνω, κάτω, ἔμπροσθεν, ὄπισθεν, δεξιά, ἀριστερά.

14. * ὄμρος] ὄμβρος * τὸ μ̄] om.

γίνεται δὲ ἐκ τοῦ ὀπίζω τὸ ἀκολουθῶ καὶ κατόπιν διώκω· τὸ δὲ ὀπίζω ἐκ τοῦ ὄπις ἡ ἐπιστροφὴ, ὡς τὸ "θεῶν ὄπιν οὐκ ἀλέγοντες" (Il. 16, 388).

444. ἀλευάμενος] γίνεται ἐκ τοῦ ἀλῶ τὸ ἐκκλίνω καὶ πλανῶ. τὸ ἀλῶ ἐκ τοῦ λῶ τὸ θέλω, καὶ μετὰ τοῦ στερητικοῦ ᾱ, ἀλῶ. οἱ γὰρ πλανώμενοι οὐ θέλοντες πλανῶνται, καὶ ὧν βούλονται οὐ τυγχάνουσιν.

521. ἰωκή. ἡ δίωξις. διωκή ἦν καὶ ἀποβολῇ τοῦ δ̄ ἰωκή.

528. φοιτῶ. παραγίνομαι. γίνεται δὲ ἐκ τοῦ ὁδὸς, ὅπερ ἀπὸ τοῦ ἔω τὸ πορεύομαι γίνεται. λοιπὸν ἐκ τοῦ ὁδός γίνεται περισπώμενον ῥῆμα ὀδῶ, καὶ πλεονασμῷ τοῦ ῑ, οἰδῶ. καὶ τροπῇ τοῦ δ̄ εἰς τ̄ οἰτῶ. καὶ πλεονασμῷ τοῦ φ̄, φοιτῶ· οὐδεὶς γὰρ φοιτᾶν οἶδεν, εἰ μὴ πορείαν ποιῆται, ἥτις τὴν ὁδὸν σημαίνει.

579. κληῒς ἐκ τοῦ κλείω τὸ ἀσφαλίζω κλείσω κλείς· καὶ ἐν διαλύσει κλεῒς· καὶ τροπῇ τοῦ ε̄ εἰς η̄, κληῒς.

586. κύμβαχος γίνεται παρὰ τὸ κυφὸν, τουτέστι τὸ περιφερὲς καὶ περιαγὲς, οἱονεὶ τὸ σκεπάζον τὸ βρέγμα· κύμβη γὰρ ἡ κεφαλὴ, ἔνθεν τὸ κυβιστᾶν (κυμβιστᾶν codex).

748. πρυλέεσσι] πεζοῖς. ὥσπερ δ' ἀπὸ τοῦ δαμάζω δαμάσω δάμαλις, οὕτως ἀπὸ τοῦ περῶ περύω περύσω πέρυλις καὶ συγκοπῇ πρύλις.

800. ἢ ὀλίγον] ἀντὶ τοῦ κατ' οὐδέν.

ΕΙΣ ΤΗΝ Ζ.

94. ἦνις. ἔνος ὁ ἐνιαυτὸς, παρώνυμον ἔνις, καὶ τροπῇ τοῦ ῑ εἰς η̄ ἦνις ἤνιος Ἰωνικῶς. ἤνιας ἦνις συναλιφῇ, τὰς ἑνὸς οὔσας ἐνιαυτοῦ.

95. ἄστυ παρὰ τὸ ἄνω ἵστασθαι· οἱ γὰρ ἀρχαῖοι τὰς πόλεις ἐφ' ὑψηλῷ τόπῳ ᾠκοδόμουν.

381. τρεερὸς καὶ κράσει τῶν δύο εε̄ εἰς η̄ τρηρὸς ὁ δειλός· οὗ παρώνυμον τρήρων καὶ μετὰ τοῦ στερητικοῦ α ἀτρηρός, τουτέστιν ὁ δραστικὸς καὶ ἐρρωμένος τὴν γνώμην καὶ μὴ δειλὸς, καὶ τροπῇ τοῦ ᾱ εἰς ο̄ ὀτρηρός. καὶ ἀτρεύς κατὰ στέρησιν τοῦ τρεῖν ἐγένετο, ὅ ἐστι φοβεῖσθαι καὶ κατὰ μετάθεσιν τοῦ ᾱ εἰς ο̄ ὀτρεὺς, ἡ γενικὴ ὀτρῆος, ὡς τὸ "λαοὺς δ' Ὀτρῆος" (Il. 3, 186).

467. κόλπον] παρὰ τὸ κοῖλον, ὃ σημαίνει τὸ βαθὺ, κόλος καὶ πλεονασμῷ τοῦ π̄ κόλπος.

ΕΙΣ ΤΗΝ Η.

212. νέρθεν, κάτωθεν. γίνεται οὖν ἐκ τοῦ ἔνερος, ὃ σημαίνει τὸν νεκρὸν, ὡς τὸ "ἄναξ ἐνέρων Ἀϊδωνεύς." ἐξ αὐτοῦ ἔνερος ἔνερθεν καὶ ἀποβολῇ τοῦ ε νέρθεν. οὕτως οὖν καὶ τὸ ὑπένερθεν ἐκ τῆς ὑπό προθέσεως καὶ τοῦ ἔνερθεν.

243. λάθρῃ. ἐκ τοῦ λήθω τὸ λανθάνω ἔλαθον λάθω, ἀφ' οὗ λάθρα. ὁ γὰρ λάθρα τι ποιῶν ὑπολανθάνειν πολλοὺς εἴωθεν.

291. ὕστερον· ὥσπερ παρὰ τὴν πρό πρόθεσιν γίνεται πρότερος καὶ παρὰ τὴν ὑπέρ ὑπέρτερος, οὕτω καὶ παρὰ τὴν ὑπό ὑπότερος καὶ κατὰ συγκοπὴν ὕπτερος καὶ τροπῇ τοῦ π εἰς σ ὕστερος.

319. τετύκοντο] ἀπὸ τοῦ τεύχω ὁ δεύτερος ἀόριστος ἔτυχον, ὡς ἐλεύθω ἤλυθον ὁ παθητικὸς μέσος ἀόριστος ἐτυχόμην· ἰστέον δὲ ὅτι πολλάκις ὁ β' ἀόριστος ἀναδιπλασιάζεται καὶ γίνεται τέτυχον τετυχόμην τετυχόμεθα τετύχεσθε τετύχοντο καὶ τροπῇ τοῦ χ εἰς κ τετύκοντο.

410. τὸ ὦκα ἐκ τοῦ ὠκέα ὦκα. τὸ δὲ ὠκέα ἐκ τοῦ ὠκύς. τὸ δὲ ὠκύς παρὰ τὸ ἀκή, ὃ σημαίνει τὴν ὀξύτητα καὶ τὸ οὐδέτερον ἀκύ ἀκέα ἄκα καὶ τροπῇ τοῦ α εἰς η ἧκα. ἐτράπη δὲ τὸ α εἰς ω, καὶ ὥσπερ ἀπὸ τοῦ φάρος, ὃ σημαίνει τὸ ἱμάτιον, γίνεται φαριαμός καὶ φωριαμός, οὕτω καὶ ἀπὸ τοῦ ἄκα τροπῇ τοῦ α εἰς ω ὦκα.

413. ἄψορρον] ὀπισθορμήτως. ἔστι δὲ μεσότητος ἐπίρρημα. γίνεται δὲ ἐκ τοῦ ἄψ τοῦ σημαίνοντος τὸ ὀπίσσω καὶ τοῦ ὄρω τὸ διεγείρω, πλεονασμῷ τοῦ ρ ποιητικῶς. τὸ δὲ ἄψ γίνεται ἐκ τοῦ α τοῦ σημαίνοντος τὸ εἰς τὸ ὀπίσω (οὐ μόνον γὰρ τὸ α σημαίνει τὸ ὁμοῦ)· καὶ πλεονασμῷ τοῦ ψ γίνεται ἄψ, καὶ ἐρύω αὐερύω τὸ εἰς τὸ ὀπίσω, πλεονασμῷ τοῦ υ, ὡς τὸ "αὐέρυσαν μὲν πρῶτα" (Il. 1, 459). οἱ δὲ τὸ ἄψ παρὰ τὸ ἕπω τὸ ἀκολουθῶ· ὁ μέλλων ἕψω, ἕψ καὶ ἄψ.

479. ἐκ τοῦ σμερδνόν. τοῦτο ἐκ τοῦ μερίζω μεριδνὸν καὶ συγκοπῇ καὶ πλεονασμῷ τοῦ σ σμερδνόν καὶ ἐξ αὐτοῦ σμερδναλέον καὶ ἀποβολῇ τοῦ ν σμερδαλέον. μερίζεται γὰρ ἡ ψυχὴ τῶν ὁρώντων τῷ φόβῳ καὶ οὐκ ἐᾷ ἐν τῷ αὐτῷ μένειν.

ΕΙΣ ΤΗΝ Θ.

176. πῆμα. ἐκ τοῦ πήθω πῆμα· ἐξ οὗ καὶ πημαίνω, ὥσπερ ἀπὸ τοῦ δεῖμα δειμαίνω.

182. τὸ πρῆσαι σημαίνει δύο· τὸ καίω ὡς ἐνταῦθα καὶ "πρῆσεν δὲ πυρὸς δηΐοιο θύρετρα" (Il. 2, 415). καὶ τὸ φυσῶ, ὡς "πρῆσεν δ' ἄνεμος μέσον ἱστίον" (Il. 1, 481). καὶ "δάκρυ' ἀναπρήσας" (Il. 9, 433) ἀντὶ τοῦ ἀναφυσήσας. ὅθεν καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ τοὺς πεφυσημένους πεπρησμένους λέγομεν.

230. ἄτη γίνεται ἐκ τοῦ ἄετος ὁ μάταιος καὶ ψευδής, ὃ γέγονεν ἐκ τοῦ ἐτεός. τὸ θηλυκὸν ἀετή καὶ κράσει τοῦ ᾱ καὶ ε̄ εἰς ᾱ μακρὸν ἄτη, καὶ ἔστι μακρὸν τὸ ᾱ. γίνεται δὲ καὶ ἐκ τοῦ τῶ τὸ λαμβάνω ὡς τὸ "τῆ Κύκλωψ πίε οἶνον" (Od. 9, 347) καὶ μετὰ τοῦ στερητικοῦ ᾱ ἄτη, ἣν οὐδεὶς θέλει λαβεῖν.

434. φάτναις παρὰ τὸ ἐν αὐταῖς ἱσταμένους τοὺς ἵππους κάπειν, ὅ ἐστιν ἐσθίειν.

ΕΙΣ ΤΗΝ Ι.

2. θεσπεσίη. γίνεται παρὰ τὸ θεός καὶ τὸ πέω τὸ πίπτω, πέσω πέσιος θεοσπέσιος καὶ κατὰ συγκοπὴν θεσπέσιος.

570. τὸ πρόχνυ σημαίνει δύο· τὸ πρόγονυ ὡς ἐνταῦθα, καὶ τὸ παντελῶς, ὡς τὸ "πρόχνυ, ἐπεὶ πολλῶν ἐπὶ γούνατ' ἔλυσε" (Od. 14, 69).

ΕΙΣ ΤΗΝ Κ.

26. βλέφαρον παρὰ τὸ ἐν τῷ βλέπειν αἴρεσθαι, ἢ παρὰ τὸ τοῦ βλέμματος φᾶρος εἶναι.

51. δολιχόν. διαφέρει τὸ δόλιχος τοῦ δολιχός. προπαροξυνόμενον γάρ ἐστιν εἶδος ὀσπρίου (ὀσπρέου B), ὀξυνόμενον δὲ σημαίνει τὸν μακρόν.

135. ἐκ τοῦ ἀκάζω γίνεται, ὃ σημαίνει τὸ ἀκονῶ, ὁ μέλλων ἀκάσω, ὁ παρακείμενος ἤκακα, ὁ παθητικὸς ἤκασμαι, ἡ μετοχὴ ἠκασμένος, καὶ τροπῇ τοῦ σ̄ εἰς χ̄ καὶ Ἰωνικῇ συστολῇ τῆς ἀρχούσης ἀκαχμένος. ἀκαχμένον δὲ λέγει τὸ ἐστιλβωμένον.

204. τίς σημαίνει ιβʹ. αʹ ἐρώτησιν, ὡς τὸ "τίς ἐστιν οὗτος ὁ

βασιλεὺς τῆς δόξης;" καὶ Ὅμηρος "τίς πόθεν εἷς ἀνδρῶν;" (Od. 1, 170). β' ἀπόφασιν, ἥτις αὐτοῦ μάλιστα μάχεται, τίς—οὐδείς. "καὶ τίς ἔγνω νοῦν κυρίου;" καὶ Ὅμηρος "τίς ἂν τάδε γηθήσειε;" (Il. 9, 77). γ' ἀόριστον. "ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι·" καὶ Ὅμηρος "εἰ δέ τίς ἐσσι βροτῶν οἳ ἀρούρης καρπὸν ἔδουσι" (Il. 6, 142). δ' προσδιορισμὸν, ὡς τὸ "εἰσί τινες τῶν ὧδε ἑστηκότων·" καὶ Ὅμηρος "ὦ φίλοι, οὐκ ἂν δή τις ἀνὴρ πεπίθοιθ' ἑῷ αὐτοῦ θυμῷ τολμήεντι μετὰ Τρῶας μεγαθύμους ἐλθεῖν." ε' ἀγανάκτησιν, τουτέστιν ἐπιτίμησιν, ὡς τὸ "τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ" καὶ "τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστήν" καὶ "τίς ἐστιν ὁ κρύπτων βουλήν·" εἰ δέ τις ἐρωτηματικῶς ταῦθ' ὑπολάβοι, ἄγνοιαν κατηγορήσει. καὶ Ὅμηρος "τί δὲ δεῖ πολεμιζέμεναι Τρώεσσιν Ἀργείους· τί δὲ λαὸν ἀνήγαγεν ἐνθάδ' ἀγείρας" (Il. 9, 337). ς' εὐτέλειαν· "τίς εἰμι ἐγὼ, κύριε, καὶ τίς ὁ οἶκος τοῦ πατρός μου;" καὶ Ὅμηρος "ἔπειτα δὲ καί τι πάθοιμι" (Il. 21, 274) καὶ "τί νύ μοι μήκιστα γένηται;" (Od. 5, 299). ζ' σπάνιν· "τίς σοφὸς καὶ φυλάξει ταῦτα·" "τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν·" εἰ γὰρ καὶ μὴ πάντες, ἀλλ' οὖν τινές. καὶ Ὅμηρος "τίς δ' αὖ τοι δολομῆτα θεῶν συμφράσσατο βουλάς" (Il. 1, 540)· οὐ γὰρ ἐρωτηματικῶς ἐνταῦθα κεῖται τὸ τίς, ἐπεὶ οὐκ ἠγνόει ἡ Ἥρα τὴν τῆς Θέτιδος βουλήν. η' θαυμασμὸν, ὡς τὸ "τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ;" καὶ "τίς ἐστιν οὗτος, ὅτι καὶ ἡ θάλασσα καὶ οἱ ἄνεμοι ὑπακούουσιν αὐτῷ;" καὶ Ὅμηρος "τίς δὲ σύ ἐσσι φέριστε καταθνήτων ἀνθρώπων;" Il. 6, 123). θ' εὐχὴν ἐξ ἀμηχανίας· "τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ;" καὶ "τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;" ι' προκλητικόν· "τίς ἀπατήσει τὸν Ἀχαάβ;" καὶ "τίνα ἀποστελῶ;" καὶ "τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον;" καὶ Ὅμηρος "τίς κέν μοι τόδε ἔργον ὑποσχόμενος τελέσσει" (303)· ια' τὸ βραχὺ καὶ ἄτονον καὶ ὀλιγόχρονον τοῦ βίου, ὡς τὸ "τίς μου ἡ ἰσχὺς, τί ὑπομένω; ἢ τίς μὲν ὁ χρόνος ὅτι ἀνέχομαι;" ιβ' διαπόρησιν, ὡς τὸ "τίς ἂν γνοίη ὅτι εὕροιμι αὐτόν;" καὶ "τίς οἶδεν εἰ ἐπιστρέψω;" καὶ Ὅμηρος "τίς οἶδε εἰ καὶ αὐτὸς φίλης ἐπὶ νηὸς τῆλε φίλων ἀπόληται ἀλώμενος ὥσπερ Ὀδυσσεύς" (Od. 2, 352).

30. τί ὑπομένω Bekk.] ὅτι ὑπομενῶ

361. κεμὰς ὁ κοιμώμενος ἔλαφος. γίνεται δὲ ἐκ τοῦ κέω τὸ κοιμῶμαι.

374. τρισὶν ὁ Ἡρωδιανὸς παραγωγαῖς τοῦθ' ὑπέβαλε· πρῶτον μὲν ἐκ τοῦ ταράσσω τάραβος καὶ τάρβος· δεύτερον, ὅτι ἐκ τοῦ τρέπω, ὁ δεύτερος ἀόριστος ἔταρπε, τάρπος, καὶ τροπῇ τοῦ π εἰς β τάρβος· οἱ γὰρ εὐλαβούμενοι φεύγουσιν· τρίτον, ὅτι τείρω τὸ καταπονῶ, ὁ δεύτερος ἀόριστος ἔταρον, τάρος, καὶ πλεονασμῷ τοῦ β τάρβος, καὶ ῥῆμα ταρβῶ "τάρβησέν τε."

418. ἐσχάρα σημαίνει ε', τὴν πυρὰν, καὶ τὴν ἑστίαν, καὶ τὸ ῥυπαρὸν καὶ καυθὲν ἕλκος, καὶ τὸν βωμὸν, ὡς παρ' Εὐριπίδῃ ἐν Ἡρακλεῖ, καὶ τὴν κυρίως λεγομένην.

ΕΙΣ ΤΗΝ Ν.

152. ἐκ τοῦ ἀρτύω. τοῦτο παρὰ τὸ ἀρτῶ, τοῦτο παρὰ τὸ ἄρω τὸ ἁρμόζω. ὁ μέλλων ἀρῶ καὶ Αἰολικῶς ἄρσω. καὶ ἄρτος ὄνομα ῥηματικόν. ἐκ δὲ τοῦ ἀρτῶ ἀρτίζω καὶ καταρτίζω. ἐκ γοῦν τοῦ ἀρτύω γέγονεν ἀρτύνω.

244. ἀρίζηλος ὁ διάδηλος καὶ φανερός. καὶ γίνεται ἐκ τοῦ ἀρι ἐπιτατικοῦ μορίου. τοῦτο ἐκ τῆς περί προθέσεως. αὕτη γὰρ ἡνίκα ὀξύνεται, τὸ περισσῶς σημαίνει "περὶ μέν σε τίω" (Il. 4, 257) καὶ Δωρικῷ ἔθει τρέπεται τὸ ε εἰς α, ἡνίκα δὲ τραπῇ, ἀποβάλλει καὶ τὸ κατ' ἀρχὰς σύμφωνον, οἷον μέχρι ἄχρι, τουτέστι πέρι καὶ Δωρικῶς ἀρί τὸ περισσῶς. καὶ τὸ δῆλος, ὃ σημαίνει τὸν φανερὸν, ἀρίδηλος ὁ πάνυ φανερός. τὸ δὲ δῆλος παρὰ τὸ δαλός, ὃ σημαίνει τὸν πεπυρακτωμένον σίδηρον, καὶ ἀναδόσει τοῦ τόνου καὶ τροπῇ τοῦ α εἰς η δῆλος καὶ μετὰ τοῦ ἀρι ἀρίδηλος καὶ πλεονασμῷ τοῦ σ ἀρίσδηλος, καὶ ἐπειδὴ τὸ ζ ἐκ τοῦ σ καὶ δ σύγκειται συναιρέσει τοῦ σ καὶ δ εἰς ζ γίνεται ἀρίζηλος.

269. ἀλκή. παρὰ τὸ ἀρκῶ τὸ βοηθῶ ἀρκή καὶ μεταθέσει τοῦ ρ εἰς λ ἀλκή· ἢ παρὰ τὴν ἀκμὴν τὴν ἡλικίαν, τοῦτο παρὰ τὸ κμῶ τὸ κοπιῶ γίνεται κμή καὶ μετὰ τοῦ στερητικοῦ α ἀκμή, ἡ μὴ ταχέως κάμνουσα καὶ κοπιῶσα, ἀλλὰ φέρειν κόπους δυναμένη.

305. ἤϊσαν ἐπορεύοντο. γίνεται δὲ ἀπὸ τοῦ εἶμι τὸ πορεύομαι ὁ ἀόριστος εἶσα. τὸ γ' τῶν πληθυντικῶν εἶσαν καὶ διαλύσει ἔϊσαν καὶ ἐκτάσει ἤϊσαν.

ADDENDA.

Addendis ad volumen primum et secundum in fine voluminis secundi p. 383—392 expositis nunc haec accedant partim ab me ipso animadversa partim ab aliis viris doctis suppeditata, inter quos tres sunt in his studiis eximie versati, Augustus Nauckius, qui nonnulla per litteras mecum communicavit, Adolphus Roemerus et Mauricius Schmidtius, qui censuras duorum primorum voluminum scripserunt, et Schmidtius quidem in Ephemeridibus Ienensibus a. 1876. nr. 36 p. 572. sq., Roemerus vero in Fleckeiseni Annalibus vol. 114 (a. 1876), p. 433—452. Idem eodem fere mense quo editio mea Oxonii prodibat Monachii commentationem ediderat *de operibus Aristarcheorum**, in qua de ratione egit quae inter codicis Veneti A scholia longiora marginalia et breviora intermarginalia intercedit collatisque inter se utriusque generis scholiis non paucis idem fere tulit iudicium quod ego in Praefatione editionis meae p. vii. Idem, antequam mea uti ei liceret editione, magnam codicis Veneti A partem ipse cum Bekkeri editione contulerat eadem, ut nunc manifestum fit, diligentia, quam C. G. Cobetus et D. B. Monro mihi praestiterunt. Quo factum est ut quae in utraque collatione ex altera vel suppleri vel corrigi possint levissimi sint momenti et maxima ex parte ita comparata ut sine ullo lectorum detrimento taceri potuissent, ut ex Addendis quae infra posui intelligetur.

VOL. I.

Praef. p. xiii in annot. lin. 2 pro 173 corrige 175.

Praef. p. xxviii. Quod de Etymologici Magni excerptis Aristoniceis dixi exigui ea usus esse ad emendandas codicis Veneti A scripturas, idem dicendum est de Etymologici excerptis ex Herodiani Ἰλιακῇ προσῳδίᾳ, quae saepissime ex codice

* *Die Werke der Aristarcheer im Cod. Ven. A. von Adolf Roemer. Separatabdruck aus den Sitzungsberichten Bd. II. Heft* 3 *der philos.-philol. Classe der K. Akademie der Wissenschaften* (Sitzung vom 6 November 1875.) *München,* 1875.

Veneto A corrigi et suppleri possunt, ipsa vero prope nihil praebent quo quis ad codicis Veneti scholia Herodianea vel corrigenda vel augenda uti possit. Quod collatis inter se Etymologici M. et codicis Veneti A excerptis Herodianeis clarissima in luce collocavit Otto Carnuthius in commentationis "*De Etymologici Magni fontibus*" parte altera nuperrime Berolini edita (a. 1876), in qua agitur "*de iis locis qui ex Herodiani Iliaca prosodia in Etymologicum Magnum translati sunt.*"

Praef. p. xxix. Scholia codicis Athoi ad partes Iliadis ex codice Veneto A ablatas, quae ex Duchesnii apographo editioni meae inserui, quia nonnulla continent ex scholiis vetustis Alexandrinis petita, quae in Veneto A, quum adhuc integer esset, exstitisse verisimile est, postea comperi non plena esse, sed excerpta tantum continere scholiorum et glossematum, quae Duchesnius brevi post integra edidit in *Archives des Missions scientifiques, tome III, première livraison, Paris*, 1876, p. 365—377, ex quibus in apographo ad me misso ea tantum excerpsit quae notatu digna viderentur, tam prudenti habito delectu ut in editione integra pauca tantum repererim, quae in excerptis mihi missis omissa esse nollem, quae nunc addam. Pleniore Duchesnii apographo nuper etiam Ed. Tournier usus est in censura editionis meae (*Revue critique* 1876 *No.* 46 p. 305—311) et Alexis Pierron in Odysseae ed. Paris. vol. i. p. LXXIII.

E (5).

337. Ad vocabulum εἶθαρ in scholiis editis nihil annotatum legitur praeter brevem observationem codicum Lipsiensis et Townleiani, εἶθαρ: τινὲς κατ' ἰθύ, ἢ ἀντὶ τοῦ ταχύ, in codice vero Athoo plenius, ἀπὸ τοῦ εὐθύς γίνεται εὖθαρ καὶ εἶθαρ κατὰ τροπὴν τοῦ ῡ εἰς ῑ, ὥσπερ Ἀφροδύτη Ἀφροδίτη καὶ δύφρος δίφρος· τὸ δὲ ἰθύς ὡς ἐπὶ τὸ πολὺ ἀντὶ τοῦ ἐπ' εὐθείας, οἱ δὲ νεώτεροι συγχέουσιν. ubi verba postrema unum ex antiquioribus produnt grammaticis, qui passim observarunt discrimina vocabulorum ab veteribus observata, ab recentioribus vero scriptoribus neglecta esse. Sic οἱ δὲ νεώτεροι συγχέουσιν dixit Aristonicus ad Il. 3. 184. 24, 545.

387. χαλκέῳ: ὅτι καταχρηστικῶς τὸν χάλκεον πίθον κέραμον εἴρηκεν. Haec quoque ex scholio antiquo petita esse docet ὅτι particula, quae ad σημεῖον (διπλῆν) refertur quod huic versui praescriptum fuit. Idem redit infra ad v. 511, quod ex

Duchesnii apographo edidi, ὅτι προενεκτέον ἀρηγών ὡς ἀηδών· λέγει γὰρ καὶ ἀλλαχοῦ (Il. 4, 7) ἀρηγόνες ὡς ἀηδόνες. Ad 17, 425. χάλκεον: ὅτι πρὸς τὸν Ὄλυμπον ἀντιδιέσταλται, pariterque ad 17, 492. 19, 149. 176. 276. Plena formula usus est scholiasta Athous ad 17, 366 p. 139, 27, ed. Oxon. ἡ διπλῆ δὲ ὅτι Ζηνόδοτος γράφει—, iisdemque verbis ad 17, 551 p. 140, 27 et ad 19, 225 p. 188, 27. Porro in scholio ad 17, 387 p. 140, 2. τὸ δὲ σημεῖον ὅτι ἰδίως εἶπεν. ad 17, 447 p. 140, 11. σημεῖον, ὅτι πᾶν μὲν ἔμψυχον ὑποπέπτωκεν ἀτυχίᾳ, πλέον δὲ ὁ ἄνθρωπος, quae iisdem verbis leguntur in Veneto B, sed omisso ὅτι.

In scholio v. 424. (p. 216, 15 ed. Oxon.) codex habet εὐχρυσῇ βελόνῃ, quod recte in εὐχρύσῳ βελόνῃ mutavit Duchesnius.

In scholio v. 626. pro ἐπλεόνασε τὸ μέτρον recte Duchesnius scripsit ἐπλεόνασε διὰ τὸ μέτρον.

P (17).

425. ὅτι πρὸς τὸν Ὄλυμπον ἀντιδιέσταλται. Sic codex, non διέσταλται, ut ex apographo Duchesnii in editione Oxon. p. 140, 5. legitur.

751. P. 146, 10 in codice non est οὕτως Ἀρίσταρχος, sed οὕτως αἱ Ἀριστάρχου.

T (19).

193. P. 188, 14. κούρητας—εἴπομεν δὲ ἤδη περὶ τῆς προσῳδίας] Respicit ad scholion Herodianeum ad Il. 9, 529 p. 328, 13 ed. Oxon.

Omittimus copiosa quae ex codice Athoo Duchesnius edidit glossemata, in quibus nihil memorabile deprehendi; nam magna ex parte eadem sunt quae inter scholia minora leguntur ab Iano Lascari edita Romae 1517. De externa codicis conditione haec prodidit Duchesnius p. 365: "Le manuscrit est en papier de chiffre, du XVe siècle. Cette date se déduit de l'écriture, dont on trouvera un *fac-simile* plus loin (p. 443) et d'ailleurs elle a été inscrite sur le manuscrit lui-même par une personne dont la compétence n'est pas douteuse. Il ne contient autre chose que l'*Iliade*, dont le texte est encadré dans une série de scholies très-abondantes au commencement, rares à la fin et de mains différentes: deux de ces mains seulement m'ont paru contemporaines de l'écriture primitive. La première est celle du copiste lui-même, la seconde est à peine postérieure. On lui doit un certain nombre de comparaisons entre le texte d'Homère et

les passages parallèles de Virgile, dont les vers sont quelquefois cités, en écriture italienne du XVe siècle. Il serait difficile de déterminer l'origine de ce manuscrit. Sur le dernier feuillet de garde, très-avarié, on lit en caractères gothiques cursifs :

1460 Luizi d . . . .

Visū *p.* me Francesco d . . . .

Les deux noms propres de la fin sont encore plus effacés que le reste, de sort que l'on n'en peut rien déchiffrer. Cependant la forme *Luizi* semble indiquer un propriétaire vénetien."

Apparet ex his verum esse quod in fine Praefationis dixi, non indignum esse hunc codicem qui totus excutiatur, quum ad alias quoque rhapsodias plura conservasse possit quae in scholiis vetustis Alexandrinis olim lecta in ceteris, quibus adhuc usi sumus codicibus, non legantur.

Scholiorum p. 1 et 2. Aristonici Praefationem, cuius fragmentum in folio codicis Veneti A octavo detexit Cobetus, eodem scriptam fuisse patet consilio quo alii nonnulli aevi Augustei proximorumque seculorum grammatici de signis criticis disseruerunt, etsi finibus circumscriptam arctioribus, quum Aristonico non de omnibus, sed de solius Aristarchi *σημείοις* agendum esset, quae per commentarios criticos sparsa coniunctim et ordine in Praefatione explicari non inutilis etiam doctioribus lectoribus, qui talia curarent, labor fuit. Et sic alii quoque grammatici interdum lectorum commodis consuluerunt praemissis Praefationibus quibus librorum ab se scriptorum argumentum et consilium summatim exponerent : ex quo genere Erotiani Praefationem Lexici Hippocratei memoravit Cobetus, cui addere poterat Herodiani librorum duorum *περὶ μονήρους λέξεως* Praefationem. Huiusmodi autem in Praefationibus grammatici vulgare quo uti solent genus scribendi interdum ornatae vel figuratae orationis luminibus distinxerunt. Sic Herodianus in Praefatione sua p. 4, 30. analogiam, de qua multus in scriptis eius sermo est, cum reti comparavit quod fluxam et variabilem hominum linguam contineret, *ἡ πάσης λέξεως Ἑλληνικῆς ποιοῦσα πρόνοιαν ἀναλογία καὶ ὡσπερεὶ ἐν δικτύῳ συνέχουσα τὸ πολυσχιδὲς τῆς τῶν ἀνθρώπων γλώσσης φθέγμα τῇ τέχνῃ.* Porro in fine Praefationis Iovem studiorum suorum fautorem invocat, p. 5, 31. *ἀρκτέον δὲ τῶν κανόνων ἐντεῦθεν, καὶ πρῶτος ἡμῖν θεὸς παρέστω· δίκαιον γὰρ τὴν*

ἀρχὴν ἀπ' αὐτοῦ ποιήσασθαι, ὡς καὶ ὁ Σολεὺς (Aratus) ἀρχόμενος ἔφη "ἐκ Διὸς ἀρχώμεσθα." Idem fere de Aristonici Praefationis fragmento dicendum, quod, quamvis brevissimum, tamen ipsum quoque duo istiusmodi exempla praebet, quorum alterum est p. 2, 17, ubi de versibus quibusdam Odysseae ex oratione Cyclopis in Nestoris orationem, parum apte, ut videbatur Aristarcho, translatis sic scribit ὡς ἔχει τὰ τοῦ Κύκλωπος τοῦ ἀνημερωτάτου ῥήματα ὑπὸ τοῦ συνετωτάτου Νέστορος λεγόμενα πρὸς Τηλέμαχον. Idem fere dixerat Aristonicus in scholiis ad Od. 3, 71, sed omissis τοῦ ἀνημερωτάτου et τοῦ συνετωτάτου epithetis exaggerantibus. Alterum exemplum est p. 2, 1. ubi versus ab Aristarcho obelis confossos cum cadaveribus comparat, τὸν δὲ ὀβελὸν ἔλαβεν ἐκ τῆς Ζηνοδότου διορθώσεως. παρετίθει δὲ αὐτὸν τοῖς ἐκβαλλομένοις ἐκ τῆς ποιήσεως στίχοις ὡς τοῖς νεκροῖς τῶν ἀνθρώπων, qualia non malo in Aristarchum animo, sed ioculariter scripta sunt, quemadmodum Herodicus Babylonius, licet ipse studiis criticis et grammaticis deditus esset, minutas Aristarchi eiusque sectatorum quaestiones grammaticas lepido risit epigrammate, quod servavit Athenaeus 5 p. 222 a.

φεύγετ', Ἀριστάρχειοι, ἐπ' εὐρέα νῶτα θαλάσσης
  Ἑλλάδα, τῆς ξουθῆς δειλότεροι κεμάδος,
γωνιοβόμβυκες, μονοσύλλαβοι, οἷσι μέμηλε
  τὸ σφίν καὶ σφῶιν καὶ τὸ μίν ἠδὲ τὸ νίν.
τοῦθ' ὑμῖν εἴη δυσπέμφελον· Ἡροδίκῳ δὲ
  Ἑλλὰς ἀεὶ μίμνοι καὶ θεόπαις Βαβυλών.

Reliquam fragmenti partem tam accurate tractavit Cobetus ut pauca tantum addenda esse videam:

Pag. 1, 7. σημειοῦται δὲ (Ἀρίσταρχος) πρὸς τὸν αὐτὸν (Ζηνόδοτον) ἀπεριστίκτῳ διπλῇ τὰς ὁμωνυμίας ἁπάσας, ὅτι οὐ νοήσας τὸ τοιοῦτον ἔγραψεν ὁτὲ μὲν Πυλαιμένεα, ὁτὲ δὲ Κυλαιμένεα] Διπλῆ ἀπερίστικτος per se spectata nihil amplius significabat quam attendendum esse ad ὁμωνυμίας, sed quum propterea adscripta esset quia Zenodotus ὁμωνυμίας ignarus scripturam locorum quorundam mutaverat, de quibus dixi in annotatione, etiam propter Zenodotum adscripta esse dici poterat, quod clarius sic eloqui potuisset, σημειοῦται δὲ ἀπεριστίκτῳ διπλῇ τὰς ὁμωνυμίας ἁπάσας· ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον, ὅτι οὐ νοήσας ——. ut alibi loquitur, velut ad 15, 405. ubi pariter adscriptae διπλῆς ἀπεριστίκτου ratio redditur verbis ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον γράφοντα (6, 511) "ῥίμφ' ἑὰ γοῦνα φέρει." ad 10, 25. ἡ διπλῆ ὅτι ——. ἡ δὲ ἀναφορὰ πρὸς Ζηνόδοτον.

Pag. 2, 7. *ὁ δὲ αἰτίαν ἐπιφέρει ὡς τῶν ποιημάτων ἐν τῇ τάξει διημαρτημένων*] Notandum *ποιημάτων* non *carminum*, sed *versuum* singulorum significatione dictum, quo sensu etiam *ἔπος* et *ἔπη* dicuntur: de quo usu dixi in Thesauro s. v. *ποίημα*. Hoc igitur dicit, versus de quibus agitur male collocatos esse, quemadmodum e contrario ad Z, 176—178 annotavit (*ἀστερίσκος*) *ὅτι ἐνταῦθα τάξιν ἐπέχουσιν*, i. e. *hic locum suum obtinent*, non post v. 159. ubi ab aliis illati, sed ab Aristarcho obelis notati erant. Schol. ad 2, 188 *πρὸς τὴν τάξιν τοῦ ἑξῆς τὸ ἀντίσιγμα.*

4, 11. *τοῦ δεκάτου ἔτους*] *τοῦ δεκαετοῦς* A.

6, 19. *καλῆς*] *καλὴν* A.

6, 20. *χρόνου* deleatur.

7, 14. *ἐμοίχευε*] *ἐμοίχευσε* A.

9, 2. *ἑκηβόλου*] *ἑκηβόλον* A.

10, 6. δ'] *τ'* A recte.

11, 13. Recte in A *τ̆ δὲ πρσ τ́ φύσιν δικαῖ τηρήσαντ̑*, i. e. *τοῦ δὲ πατρὸς τὴν φύσιν δικαίως τηρήσαντος.*

12, 18. In textu codicis est *ἦ δ' αἰγῶν*, unde Bekkerus hoc tanquam lemma scholii intermarginalis recepit *ὅτι περιττὸς ὁ δέ συνήθως αὐτῷ*, errore manifesto. Nam scholion non ad haec verba pertinet, sed ad proxima *τὸ δέ μοι κρήηνον ἐέλδωρ*. in quibus *δέ* in apodosi, ut saepe, abundare dicit scholiasta. Monuit Roemerus.

17, 7. Addendus asteriscus hic et p. 24, 25.

17, 15. *ἀεροσκοπίαν*] *ἱεροσκοπίαν* Christius apud Roemerum.

17, 23. *πᾶν λέγει ἀληθές*] *παῖ λέγει ἀληθῆ* A. et cod. Neapol.

18, 10. *ὥσπερ γὰρ οὐδεὶς λέγει ἐκατέβαινε* Pluygersius scripsit pro *οὖ*, quod est in A. Recte vero Villoisonus *οὐδέ* scripsit. Exemplo verbi *ἐκατέβαινε* scholiasta propterea utitur, quia recta imperfecti forma *κατέβαινε* Homerus duobus in locis Odysseae usus est.

20, 16. Delenda verba ab editoribus addita *ὃν ἠτίμησ' Ἀγαμέμνων.*

20, 17. Verba lemmate carentia *Δαναοῖσιν ἀεικέα λοιγὸν ἀπώσει. οὕτως αἱ Ἀριστάρχου* (nam sic A, non *οὕτως Ἀρίσταρχος*) scholion sunt intermarginale, a quo separandum est scholion quod sequitur marginale "*καὶ ἡ Μασσαλιωτική—χεῖρας ἀφέξει*," quod in A post *δωρεάν* lin. 24, quo proximum scholion finitur, traiectum est.

20, 22. *λέγειν*] *λέγει* Roemerus.

22, 11. *ἐπαναλαμβάνουσαν*] *ἐπαναπολοῦσαν* A.

22, 18. *πρὸς τούτῳ*] *πρὸς τοῦτο* A.

30, 29. Delendum προπαροξυτονούμενα, quod est in aliis libris, sed non in A.

39, 3. γενέσθαι δὲ ἅμα] τὰς γενεὰς δὲ γενέσθαι ἅμα Roemerus. Satis erat γενεάς addi post τραφῆναί τε.

39, 21. ἀντὶ τοῦ ἡμῖν deleatur.

39, 23. Deleatur annotatio ad lin. 12 et addatur suo loco 19 ἐστι] ἔσται.

42, 17. Deleatur ὀνείδεα, quod non est in A, pariterque lin. 23 verba καὶ κακῶς λέγειν ἡμᾶς τοὺς βασιλεῖς, quae ex Ven. B irrepserunt.

44, 7. ὡς τὸ—φράσαι] Haec ex scholio intermarginali.

44, 14. δόξειεν ἂν cum Cobeto scripsi pro δόξει ἄν, ut p. 81, 6. δόξειεν ἂν legitur. Sed hoc loco sensus postulat δείξειεν ἂν vel διδάξειεν ἄν, ut Lehrsius διδάξαι ἂν scripsit.

48, 23. In loco Il. 4, 153, quem scholiasta attulit, ubi libri variant inter τοῖς, τοὺς, τὸν et μετέφη, vel προσέφη, vera haud dubie scriptura est τὸν—προσέφη.

50, 6. Adde in A gl. interlin. (ad στέμματα) ὡς στρέμματα.

51, 4. 5. λοιγόν et Παλλάς om. A: habent alii ut statim sequitur etiam in ipso A ἐπὶ μὲν τὸ λοιγὸν ἀμῦναι στίζειν, non ἐπὶ μὲν τὸ ἀμῦναι στίζειν.

51, 11. καὶ Ἀθηνᾶ delet Roemerus.

53, 25. ἐπ' ἀμύμονας] μεταλαμβάνει εἰς τὸ ἐπ' ἀμύμονας Ribbeckius.

56, 2. Recte habet quod est in A ἀποβλέποντα, ad ἔντομα referendum, ut docuit Roemerus collato scholiasta Apollonii Rh. 1, 584. καὶ πρηνῆ πρὸς τὴν γῆν ὁρῶντα (ἔντομα) σφάζουσιν.

56, 28. καὶ γίνεται additum ex Ven. B, quo non opus.

59, 4. καὶ ἐν οὐρανῷ delet Roemerus propter rationes in censura expositas p. 448.

60, 13. ἡ Ἥρα τότε] Sic Ven. B: Ἥρα sine ἡ et τότε Ven. A.

62, 11. Lemma σφοῦ om A.

62, 18. ἐπανίστασθαι] Recte Cobetus Mnem. novae vol. 4 p. 278 ὑπανίστασθαι, collato Xenoph. Mem. 2, 3, 161 οὐ γὰρ πανταχοῦ νομίζεται τὸν νεώτερον τῷ πρεσβυτέρῳ καθήμενον ὑπαναστῆναι.

63, 25. περιάπτει est in Ven. B et Lips., sed προσάπτει in Ven. A.

66, 22—25. Delendum hoc scholion, quod Veneto A male adscripsit Bekkerus. Legitur in Ven. B et Lips.

67, 16. In annot. pro πρὸ τὴν corr. τὴν πρὸς.

68, 28. εἰρηκόσιν] Sic scholia minora: sed recte εἰρηκώς A.

70, 3. Deleantur verba ex Ven. B illata ἡ χρυσοῦν θρόνον ἔχουσα βασιλίς. μᾶλλον δέ.

71, 13. In versu Euripidis πως male omisit A.

71, 20—22. Dele verba ex Ven. B illata καὶ τὸν μαλακὸν—ταπήτων et mox δασύτητα ἤ.

72, 13. νῦν γὰρ δὴ γένος ἐστί] Sunt Hesiodi verba Op. 176. Verba proxima νῦν ὤλετο πᾶσα περὶ χθὼν sumta sunt ex Il. 13, 772, ubi νῦν ὤλετο πᾶσα κατ' ἄκρης Ἴλιος αἰπεινή.

72, 16. ἀπέστρεφε δὲ τὸν λόγον] Lege ἀπέστροφε, ut multis aliis locis recte est emendatum. Cf. ad 4, 303. 16, 203. 697. 787. 17. 702. 705. COBET. Mnem. novae vol. 4 p. 278.

72, 28. ἐννέα τιμίων ex Bekkeri coniectura scripsi pro ἐντίμων, quod in ἑπτὰ τιμίων mutat Roemerus, collato scholio v. 55. p. 75, 7. ἀπίθανον δὲ ἐν ἑπτὰ ὀρθὸν δημηγορεῖν.

73, 13. Ἰωνικῶς] Sic, non Ἰακῶς, etiam p. 82, 5.

73, 22. Deleantur verba ex Ven. B illata χιτὼν τὸ λεπτότερον ἱμάτιον, ὃ προφέρεται.

75, 25—28. ἀπόπειραν —] Hoc scholion in A legitur in fine scholii ad v. 74 post καθεζομένους.

77, 4. Non opus est ut εἰπεῖν ex Ven. B addatur.

78. Altera ad v. 28 annotatio referenda ad lin. 30.

80, 13. καὶ deleatur.

84, 21. καταπεσόντος δὲ τοῦ παιδὸς τὸ ὑποκείμενον πέλαγος Ἰκάριον μετωνομάσθη] Ante τὸ ὑποκείμενον πέλαγος Roemerus in Ven. A εἰς legi ait, quod neque ab Cobeto neque a D. B. Monro annotatum est neque apud Villoisonum legitur, apud quem comma post παιδὸς positum est, neque in scholiis minoribus legitur. Accedit ad haec quod paullo ante dixerat scholiasta τοῦ Ἰκαρίου πελάγους κεκλημένου οὕτως ἀπὸ Ἰκάρου τοῦ Δαιδάλου παιδὸς πεσόντος εἰς αὐτὸ καὶ ἀπολομένου οὕτως, post quae aptissime sequuntur verba τὸ ὑποκείμενον πέλαγος Ἰκάριον μετωνομάσθη, quod Ἰκάριον αὐτὸ μετωνομάσθη potius dicendum fuisset si verba εἰς τὸ ὑποκείμενον πέλαγος cum καταπεσόντος construenda essent. Itaque paene suspicor annotatum ab Roemero εἰς ad verba proxima pertinere ubi Bekkerus ex scholiis minoribus scripserat ἥκων ἐπ' ἀναζήτησιν, ubi in codice et apud Villoisonum legitur ἥκων εἰς ἐπαναζήτησιν, quod ego restitui, etsi praeferendum esse puto ἥκων ἐπ' ἀναζήτησιν, quum suspectum sit vocabulum ἐπαναζήτησιν, quod nusquam alibi legitur.

87, 29. Delenda hoc loco verba καθὰ καὶ ἄνω χωρὶς τοῦ δε

συνδέσμου, quae recte leguntur inter glossemata interlinearia vol. 2 p. 311, 37.

88, 12. *τάσσουσι*] Deleatur.

88, 15. * *πρὸς*] Non hic asteriscus delendus ut in Addendis vol. 1 p. 383 lin. ult. per errorem dixi, sed asteriscus proximus 88, 16. 17. praescriptus, quod scholion non intermarginale est, sed marginale.

88, 24. Lemmati in A praescriptum esse *ἀντίσιγμα* signo expressum in annotatione dixi idemque diserte dicitur in initio scholii, *τὸ ἀντίσιγμα ὅτι* —.

89, 7. Scholia manus recentioris hic et infra ad v. 194—220, 446. 448. adscripta in A non sunt cum scholiis veteribus permixta, sed in altero paginarum margine scripta, de quo dixi in Praefat. vol. 1 p. vi.

90, 6. *τοὺς ἐννέα*] Sic non solum in Villoisoni et Bekkeri editionibus, sed etiam in scholiis minoribus. *οἱ ἐννέα* ex A affert Roemerus, de quo dubito.

91, 27. *ἤτοι*] *καὶ τοῖ* A, punctis notatum, superscripto *ὡς*.

91, 31. *ἢ πιθανότητος*] Sic ex scholiis minoribus, pro *πειθανότητος*, quod est in A omisso *ἤ*.

92, 9. *αὐτόν*] Recte *αὐτός* M. Schmidtius.

93, 23. *τῶν ἀγαθῶν* delet Lehrsius.

94, 28—30. Hoc quoque scholion est manus recentioris in A. Verba *διὰ τοῦ νεώμεθα* inserta ex Ven. B et Lips.

95, 18. *ἐν τῷ ἦσαι ὀνειδίζων*] Deleatur.

95, 22. *διὰ* typothetae error pro *διό*.

98, 15. *ἀνὰ δ' ἔστη* recte delet Roemerus.

99, 2. *ὢ πόποι—'Αχαιούς*] Est versus Od. 18, 259 ubi legitur *ὦ γύναι*.

102, 23. Scholion Nicanoris in annotatione memoratum hoc est in A *διασταλτέον ἐπὶ τὸ πόποι* (codex *πώποι*)· *μᾶλλον γὰρ ἐμφαίνει καθ' ἑαυτὸ λεγόμενον*.

103, 9. *τῇ στρατείᾳ*] *τῆς στρατείας* in scholiis minoribus.

103, 14. 15. Deleatur scholion ex Ven. B illatum.

103, 16. *ἔν ἐστι τὸ τοῦσδε*] Conf. schol. ad 11, 409.

103, 24. *διαστελλόντων*] Recte *ἢ διαστελλόντων* codex Angelicus ap. Matrangam vol. 2 p. 472.

104, 2. *καὶ φαίνοντα*] Deleatur.

106, 9—13. Haec in A sunt duo scholia, quorum alterum ab verbis *ὁ λόγος* incipit, utrumque cum lemmate suo, ut dixi vol. 2 p. 348.

106, 17—19. Non hoc scholion est manus recentioris in A, sed praecedens lin. 15 et 16.

106, 30. *πλῆσαι*] Deleatur.

107, 25. *μηκέτι νῦν ταῦτα*] Zenodotum *μηκέτι νῦν δὴ ταῦτα* scripsisse in annotatione dixi. *μηκέτι δὴ νῦν* Cobetus Mnem. novae vol. 4 p. 239.

108, 22. *παπταίνων*] Recte *παπταίνω* A.

114, 16. *Αὐλίν τ' ἔσφαγον*] *Αὐλίν τ' ἐς φεῦγον* Cobetus Mnem. novae vol. 4 p. 278.

115, 6. *Μέσσην*] In A plenius *πολυτρήρωνά τε Μέσσην.*

115, 12. Deleatur *ἡ διπλῆ* hic et alibi ab editoribus illatam, ut in locis vol. 2 p. 385 indicatis.

116, 18. *ὠνομάσθη*] In A *ὠνόμασται* esse ait Roemerus, quod etiam in scholiis minoribus legitur. Videtur igitur *ὠνομάσθη* Villoisono deberi, ut supra legitur p. 115. 33 et alibi non raro.

116, 23. *ποταμός ἐστι*] Sic non solum Vill., sed etiam scholia minora. In A *ποταμὸς ἔπι* esse dicit Roemerus; quod si est, falsum est.

118, 11. *ναίουσιν* intactum reliqui quia scholiastae error esse potest pro *πίνουσιν*, quod recte apud Strabonem 10 p. 449 aliosque legitur. (Mox vero p. 119. 2. in verbis Homeri *μάχας* pro *Μαχάονα* positum librarii, non scholiastae error est, ut praecedentia eius verba docent). In *ναίουσιν* consentit Ven. B. Conf. Addenda ad vol. 3 p. 140, 9.

123, 2. *νοεῖ*] *νοεῖ* (i. e. *νοεῖται*) A recte.

127, 6. Post *ἀγχίαλος* haec exciderunt Veneti A verba: *διάφοροι δὲ καὶ ἄριστοι ὄνοι ἐν Ἀντρῶνι τῆς Θεσσαλίας γίνονται· ὅθεν καὶ εἰς παροιμίαν παρῆλθεν τὸ Ἀντρώνιος ὄνος*, quae etiam in scholiis minoribus leguntur.

128, 20. Deleantur verba ex scholiis minoribus illata *Ἀστέριον, ὅτι ἐφ' ὑψηλοῦ ἐστὶ τόπου· διὰ δὲ τὸ διαφανὲς οὕτω κέκληται.*

128, 21. *τιτάνοιο δὲ διὰ τὸ*] Scribe ut est in A *τιτάνοιό τε: διὰ τὸ.*

128, 22. **τὸ τιτάνῳ*] *τῷ τιτάνῳ* A.

ib. **κεχρῖσθαι*] *χρῆσθαι.*

ib. *τὰς οἰκίας*] *ταῖς οἰκίαις* A, ut in annotatione dixi, non *τὰς οἰκίας*, ut Roemerus ait, quod ex aliis libris edidi.

128, 23. In textu A supra *Ἀστέριον* signum est ÷, cui respondet in margine idem signum praescriptum verbis *διαφανὴς καὶ ἐφ' ὕψους κειμένη πόλις.*

128, 35. In textu est *Ὄρθην* cum signo ≙, cui respondet

idem signum in margine praescriptum verbis οὕτως ὡς Σπάρτην, ἵν' ᾖ ἴδιον.

136, 30. ἡ διπλῆ in A omissum esse ait Roemerus.

137, 2. γράφουσιν ἀντὶ τοῦ νυκτὸς ἀμείνω] Recte Cobetus Mnem. novae vol. 4 p. 279 γράφουσιν ἄνευ τοῦ ν̄ νυκτὸς ἀμείνω.

138, 7. Dele εὔκερων ἄρρενα ex scholiis minoribus illatum.

138, 15. 16. Delenda verba δύναται—τοῖς ἑξῆς ex Ven. B illata.

138, 20. προτρέπεται est in Ven. B et Lips. Restitue προτρέπει ex A.

141, 5. μετέγραψαν κίδαρις] In A plenius οὐκ ἄν τοι χραίσμῃ κίδαρις.

143, 14. ἄρρενι ex scholiis minoribus male illatum pro ἄρρενα, quod est in A. Sed fortasse utroque coniuncto scribendum cum Roemero λαμπρῷ ὄντι καὶ ἄρρενι ἄρρενα—.

143, 17. 18. Eadem fere verba scholio praecedenti post προσαγορεύεται leviter mutata adiungit A, Ἑλληνικῶς δὲ ἐπὶ μὲν τῶν δύο τὸ ἕτερον τῷ ἑτέρῳ ἀντιδιέσταλκεν, ἐπὶ (ἐπεὶ A.) δὲ τοῦ τρίτου ἄλλον εἴρηκεν.

144, 4. τὸ γαλόῳ om. A, habet vero lemma εἰδομένη γαλόῳ.

147, 6. ἀφ' οἵου γὰρ στίχου—] ἀφ' ὅτου γὰρ ἂν στίχου Cobetus Mnem. novae vol. 4 p. 279.

151, 19. παρὰ] Deleatur.

152, 19. κεφαλήν τε καὶ εὐρέας ὤμους] Notandum hoc lemma in A legi, nam scholiis intermarginalibus lemmata perraro praescripta sunt: de quo dixi vol. 2 p. 345. In textu Ven. A aliisque multis est κεφαλὴν ἠδ' εὐρέας ὤμους.

158, 3. ἑτέρου ex Ven. B et scholiis minoribus. Revocandum ὑστέρου ex A.

161, 13. σημαίνει recte delet Cobetus Mnem. novae vol. 4 p. 279.

163, 7. τῶν γοῦν μετρίων] τῶν γοῦν ἡμετέρων Nauckius.

164, 9. ὑποστίζουσιν ex Ven. B. στίζουσιν A.

167, 6. ζωοὺς] ζυγοὺς A vitiose. Recte ζωοὺς Ven. B.

173, 24. ἀπηλλάγη ex Ven. B pro vitioso ἀπαλλαγῆναι, quod est in A.

173, 26. ἐστιν om. A, habent alii.

174, 1. ἐστι addidit Villoisonus.

176, 10. Falsum est quod praeeunte Cobeto διχῶς in initio scholii ab A abesse dixi. Nam legi in codice testatur Roemerus. Totum igitur scholion sic scribendum, διχῶς καὶ ἵπποιν (quo

significatur (ζεῦγος ἵππων) καὶ ἵππων πληθυντικῶς. ἐν δὲ τῇ κατὰ Ἀριστοφάνη μόνως δυϊκῶς. Vanae sunt aliorum coniecturae in annotatione ab me memoratae, qui δυϊκῶς parum probabiliter in δοτικῶς vel ἑνικῶς mutari voluerunt.

176, 23. οὐ καλῶς] Scribendum οὐκ ἄλλως cum Lentzio.

186, 10. ὡς ἔκταν ἐγώ] Scribendum cum Lehrsio ὡς "ἔβαν ἐγώ," quod sumtum est ex Sophoclis Ai. 368.

188, 12. τοῦ Τηλεμάχου] ὡς νῦν τοῦ Τηλεμάχου Lehrsius.

189, 1. συλλαβεῖν] Recte συλλαβών A.

192, 19. Falsum est quod Roemerus in censura p. 451 in A scriptum esse ait κύριον τὸ δεύτερον. ἐπιθετικῶς ὅτε λέγει. Nam legitur ut ego edidi κύριον τὸ δεύτερον· ἐπιθετικῶς γὰρ ὅτε φησὶ. ταχύπωλον λέγει.

193, 8. εἱαμενῇ] Adde ex A ἔσιν δὲ λέγει τὴν ἀνάδοσιν τῶν φυτῶν. Conf. lin. 4 et Eustath. p. 501, 7. παρὰ τὸ ἕω τὸ ἀναδίδωμι.

198, 15. αἱ δὲ—σοφόν] Verba recte scripta apud Pindarum Ol. 7, 31 αἱ δὲ φρενῶν ταραχαὶ παρέπλαγξαν καὶ σοφόν.

199, 23. ὡς τὸ Ἄνιος καὶ Εὐφορίωνος Ξένιος] Manifeste corruptum Εὐφορίωνος; nam requiritur nomen quale est Φόρνιος, de quo cogitavit Schoemannus in Leutschii Ephemeride (*Philologischer Anzeiger*) a. 1875 p. 513. Quod nomen bis legitur apud Homerum, etsi genitivo tantum casu.

200, 27. Quod in A est οὐκέθ' ὁμὰ φρονέοντες in οὐ καθ' ὁμὰ φρονέοντες mutat M. Schmidtius.

206, 29. οὕτω γὰρ δηλοῖ διαιρουμένη ἡ λέξις] Haec verba leguntur in Ven. B: ab A abesse dicit Roemerus in censura p. 451.

207, 14. καὶ τὸ Ἄδωνις δέ τινες δασύνουσι παρὰ τὸ ἥδω] Sic scripsi ex Ven. B: in A est Ἄδωνις καὶ τοῦτο γὰρ παρὰ τὸ ἥδω.

208, 23. In lemmate est in A ἐγὼ δ' ἵππων ἀποβήσομαι (non ἀναβήσομαι, ut excusum vol. 2 p. 353). Scholii vero verba defecta Ἀρίσταρχος ἀποβήσομαι δὲ ἵππων ἔφη, οἷον τῆς τῶν ἵππων φροντίδος, collato scholio intermarginali sic sunt redintegranda, οὕτως Ἀρίσταρχος ἀποβήσομαι διὰ τοῦ ᾱ. ἀποβήσομαι δὲ ἵππων ἔφη, οἷον τῆς τῶν ἵππων φροντίδος. Eodem redit Roemeri coniectura in commentatione de Aristarcheis p. 247. Ἀρίσταρχος ἀποβήσομαι ἵππων ἔφη, οἷον—. Verbis διὰ τοῦ ᾱ oppositum est quod sequitur Ζηνοδότειος δὲ ἡ διὰ τοῦ ε̄ ἐπιβήσομαι.

211, 1. et 224, 24. 235, 12. ἡ διπλῆ om. A.

213, 27. ὤφειλε δὲ ἐκτείνειν τὸ ῑ] Haec ex cod. Lips. intulit Bekkerus: om. A.

228, 3. ἀπογνόντες—] Quod in A est ταπεινοῦντος in ἀπειπόντος δὲ αὐτοῦ τῇ εἰς τὸ τέλος πολιορκίᾳ mutat M. Schmidtius collato Leutschio de Arsenio IV. p. 8.

228, 8. ἑλεῖν] ἕλῃς recte A.

231, 7. Corrige numerum 123 pro 128 positum et adde asteriscum.

234, 6. αὐτῷ] Recte αὐτῇ A.

235, 12. Adiectivi εὐεπίφορος exempla collegit Cobetus Mnem. novae vol. 4 p. 277.

236, 4. παρετυμολογεῖ] παρετυμολογεῖται Etym. M. p. 62, 25. ubi post πλάνης plura adduntur fortasse olim lecta in scholiis ad hunc locum.

237, 13. 14. Hoc scholion in margine interiore repetitur, sed sine lemmate.

242, 12. πιθανῶς—αἰσχύνην] Deleantur verba ex Ven. B illata.

244, 3. Γράνικος] Ἀδράμυτος Lennep. Anim. ad Coluth. p. 144.

248, 9. In marg. exter. A inutiliter additum ὅτι καὶ εἰς ὃ (263—268) κεῖ^τε (i. e. κεῖται).

248, 29. κρητῆρα] κρατῆρα recte A.

250, 17. Βοιωτοῖς] Βοιωτίοις recte A.

251, 22. Delendum ὅτι, quod non legitur hoc loco in A, sed legitur in margine interiore ὅτι Ζηνόδοτος, ubi post Ζηνόδοτος librarius oblitus est addere ἀθανάτοισι.

253, 33. κατοπτεύσασα] καταπτεύσασα A.

254, 3. *ἔπεμπεν ὁ Ἀθαμας] ἔπεμπον οἱ Ἀθηναῖοι A.

254, 21. γενομένων] γεννωμένων recte A.

255, 5. Verba Epicharmi ὅ τοι κακὸς θαρρεῖ μάλ' αὐτόθεν, ἔπειτα φεύγει ab nemine probabiliter emendata sunt. Novissima Th. Gomperzii coniectura est (*Sitzungsberichte der Kaiserl. Akademie der Wissenschaften, Philosophisch-Historische Klasse, Bd.* 83, *Heft* 34–4 p. 570)

ὅ γα κακὸς θαρρεῖ μάλ' ἄποθεν, ἐγγύθεν δὲ φυγγάνει,

collato versu tragici anonymi (apud Nauckium adesp. 372)

ὅ τοι θρασὺς πρὸς ἔργον ἐκ πολλοῦ κακός.

Formam vitiosam ἄποθεν, quam pro ἄπωθεν non raro intulerunt librarii, forma ἄπυθεν ab Hesychio annotata defendi posse putat, nisi id ipsum scripserit Epicharmus, ut ὄνυμα pro ὄνομα dixerit,

coniectura valde incerta, qua non opus erat, quum ὅ γα κακὸς θαρρεῖ μάλ' ἄπωθεν scribi possit. Nam Epicharmus in tetrametris trochaicis saepius usus est dactylo pro trochaeo, velut apud Athen. 2 p. 49 c.

ἔστι δ' ὄνομ' αὐτῷ τρίπους, τέτορας γα μὰν ἔχει πόδας.

263, 17. ἐκτελέεσθαι, ἵν'] ἐκτελέεσθαι, ἵνα A.

264, 11. Delendum ἄλλως, quod non est in A.

265, 5. 6. Annotationem sic corrige "In marg. inter. οὐ ἀρίσταρ πυρκαϊὰς (sic) κατὰ γενικήν."

265, 26. 27. Scholion hoc in A non versui 451 adscriptum est, sed versui 458, ubi verba eadem leguntur.

266, 11. In A ἀνδροκτείνειν καὶ μὴ τῆς ἐπιβουλῆς ταύτης ἀποτυχεῖν.

267, 21. ὅτι ἀντὶ τοῦ] καὶ ὅτι ἀντὶ τοῦ A.

278, 10. ἀνώγει] Scribe ἀνώγοι ex A.

293, 17. Ἀριστάρχειον] Recte A Ἀριστάρχειον γραφήν.

303, 15. τοῦ] Recte τὸ Cobetus Mnem. novae vol. 4 p. 262.

303, 18. Verba poetae πολέεσσι δ' ἀνάσσεις addidit Vill.

307, 28. πρῶτον] πρῶτος A recte.

316, 1. Ἀρίσταρχος] Adde γράφει ex A.

317, 30. Recta quam Lehrsius restituit scriptura ἀρέσκουσαν, θυμήρη est in Etym. M. p. 458, 22.

324, 13. ἅμα pro ἀλλὰ iam Meinekius correxerat Exerc. in Athenaeum 1 p. 20.

327, 4. ἐλεεινοὺς male Bekkerus. Recte Ven. A et B ἐλεεινοί. In scholiis minoribus ἐλεεινόν.

327, 11. Deleatur asteriscus.

327, 18. Adde 515 * εὐθὺς δηλονότι.

331, 25. λείπει] ἐλλείπει recte A.

361, 11. Pro ὀνοματικὸς, quod est in A, Roemerus in censura p. 452 coniecit ὅτι ὠνοματοπεποίηκεν ὁ ποιητής vel ὅτι ὠνοματοπεποίηται, collata Aristonici annotatione ad 14, 25.

362, 10. διπλῆν βάλλων τῷ στίχῳ] προσβάλλων Cobetus Mnem. novae vol. 4 p. 279. Quo non opus.

365, 12. καὶ ὅτι ὅμοιον] καὶ ἔστιν ὅμοιον Roemerus in commentatione de Aristarcheis p. 257.

373, 29. οἱ ἱππεῖς ὀλίγον μετεκίαθον αὐτῶν] Scribendum ex A οἱ ἱππεῖς μ̔ τ̊ ἔκιον, quae compendia quid significent ex verbis scholii reliquis intelligitur.

381, 11. Dele verba οἷον καὶ "τότε μοι χάνοι εὐρεῖα χθών," quae Bekkerus ex alio codice intulit.

388, 9—12. Zoili hanc esse annotationem conieci, probante Cobeto Mnem. novae vol. 4 p. 254, qui comparat similes annotationes ad Il. 15, 137. in codice Townleiano, *καὶ πῶς ὁ τοιοῦτος πατὴρ ἀνδρῶν θεῶν τε;* ut Christiani Homericos deos maledictis incessebant, et ad Il. 17, 225. 227. in Veneto A *ἄλλως. ὅρα τὸ αἰσχρόν· κατατρύχεσθαί φησι τοὺς Τρῶας εἰς τὴν τῶν συμμάχων διατροφήν.* et *ἄλλως· σκόπει τὴν ἄνοιαν· ἀξιοῖ ἀντὶ τῶν τροφῶν ὧν παρέσχεν αὐτοῖς ἀντιδοῦναι τὰς ψυχάς.* Adscripserat haec, ut monet Cobetus, olim homo morosus et truculentus in ora sui libri, deinde librarius non admodum acutus scholia haec esse ratus praefixo *ἄλλως* recepit in ordinem.

397, 23. Duo sunt scholia in A, prius ante versum *Ἀριστοφάνης δι' ὁμίλου*, alterum in fine versus, *τὸ ἐφ' ὁμίλου βέλτιον τοῖς ἐπάνω προσδιδόναι.*

403, 16. Post *αὐτό* in A signum scholii finiti. Tum sequitur alterum scholion (ad v. 665) *βραχὺ διασταλτέον μετὰ τὸ ἑών.*

412, 13. Adde scholion intermarginale ad v. 842 ex A *ὅτι* (*ἀντὶ τοῦ* Cobetus) *ὑπολαβὼν αὐτοῦ τοῦ* (codex *τοὺς*) *στήθους.*

421, 27. *τοῦ λίθου*] Recte *τῶν λίθων* A.

424, 26. *τὸ* om A, habent alii.

VOL. II.

2, 4. *τῷ γάλακτι* Bekkeri coniectura est pro *τὸ γάλα.*

2, 6. (Ad verba *τοῖιν δ' ἔγνω πρόσθεν*) *πρὸς τὸ δυϊκὸν σχῆμα. ἡ δὲ ἀναφορὰ πρὸς τὰ περὶ τῶν Σειρήνων νηάων Σειρήνοιιν, ὅτι ὁ λόγος ὡς περὶ δύο.* Sic haec leguntur in A, ab Lachmanno in *περὶ τῶν Σειρήνων* "*Σειρήνων ἀδινάων*" (Od. 23, 326), *Σειρήνοιιν* cet. mutata: quam coniecturam falsam esse demonstravit Cobetus Mnem. novae vol. 4 p. 257. Nam sententia postulat *ἡ δὲ ἀναφορὰ πρὸς τὰ περὶ τῶν Σειρήνων* "*νῆσον Σειρήνοιιν*" (Od. 12, 166), *ὅτι ὁ λόγος ὡς περὶ δύο*, cui loco duo addere poterat exempla idem probantia, Od. 12, 52 *ὄπ' ἀκούσῃς Σειρήνοιιν* et 185. *ἵνα νωϊτέρην ὄπ' ἀκούσῃς*: nam *νωϊτέρην* de duabus dictum est.

7, 5. *οὐδὲ*] Corrige *οὐδέποτε* cum Cobeto l. c. p. 280.

12, 13. 16. *ἐλόωσι—ἐλόωσιν*] *ἐόωσι—ἐόωσιν* Cobetus l. c. p. 265.

23, 25. ἐνέχονται ex scholiis minoribus restitui pro ἐρέχονται, quod sic scriptum est in A. ὑπόκεινται in Ven. B.

27, 23. ἐς δίφρον] Sic etiam in textu, sed metrum postulat ἐς δίφρον δ', quod est in aliis.

28, 3. πιθανῶς] ἀπιθάνως Cobetus Mnem. novae vol. 4 p. 243.

31, 27. Annotationes sic corrige οἷον Vill.] οἷοι A et Ven. B. πεζοί ex coniectura addidit Bekkerus.

41, 1. 2. Deleatur scholion ex B a Bekkero illatum pariterque p. 49, 23. 24. 51, 18. 66, 20 et 24–27. 76, 21 ὡς ἐπὶ—παλαιοὶ, 122, 10–13. 147, 1. 2. 192, 23. γίνεται—θρῶ. 198, 9. ἔφη δὲ τοὺς θεούς. 236, 1. 254, 18. 19 τὸ—μενέτωσαν.

41, 18. ἄλλας ἀρχὰς] Recte ἄλλας καὶ ἄλλας ἀρχάς Cobetus Mnem. novae vol. 4 p. 281.

41, 19. ὑστεροπερίοδος] Recte Cobetus μακροπερίοδος, ut supra p. 11, 20. Ὅμηρος διακόπτει τὰς φράσεις, ἵνα μὴ μακροπερίοδος γένηται.

45, 9. αὐτὸ est etiam in A.

55, 27. ῥιπῆς] Scribe ὑπὸ ῥιπῆς ex A.

63, 15. Quod in codice est καὶ κοιμήσασα in κατακοιμίσασα mutavit Cobetus Mnem. novae vol. 4 p. 282.

64, 24. 25. Ἴλιον αἰπὺ ἕλοιεν] Duo in A scholia sunt. (ἡ διπλῆ) ὅτι νῦν μόνως οὐδετέρως εἴρηται Ἴλιον, et: Ἀρίσταρχος Ἴλιον ἐκπέρσωσιν. "Fieri non potest ut haec sit Aristarchi lectio. Aristarchus et aliis argumentis locum spurium esse docuit apud Didymum ad v. 56 et hoc: ἀσύνηθες δὲ καὶ οὐδετέρως τὸ Ἴλιον ῥηθέν 'Ἴλιον αἰπὺ ἕλοιεν.' πάντοτε γὰρ θηλυκῶς λέγει, et passim in Aristonici σημείοις legitur: ἡ διπλῆ ὅτι θηλυκῶς τὴν Ἴλιον. Confusa sunt duo nomina quae assolent et corrigendum: Ἀριστοφάνης Ἴλιον ἐκπέρσωσιν." COBET. Mnem. novae vol. 4 p. 280.

65, 9. οὐκ εὖ Bekkeri emendatio est pro οὐκέτι.

74, 1. καὶ Πίνδαρος Χρυσάορα τὸν Ὀρφέα φησί] De hoc dixi in annot. ad vol. 4 p. 87.

74, 5. In annot. ἀπειλουμένοι typothetae error pro ἀπειλουμένου.

76, 25—27. Duplicem scholiasta memorat scripturam, priorem Aristarchi κατ' ἐνῶπα, quacum κατὰ δῶμα comparat, alteram Alexionis κατένωπα, quacum κατέναντα comparat.

78, 32. 391] Corrige 393 et in annotatione 412 pro 410.

89, 5. Delendum lemma πολλὰ δὲ φάσγανα καλά et omnia uno tenore continuanda. Dionysius ἀπορεῖ, πῶς οὖν ἐπιφέρει—, solvit

quaestionem nescio quis dicendo, ὅτι οὐ χρωμένων τοῖς ξίφεσι πρὸς τὴν μάχην χαμάδις ἔπιπτον—. Monuit Cobetus l. c. p. 282.

89, 13. ὅ om. A. Post ἀνάλογον excidisse quod est in A, τῷ φέρε, dixi vol. 2 p. 390.

93, 16. λεμοτμής non debebam in φλεβοτμής mutare cum Bekkero. λαιμοτμής recte Cobetus l. c. p. 283.

93, 29. ἐστράτευσεν] ἐπεστράτευσεν recte A.

101, 12. Adde scholion intermarginale corruptum quod est in A ὡραίων πιθηκ̂, quod est πιθηκῶν.

109, 6. τὰ σύνθετα—Ἴωσιν] τὰ σύνθετα μεταλαμβάνει τὴν αὔξησιν παρὰ τῷ ποιητῇ, ἀλλ' ἀποβάλλει ὡς παρὰ τοῖς Ἴωσιν M. Schmidtius.

110, 16. ἐζωσμένους Bekkerus] ἐζωσμένας A.

121, 19. Recte Cobetus παρεξεδέξαντο: v. vol. 2 p. 390.

133, 9. γὰρ Bekkerus] δὲ A recte.

143, 21. ἀμύνει Bekkerus] ἀμύνοι A.

163, 34. κατὰ Δώριον] Recte ἄκρατον Δώριον Schmidtius: quod ego ipse restitui vol. 1 p. 237, 8 in Addendis vol. 2 p. 387. legiturque vol. 1 p. 288, 12.

173, 8. τοῦ κόσμου τὸ] τὸ τοῦ κόσμου A.

204, 5. συνίστησιν est in A, παρίστησιν Bekkerus.

205, 18. παράλιος pro πάραλος scripsi ex scholiis minoribus.

206, 11. πορεύομαι] πορεύσομαι Lehrsius.

229, 26. Versui 550 adscriptum in A in marg. interiore ὁ ἀγίνωρ (sic) et versui 551 ἐμερίμνα. Alterum glossema est verbi πόρφυρε, prius sic redintegrandum videtur ὁ ἀγήνωρ θυμός, ut alibi non raro κραδίη καὶ θυμὸς ἀγήνωρ legitur.

230, 1. In A in marg interiore αὖ ἄρ, i. e. ἀντὶ τοῦ ἆρα. In annotatione ad lin. 2, pro "230" corrige "236."

233, 9. Deleatur σημείωσαι, ex scholio marg. exter. illatum.

243, 29. σῖραι non debebat inferri ex Ven. B: v. annot. ad vol. 4 p. 299.

246, 4. μαφόριον] Vid. ad vol. 4 p. 302, 26.

249, 21. ὅτι scripsi pro ἔτι.

249, 27. *τέθεικεν] ἔθηκεν A.

254, 2. Adde ex A 157 πείσονται μύθοισι: ὅτι πρὸς τὸ νοητὸν ἀπήντηκεν, ὁ λαὸς πείσονται.

269, 21. ἀγνοήσαντες] τινες recte addit Cobetus Mnem. novae vol. 4 p. 284.

270, 21. συνήθως] Corrige ἀσυνήθως cum Cobeto l. c. p. 243.

286, 1. Dele asteriscum.

Reliquum est ut quisquiliarum orthographicarum, quarum partem maximam consulto me in annotationibus tacuisse dixi in Praefat. vol. I p. x, specimen proponam ut lectores ipsi iudicium de iis facere possint.

Vol. I p. 98, 24. ἤλω—πόλις] εἶλω (sic)—πολεις.
98, 29. κυνὸς] κοινός.
99, 6. χῆραι] χεῖρε.
102, 21. Ἡσίοδος] ισίοδος.
108, 25. χρυσῶν νομισμάτων] χρυσὸν νομισμάτων.
117, 8. Ζεφυρίῳ] ζεφηρίωι.
120, 17. τῆς οῑ διφθόγγου] τῆς ῡ διφθόγγου.
135, 11. Ζελείτας] ζελήτας.
135, 18. παρὰ τὸ εἰωθός] παρὰ τῷ εἰωθός.
143, 18. ἐπὶ] ἐπεί.
148, 25. φρὴν] φρίν.
155, 13. συνώνυμα] συνώνυμαι.
159, 22. συντέθειται] συντέθηται.
161, 2. παρήκει] παρείκει.
162, 18. ἱμερόεντα] ἡμερόεντα.
162, 19. ἧσο] ειῆσο (sic).
166, 2. τετρῆσθαι] τετρεῖσθαι.
166, 25. βούληται] βούλεται.
166, 28. οἰκίαις] οἰκείαις.
183, 28. βεβρίθει] βεβρήθει.
187, 6. ἐνήλλακται] ἐνήλακται.
194, 8. σολοικισμός] σολυκισμός.
246, 22. φάγοι] φύγοι.
250, 17. Βοιωτοῖς] βευρώτοις (sic).
253, 29. Ἰνὼ] νῶ.
253, 3. Ἰνὼ] ἤνῶ.
272, 21. προσηκόντως] προσηκότως.
282, 24. τοξείας] τοξίας.
319, 13. Βόσπορος] ἄισπορος (sic).
320, 6. ταῖς ἀφαῖς] ταῖς σαφαῖς.
357, 27. ἠπυτίδη] ἤπιτυκε.
360, 15. χωρίσαντες] χωρήσαντες.

VOL. III.

37, 14—20. Scholion hoc manus secundae totum legitur etiam in Veneto A vol. 1 p. 30, 4—10.

42, 3. Ante ἔπεσι excidit asteriscus * et nomen Πορφυρίου.

42, 18. Ante τὸν τῶν addendum δαιμόνων ex B.

42, 32. ἐπίφορον] Scribendum εὐεπίφορον cum Cobeto Mnem. novae vol. 4 p. 277. Idem error vol. 1 p. 235, 12. ubi pariter correxit Cobetus. Recte vero scriptum ib. p. 47, 13.

44, 3. In annot. φλάλαγγος] Corrige φάλαγγος.

47, 3. δύο γὰρ γενεὰς πληρώσας εἰς τὴν τρίτην] Haec accesserunt ex Ven. A: om. Ven. B.

47, 9, ἐξ] τῇ ἐξ recte B.

47, 15. Adde annotationem * περιοδικαὶ] παροδικαί.

50, 25—28. Eadem fere leguntur in Ven. A vol. 1 p. 42, 13—16. Porphyrii esse discimus ex cod. Scor. qui hoc scholion servavit, Πορφυρίου εἰς τὸ "ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι" καὶ τὰ ἑξῆς μέχρι τοῦ "πᾶσι δὲ σημαίνειν." τὸ πολλάκις τὴν αὐτὴν ἀνακυκλοῦν διάνοιαν χαρακτηριστικόν ἐστιν ὀργῆς· διὸ καὶ ἐπὶ τοῦ 'Αχιλλέως ὀργιζομένου τὸ αὐτὸ πεποίηκεν· "ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο· μὴ γὰρ ἔμοιγε σήμαιν'· οὐ γὰρ ἔγωγε τί σοι πείσεσθαι ὀίω." οἱ γὰρ ἐν ὀργῇ, κἂν πολλάκις εἴπωσί τι, οὔπω δοκοῦσιν ἱκανῶς εἰρηκέναι.

51, 20—23. ἵνα μὴ νομισθῇ—δεδωκέναι et 52, 8—16. μὴ ἀκρατὴς —δι' ἀνανδρίας] Haec a prima manu, litteris quibus uti solet maioribus scripta esse in fine folii 11a in annotatione dixi. Post verba (51, 23) στερουμένῳ τῆς δωρεᾶς, καὶ πρὸς τὸ μὴ δοκεῖν βίᾳ, ἀλλ' ἐθελοντὴς δεδωκέναι non plenum versum efficientia syllabae aliquot erasae sunt: ex quo Hillerus in Fleckeiseni Annal. a. 1868 p. 803. verba sic fere fuisse continuata coniecit ἀλλ' ἐθελοντὴς δεδωκέναι. δῆλον δ' ὅτι ὁ 'Αχιλλεύς, ἵνα μὴ ἀκρατής—ἀνανδρίας. Recte haec Hillerus, nisi quod de verbis inter δεδωκέναι et μὴ ἀκρατής erasis fallitur, ut apparet ex codice Townleiano in quo scholion hoc sic est conformatum:

οὔτε τῳ ἄλλῳ: ἵνα μὴ νομισθείη πρὸς ἕνα μόνον ἀξιόχρεως εἶναι —στερομένῳ τῆς δωρεᾶς (huc usque etiam Ven. A). οἱ μὲν οὖν ἔφασαν, ὅπως μὴ ἀκρατὴς—ἀποδοῦναι ταύτην τῷ βασιλεῖ—ὧν φείδεται—ἣν αὐτῷ ἐξαιρεῖσθαι πρώτῳ· γεγένηται δὲ ἀναδόσιμα πάντα τῶν αἰχμαλωτίδων, τῆς Χρυσηΐδος ἀπολειφθείσης—ἣν γὰρ αὐτῷ ἐξὸν ὅ τι—Αἴαντος ἰὼν γέρας. καὶ πάλιν, αὐτὰρ ἐμοὶ γέρας αὐτίχ'

ἑτοιμάσασθ'. ὥστε τὸ μὲν τῶν—. Codex vero Lips. prorsus cum Veneto B consentit, duo exhibens scholia, prius οὔτε τῳ ἄλλῳ: ἵνα μὴ νομισθῇ—δεδωκέναι, alterum, διὰ τί ὁ Ἀχιλλεύς—ἀνανδρίας.

51 col. b. lin. ult. ῥητεὸν] Corrige ῥητέον.

55, 13. 101, 11. 119, 12. 153, 32. 167, 14. 279, 32. 284, 14. 395, 27. 473, 1 et vol. 4 p. 153, 3. 224, 10. et 24. Πορφυρίου om. B, habent alii.

61, 13. τελεώτερα] παλαιότερα Cobetus Mnem. novae vol. 4 p. 277.

63, 24. Praefigendum Πορφυρίου ex aliis codicibus.

66, 3. θυσιάσαι] θυμιάσαι Cobetus l. c. p. 277. Recte scriptum est infra p. 386, 19.

69, 17. In annot. συναλοφὴν] Corrige συναλιφήν.

75, 22. In annot. ἀπογνῶαι typothetae error pro ἀπογνῶναι.

78, 20. ὥσσ' typothetae error pro ἄσσ'.

99, 27. Ad v. 145 in Scor. est scholion Porphyrii, Πορφυρίου εἰς τὸ "πόντου Ἰκαρίοιο." Τὸ Ἰκάριον πέλαγος πολύκυμόν ἐστι καὶ ταραχῶδες, τῇ μὲν ἀνασπωμένου τοῦ ῥόθου περὶ Ἄμπελον ἀκρωτήριον τῆς Σάμου καὶ ἀνακοπτομένου ταῖς κόρσαις, ἐπεγειρομένων τε καὶ τὰς τῶν ἀνέμων ἔκβολον ἐπαλλήλων κυμάτων περιβεβλημένων πανταχόθεν ὧδε τῷ πελάγει νήσων ἀπλέτων, τῇ μὲν Νάξου τε καὶ Πάρου, τῇ δὲ καὶ ἀντιπέρας Ὠλιάρου τε καὶ Μελάντου σκοπέλων καὶ Δήλου καὶ Μυκόνου καὶ ἀναθλίβοντος τὰς νήσους τοῖς ἑαυτῶν τόνοις τοῦ Αἰγαίου πελάγους τῆς τε ἐπικειμένης Καρίδος νήσου καὶ πανταχόθεν κυμαινομένης. ἀγριαίνει δὲ ὅλον τὸ πέλαγος ὁ ἐπικείμενος κρημνὸς, σκοπελώδης τε ὢν καὶ ἀγχιβαθής. ταῦτα δὲ καὶ Ὅμηρον ἀκριβῶς ἐπιστάμενον τὸν τῶν Ἑλλήνων τάραχον ἀποπλεῖν διεγνωκότων εἰς τὰς πατρίδας παρεικάσαι εἰπόντα "κινήθη δ' ἀγορὴ ὡς κύματα μακρὰ θαλάσσης | πόντου Ἰκαρίοιο, τὰ μέν τ' εὖρός τε νότος τε | ὤρορ' ἐπαΐξας πατρὸς Διὸς ἐκ νεφελάων, "καὶ οἱ ἄνεμοι δὲ, φησὶ, χειμέριοι καὶ ἀντίπαλοι εὖρός τε νότος τε τοῖς τοῦ Ἑλλησπόντου, ἔνθα δὴ ἀναθλιβόμενον τὸ Ἰκάριον ἀνοιδαίνει πέλαγος.

106, 8. ὄχθησαν] Restitue ὤχθησαν ex B.

106, 11. περιτρέψαι] Restitue παρατρέψαι ex B.

107, 35. Ante ὦ πέπονες adde asteriscos **. Nam totum hoc scholion est manus tertiae rubro signo praefixo.

119, 28. οἷόν γε] οἷόν τι Cobetus Mnem. novae vol. 4 p. 278.

122, 29. In annot. pro γεγαμνέη corrige γεγαμένη.

140, 9. In oraculo scriptum fuit ἵππον Θεσσαλικὴν Λακεδαιμονίαν τε γυναῖκα | ἄνδρας θ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης, ut

est apud Strabonem 10 p. 449 et Athen. 7 p. 278. Verba ἵππον Θεσσαλικὴν scholiasta affert infra p. 147, 33.

152, 20—29. Eadem leguntur apud Suidam s. v. Ἀφροδίτη et apud Codinum de originibus Constantinop. p. 14.

203, 1. 2. Scholion Porphyrii ex quo haec excerpta sunt servavit cod. Scor. Πορφυρίου. ἀδύνατόν φασιν εἶναι τηλικοῦτον κέρας αἰγὸς γενέσθαι, ὡς εἶναι ἑκκαίδεκα παλαιστῶν. δύο γὰρ καὶ ἡμίσεος πηχῶν οὐκ ἂν γένοιτο κέρας. λύεται δὲ ἐκ τῆς λέξεως· οὐ γὰρ ἓν κέρας, ἀλλ' ἄμφω ἑκκαιδεκάδωρα.

209, 11. ἀφείθησαν] Sic scripsi pro ἀφέθησαν.

214, 29. Conf. Eustath. p. 477.

218. Adde annot., 30. *σημάντορας] τοὺς σημάντορας.

225, 21. Ἡρόδοτος δὲ τὰ τετράποδα πάντα] In aliis codicibus Ἡρόδικος vel Ἡρωδιανός. Recte in B et Lips. legitur Ἡρόδοτος, quod Eustathius quoque legit p. 1649, 9, sed ante τὰ τετράποδα excidit πρόβατα. Nam Herodotus nusquam μῆλα dixit, sed nomine generali πρόβατα usus est.

261, 10. εὑρήσεις] Vide annot. ad vol. 4 p. 13, 28 ubi scholion hoc Porphyrii repetitum est in B.

270, 9. Scholion Porphyrii servatum est in cod. Scor. Πορφυρίου. τὸ τρυφερῶς ὡς πελειάδας πορεύεσθαι ἀπρεπές. λύεται δὲ ἐκ τῆς λέξεως· τὰ γὰρ ἴθματα οὐκ ἔστιν ἴχνη, ἀλλ' ὁρμήματα καὶ πτήσεις.

270, 30. Ἀρίσταρχος τείρετο, αἱ δὲ κοιναὶ τρίβετο. Est hoc primae manus scholion, quod pariter legitur in Townl. et Lips., verum non numero suo notatum, sed extra seriem signo ⸖, de quo dixi in annot. ad vol. 3 p. 265, 31, et medium positum inter scholia versuum 802 et 803. In scholio intermarginali Veneti A ad v. 797. legitur Ἀρίσταρχος τῷ τείρετο, ἄλλοι δὲ τῷ τρίβετο.

292, 9. Scholion Porphyrii est in cod. Scor. Πορφυρίου εἰς τὸ "ἤτοι ὁ κὰπ πεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο, | ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων." Διὰ τί οὖν Ἀλήϊον; ἆρά γε παρὰ τὸ ἄσπορον καὶ μὴ ἔχον λήϊα; οὐδαμῶς· ἀλλ' ἐκ τοῦ οἷον αὐτὸν ἐν αὑτῷ ἀλᾶσθαι. καὶ τί οὖν τὸ οἷον ἀλᾶσθαι ζητεῖται πάτον ἀνθρώπων ἀλεείνων.

294, 23. Il. 12] Corrige Il. 21.

303. In annot. 1—18 Eadem] Corrige 1—2 τοῦτο (nam hoc addit Suidas) ἦν ζῴδιον—μέλλοντες πλεῖν. Eadem

310, 5—11. Scholion Porphyrii est in cod. Scor. Πορφυρίου. ἀπρεπές ἐστι καὶ ἀνάρμοστον γυναικὶ τὸ διοικεῖν πολέμους τὴν Ἀνδρομάχην καὶ λέγειν "λαὸν δὲ στῆσον παρ' ἐρινεόν." ἡ λύσις ἀπὸ τοῦ

προσώπου· ὑπόκειται γὰρ ἡ Ἀνδρομάχη τοιαύτη καὶ οὐκ ἀπείρως καὶ τοὺς Ἕκτορος ἵππους τημελοῦσα.

332, 29. Scholion Porphyrii in cod. Scor. *Πορφυρίου εἰς τὸ "τύμβον δ' ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες." τῷ ἐξαγαγόντες ὁμοίως τῷ "ἐσάγουσα θυγατρῶν εἶδος ἀρίστην" κέχρηται· ὡς γὰρ τοῦτο σημαίνει τὸ εἰσπορευομένη, οὕτω τὸ ἐξαγαγόντες ἐκπορευθέντες τοῦ πεδίου ἕνα τύμβον πάντων ἄκριτον ἐποιοῦντο, τουτέστι μὴ καθ' ἕκαστον τῶν τεθνηκότων διακεκριμένων.*

336, 11. *ἀπαθῶς*] Corrige *ἀμαθῶς* cum Cobeto Mnem. novae vol. 4 p. 279.

384, 13. Scholion Porphyrii in cod. Scor. *Πορφυρίου. Ἀπρεπὲς δοκεῖ καταλαμβάνεσθαι κιθαρίζοντα. λύεται δ' ἐκ τοῦ καιροῦ· ἐν γὰρ νυκτὶ οὐκ ἀπρεπέστερον ἄλλως καταλαμβάνεται. γυμνάζεσθαι μὲν γὰρ τῷ σώματι οὐκ ἦν τότε· κοιμώμενος δὲ ἢ παννυχίζων ἀπρεπέστερος ηὑρίσκετο.*

414, 9. Scholion Porphyrii in cod. Scor. *Πορφυρίου. Ἀπρεπὲς δοκεῖ τὸ μὴ ὑπό τινος ἄλλου πεισθῆναι τὸν Μελέαγρον, ἀλλὰ μόνης τῆς γυναικός. λύει δ' ὁ καιρός. "ἀλλ' ὅτε δὴ θάλαμος πύκ' ἐβάλλετο."*

491 in annot. "codice Veneto"] Corrige codici Veneto.

435, 25. Perspicuum est, ut monuit Cobetus Mnem. novae vol. 4 p. 263, *τὸν χορὸν, τὸ χρυσοῦν γένος*, in scenam introire, quos nescio quis singulos introeuntes nominat. Omnes sunt aliqua corporis labe aut vitio aut deformitate insigniti.

VOL. IV.

23, 11. "*ἀσπαίροντα δ' ἔπειτα*" (Od. 12, 254) *καὶ* "*ἀσπαίροντα λαβών*" (Od. 19, 229)] Haec collato scholio p. 200, 26, sic sunt in ordinem redigenda "*ἀσπαίροντα δ' ἔπειτα λαβών*" (Od. 12, 254) *καὶ* "*ἀσπαίροντα λάων*" (Od. 19, 229). Prius exemplum in scholio altero haud dubie librarii culpa excidit.

25, 35. *πεπίηται*] Corrige *πεποίηται*.

44, 7. *οὐδὲ*] Typothetae error pro *οὐδέν*.

52, 5. *οὐκ ἐν* Vill.] *οὐχὶ* B.

83, 14. Ante *ὅλων* excidit asteriscus. Nam extrema pars scholii (lin. 14—20) *ὅλων—στοιχείων* in B scripta est a manu secunda.

135, 3. *ἀπὸ Βουδείου*] * *ἀπὸ Βούδου*.

169, 33. *ἀλλὰ μόνα*] Recte *ἀλλὰ διὰ μόνα* B a m. secunda.

170, 8. Scholion Porphyrii in cod. Scor. Πορφυρίου εἰς τὸ "ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι." Οὐκ ἔστι τὸ ἔδησεν ἀπὸ τοῦ δεσμοῦ, οὐδ' Ἄρης ὁ πόλεμος νῦν ἢ θεὸς, ἀλλὰ τὸ μὲν ἔδησε κατὰ συγκοπὴν ἐδέησε. περισπαστέον δὲ τὸ ἀρῆς, ἵν' ᾖ βλάβης, ὡς τὸ "Μέντορ ἄμυνον ἀρήν." ἐμοῦ γὰρ ἐδέησε καὶ χρείαν ἔσχε τῆς βλάβης βοηθὸν ἔχειν.

188, 10—21. Haec Heracliti verba repetuntur infra p. 225, 13—24.

191, 30. ἐκκυκλήσας Cobeti emendatio est pro ἐγκυκλήσας.

203, 3. Prius ὡς om. B.

222, 23. 'Αχίλλειον] ἀχιλλεῖον B.

256, 3. κατηγορῆσαι ex Paris. 915. In B est κατασυνηγορῆσαι.

309. Post lin. 12, excidit quod in B adscriptum est sine lemmate scholion ἀμφιχυθέντες, περιλαβόντες. Duplex in libris scriptura, altera, quae est in Ven. A aliisque ἀμφιβαλόντε, altera ἀμφιβαλόντες. Tertiae scripturae ἀμφιχυθέντες vel ἀμφιχυθέντε memoriam servavit Ven. B, in quo ἀμφιχυθέντες per περιλαβόντες explicatur. Eodem tendit scholiasta codicis Townleiani, qui ad ἀμφιλαβόντες adscripsit ex Od. 16, 224 "ἀμφιχυθεὶς πατέρ' ἐσθλόν," ubi quod inter scholia annotatum est 'Αρίσταρχος ἀμφιχυθείς, (et in gl. Hesychii ἀμφιχυθείς: περιπλακείς) indicio est in aliis libris lectum fuisse ἀμφιβαλών, quod vidit Cobetus Mnem. novae vol. 4 p. 273.

21/5/98

Clarendon Press, Oxford.

SELECT LIST OF STANDARD WORKS.

STANDARD LATIN WORKS . . . . Page 1
STANDARD GREEK WORKS . . . . „ 3
MISCELLANEOUS STANDARD WORKS . „ 7
STANDARD THEOLOGICAL WORKS . . „ 8

1. STANDARD LATIN WORKS.

Avianus. *The Fables.* Edited, with Prolegomena, Critical Apparatus, Commentary, &c., by Robinson Ellis, M.A., LL.D. 8vo. 8*s.* 6*d.*

Catulli Veronensis *Liber.* Iterum recognovit, Apparatum Criticum Prolegomena Appendices addidit, R. Ellis, A.M. 8vo. 16*s.*

Catullus, *a Commentary on.* By Robinson Ellis, M.A. *Second Edition.* 8vo. 18*s.*

Cicero. *De Oratore Libri Tres.* With Introduction and Notes. By A. S. Wilkins, Litt.D. 8vo. 18*s.*

Also, separately,

Book I. 7*s.* 6*d.* Book II. 5*s.* Book III. 6*s.*

—— *Philippic Orations.* With Notes. By J. R. King, M.A. *Second Edition.* 8vo. 10*s.* 6*d.*

—— *Pro Milone.* Edited by A. C. Clark, M.A. 8vo. 8*s.* 6*d.*

—— *Select Letters.* With English Introductions, Notes, and Appendices. By Albert Watson, M.A. *Fourth Edition.* 8vo. 18*s.*

Horace. With a Commentary By E. C. Wickham, D.D. *Two Vols.*

Vol. I. The Odes, Carmen Seculare, and Epodes. *Third Edition.* 8vo. 12*s.*

Vol. II. The Satires, Epistles, and De Arte Poetica. 8vo. 12*s.*

Juvenal. *Thirteen Satires.* Edited, with Introduction and Notes, by C. H. Pearson, M.A., and Herbert A. Strong, M.A., LL.D. *Second Edition.* Crown 8vo. 9*s.*

Manilius. *Noctes Manilianae; sive Dissertationes in Astronomica Manilii. Accedunt Coniecturae in Germanici Aratea.* Scripsit R. Ellis. Crown 8vo. 6*s.*

Merry. *Selected Fragments of Roman Poetry.* Edited, with Introduction and Notes, by W. W. Merry, D.D. Crown 8vo. 6*s.* 6*d.*

Ovid. *P. Ovidii Nasonis Ibis.* Ex Novis Codicibus edidit, Scholia Vetera Commentarium cum Prolegomenis Appendice Indice addidit, R. Ellis, A.M. 8vo. 10*s.* 6*d.*

Ovid. *P. Ovidi Nasonis Tristium Libri V.* Recensuit S. G. Owen, A.M. 8vo. 16s.

Persius. *The Satires.* With a Translation and Commentary. By John Conington, M.A. Edited by Henry Nettleship, M.A. *Third Edition.* 8vo. 8s. 6d.

Plautus. *Rudens.* Edited, with Critical and Explanatory Notes, by E. A. Sonnenschein, M.A. 8vo. 8s. 6d.

Quintilian. *Institutionis Oratoriae Liber Decimus.* A Revised Text, with Introductory Essays, Critical Notes, &c. By W. Peterson, M.A., LL.D. 8vo. 12s. 6d.

Rushforth. *Latin Historical Inscriptions, illustrating the History of the Early Empire.* By G. McN. Rushforth, M.A. 8vo. 10s. *net.*

Tacitus. *The Annals.* Edited, with Introduction and Notes, by H. Furneaux, M.A. 2 Vols. 8vo.

Vol. I, Books I–VI. *Second Edition.* 18s.

Vol. II, Books XI–XVI. 20s.

—— *De Germania.* By the same Editor. 8vo. 6s. 6d.

—— *Vita Agricolae.* By the same Editor. 8vo. 6s. 6d.

—— *Dialogus de Oratoribus.* A Revised Text, with Introductory Essays, and Critical and Explanatory Notes. By W. Peterson, M.A., LL.D. 8vo. 10s. 6d.

Virgil. *With an Introduction and Notes.* By T. L. Papillon, M.A., and A. E. Haigh, M.A. 2 vols. Crown 8vo. Cloth, 6s. each; *stiff covers* 3s. 6d. each.

Also sold in parts, as follows—*Bucolics* and *Georgics*, 2s. 6d. *Aeneid*, in 4 parts, 2s. each.

King and Cookson. *The Principles of Sound and Inflexion, as illustrated in the Greek and Latin Languages.* By J. E. King, M.A., and Christopher Cookson, M.A. 8vo. 18s.

—— *An Introduction to the Comparative Grammar of Greek and Latin.* Crown 8vo. 5s. 6d.

Lindsay. *The Latin Language.* An Historical Account of Latin Sounds, Stems and Flexions. By W. M. Lindsay, M.A. Demy 8vo. 21s.

Nettleship. *Lectures and Essays on Subjects connected with Latin Scholarship and Literature.* By Henry Nettleship, M.A. Crown 8vo. 7s. 6d.

—— *Second Series*, edited by F. J. Haverfield, with Memoir by Mrs Nettleship. Crown 8vo. 7s. 6d.

Nettleship. *Ancient Lives of Vergil.* 8vo, sewed, 2s.

—— *Contributions to Latin Lexicography.* 8vo. 21s.

Sellar. *Roman Poets of the Augustan Age.* By W. Y. Sellar, M.A.; viz.

I. Virgil. *New Edition.* Crown 8vo. 9s.

II. Horace and the Elegiac Poets. With a Memoir of the Author by Andrew Lang, M.A., and a Portrait. 8vo. 14s.

—— *Roman Poets of the Republic. Third Edition.* Crown 8vo. 10s.

Wordsworth. *Fragments and Specimens of Early Latin.* With Introductions and Notes. By J. Wordsworth, D.D. 8vo. 18s.

2. STANDARD GREEK WORKS.

Chandler. *A Practical Introduction to Greek Accentuation*, by H. W. Chandler, M.A. *Second Edition.* 10s. 6d.

Farnell. *The Cults of the Greek States. With Plates.* By L. R. Farnell, M.A.
Vols. I and II. 8vo. 32s. *net.*
Volume III *in Preparation.*

Grenfell. *An Alexandrian Erotic Fragment and other Greek Papyri, chiefly Ptolemaic.* Edited by B. P. Grenfell, M.A. Small 4to. 8s. 6d. *net.*

Grenfell and Hunt. *New Classical Fragments and other Greek and Latin Papyri.* Edited by B. P. Grenfell, M.A., and A. S. Hunt, M.A. With Plates, 12s. 6d. *net.*

—— *Menander's* Γεωργός. A Revised Text of the Geneva Fragment. With a Translation and Notes by the same Editors. 8vo, stiff covers, 1s. 6d.

Grenfell and Mahaffy. *Revenue Laws of Ptolemy Philadelphus.* 2 vols. Text and Plates. 1l. 11s. 6d. *net.*

Haigh. *The Attic Theatre.* A Description of the Stage and Theatre of the Athenians, and of the Dramatic Performances at Athens. By A. E. Haigh, M.A. 8vo. 12s. 6d.

Haigh. **The Tragic Drama of** the Greeks. With Illustrations. 8vo. 12s. 6d.

Head. *Historia Numorum:* A Manual of Greek Numismatics. By Barclay V. Head. Royal 8vo, half-bound, 2l. 2s.

Hicks. *A Manual of Greek Historical Inscriptions.* By E. L. Hicks, M.A. 8vo. 10s. 6d.

Hill. *Sources for Greek History between the Persian and Peloponnesian Wars.* Collected and arranged by G. F. Hill, M.A. 8vo. 10s. 6d.

Liddell and Scott. *A Greek-English Lexicon*, by H. G. Liddell, D.D., and Robert Scott, D.D. *Eighth Edition, Revised.* 4to. 1l. 16s.

Monro. *Modes of Ancient Greek Music.* By D. B. Monro, M.A. 8vo. 8s. 6d. *net.*

Paton and Hicks. *The Inscriptions of Cos.* By W. R. Paton and E. L. Hicks. Royal 8vo, linen, with Map, 28s.

Smyth. *The Sounds and Inflections of the Greek Dialects* (Ionic). By H. Weir Smyth, Ph. D. 8vo. 24s.

Thompson. *A Glossary of Greek Birds.* By D'Arcy W. Thompson. 8vo, buckram, 10s. *net.*

Veitch. *Greek Verbs, Irregular and Defective.* By W. Veitch, LL.D. *Fourth Edition.* Crown 8vo. 10s. 6d.

Aeschinem et **Isocratem,** *Scholia Graeca in.* Edidit G. Dindorfius. 8vo. 4s.

Aeschylus. *In Single Plays.* With Introduction and Notes, by Arthur Sidgwick, M.A. *Third Edition.* Extra fcap. 8vo. 3s. each.

I. Agamemnon.
II. Choephoroi.
III. Eumenides.
IV. Prometheus Bound. With Introduction and Notes, by A. O. Prickard, M.A. *Third Edition.* 2s.

Aeschyli *quae supersunt in Codice Laurentiano quoad effici potuit et ad cognitionem necesse est visum typis descripta edidit* R. Merkel. Small folio. 1l. 1s.

Aeschylus: *Tragoediae et Fragmenta*, ex recensione Guil. Dindorfii. *Second Edition.* 8vo. 5s. 6d.

—— *Annotationes* Guil. Dindorfii. Partes II. 8vo. 10s.

Apsinis et **Longini** *Rhetorica.* E Codicibus mss. recensuit Joh. Bakius. 8vo. 3s.

Aristophanes. *A Complete Concordance to the Comedies and Fragments.* By H. Dunbar, M.D. 4to. 1*l.* 1*s.*

—— *Comoediae et Fragmenta,* ex recensione Guil. Dindorfii. Tomi II. 8vo. 11*s.*

—— *Annotationes* Guil. Dindorfii. Partes II. 8vo. 11*s.*

—— *Scholia Graeca* ex Codicibus aucta et emendata a Guil. Dindorfio. Partes III. 8vo. 1*l.*

—— *In Single Plays.* Edited, with English Notes, Introductions, &c., by W. W. Merry, D.D. Extra fcap. 8vo.

The Acharnians. *Fourth Edition,* 3*s.*
The Birds. *Third Edition,* 3*s.* 6*d.*
The Clouds. *Third Edition,* 3*s.*
The Frogs. *Third Edition,* 3*s.*
The Knights. *Second Edition,* 3*s.*
The Wasps. 3*s.* 6*d.*

Aristotle. Ex recensione Im. Bekkeri. Accedunt Indices Sylburgiani. Tomi XI. 8vo. 2*l.* 10*s.*

The volumes (except Vols. I and IX) may be had separately, price 5*s.* 6*d.* each.

—— *Ethica Nicomachea,* recognovit brevique Adnotatione critica instruxit I. Bywater. 8vo. 6*s.*

Also in crown 8vo, paper cover, 3*s.* 6*d.*

—— Contributions to the Textual Criticism of the Nicomachean Ethics. By I. Bywater. 2*s.* 6*d.*

—— Notes on the Nicomachean Ethics. By J. A. Stewart, M.A. 2 vols. 8vo. 32*s.*

—— *Selecta ex Organo Aristoteleo Capitula.* In usum Scholarum Academicarum. Crown 8vo, stiff covers. 3*s.* 6*d.*

—— *De Arte Poetica Liber.* Recognovit Brevique Adnotatione Critica Instruxit I. Bywater, Litterarum Graecarum Professor Regius. Post 8vo, stiff covers, 1*s.* 6*d.*

Aristotle. *The Politics,* with Introductions, Notes, &c., by W. L. Newman, M.A. Vols. I and II. Medium 8vo. 28*s.*

Vols. III and IV. [*In the Press.*]

—— *The Politics,* translated into English, with Introduction, Marginal Analysis, Notes, and Indices, by B. Jowett, M.A. Medium 8vo. 2 vols. 21*s.*

—— *The English Manuscripts of the Nicomachean Ethics, described in relation to Bekker's Manuscripts and other Sources.* By J. A. Stewart, M.A. (Anecdota Oxon.) Small 4to. 3*s.* 6*d.*

—— *Physics.* Book VII. Collation of various MSS.; with Introduction by R. Shute, M.A. (Anecdota Oxon.) Small 4to. 2*s.*

Choerobosci *Dictata in Theodosii Canones, necnon Epimerismi in Psalmos.* E Codicibus mss. edidit Thomas Gaisford, S.T.P. Tomi III. 8vo. 15*s.*

Demosthenes. Ex recensione G. Dindorfii. Tomi IX. 8vo. 2*l.* 6*s.*

Separately—
Text, 1*l.* 1*s.* Annotations, 15*s.*
Scholia, 10*s.*

Demosthenes and Aeschines. The Orations of Demosthenes and Aeschines on the Crown. With Introductory Essays and Notes. By G. A. Simcox, M.A., and W. H. Simcox, M.A. 8vo. 12*s.*

Demosthenes. *Orations against Philip.* With Introduction and Notes, by Evelyn Abbott, M.A., and P. E. Matheson, M.A.

Vol. I. Philippic I. Olynthiacs I–III. Extra fcap. 8vo. 3*s.*
Vol. II. De Pace, Philippic II. De Chersoneso, Philippic III. Extra fcap. 8vo. 4*s.* 6*d.*

Euripides. *Tragoediae et Fragmenta,* ex recensione Guil. Dindorfii. Tomi II. 8vo. 10*s.*

Euripides. *Annotationes* Guil. Dindorfii. Partes II. 8vo. 10s.

—— *Scholia Graeca*, ex Codicibus aucta et emendata a Guil. Dindorfio. Tomi IV. 8vo. 1*l.* 16*s.*

Hephaestionis *Enchiridion, Terentianus Maurus, Proclus, &c.* Edidit T. Gaisford, S.T.P. Tomi II. 10s.

Heracliti *Ephesii Reliquiae.* Recensuit I. Bywater, M.A. Appendicis loco additae sunt Diogenis Laertii Vita Heracliti, Particulae Hippocratei De Diaeta Lib. I., Epistolae Heracliteae. 8vo. 6*s.*

Herodotus. *Books V and VI,* Terpsichore and Erato. Edited, with Notes and Appendices, by Evelyn Abbott, M.A., LL.D. 8vo, with two Maps, 10*s.* 6*d.*

Homer. *A Complete Concordance to the Odyssey and Hymns of Homer;* to which is added a Concordance to the Parallel Passages in the Iliad, Odyssey, and Hymns. By Henry Dunbar, M.D. 4to. 1*l.* 1*s.*

—— *A Grammar of the Homeric Dialect.* By D. B. Monro, M.A. 8vo. *Second Edition.* 14*s.*

—— *Ilias*, ex rec. Guil. Dindorfii. 8vo. 5*s.* 6*d.*

—— *Scholia Graeca in Iliadem.* Edited by W. Dindorf, after a new collation of the Venetian MSS. by D. B. Monro, M.A. 4 vols. 8vo. 2*l.* 10*s.*

—— *Scholia Graeca in Iliadem Townleyana.* Recensuit Ernestus Maass. 2 vols. 8vo. 1*l.* 16*s.*

—— *Odyssea*, ex rec. G. Dindorfii. 8vo. 5*s.* 6*d.*

—— *Scholia Graeca in Odysseam.* Edidit Guil. Dindorfius. Tomi II. 8vo. 15*s.* 6*d.*

Homer. *Odyssey.* Books I–XII. Edited with English Notes, Appendices, &c. By W. W. Merry, D.D., and James Riddell, M.A. *Second Edition.* 8vo. 16*s.*

—— —— Books XIII–XXIV. By D. B. Monro, M.A. [*In the Press.*]

—— *Hymni Homerici.* Codicibus denuo collatis recensuit Alfredus Goodwin. Small folio. With four Plates. 21*s. net.*

Homeri Opera et Reliquiae. Monro. Crown 8vo. India Paper. *Cloth,* 10*s.* 6*d. net.*

Also in various leather bindings.

Oratores Attici, ex recensione Bekkeri:

Vol. I. Antiphon, Andocides, et Lysias. 8vo. 7*s.*

[*Vols. II and III are out of print.*]

—— *Index Andocideus, Lycurgeus, Dinarcheus,* confectus a Ludovico Leaming Forman, Ph.D. 8vo. 7*s.* 6*d.*

Paroemiographi Graeci, *quorum pars nunc primum ex Codd. mss. vulgatur.* Edidit T. Gaisford, S.T.P. 1836. 8vo. 5*s.* 6*d.*

Plato. *Apology*, with a revised Text and English Notes, and a Digest of Platonic Idioms, by James Riddell, M.A. 8vo. 8*s.* 6*d.*

—— *Philebus*, with a revised Text and English Notes, by Edward Poste, M.A. 8vo. 7*s.* 6*d.*

—— *Republic.* The Greek Text. Edited, with Notes and Essays, by B. Jowett, M.A. and Lewis Campbell, M.A. In three vols. Medium 8vo. 2*l.* 2*s.*

—— *Sophistes* and *Politicus*, with a revised Text and English Notes, by L. Campbell, M.A. 8vo. 10*s.* 6*d.*

Plato. *Theaetetus*, with a revised Text and English Notes, by L. Campbell, M.A. *Second Edition.* 8vo. 10s. 6*d.*

—— *The Dialogues*, translated into English, with Analyses and Introductions, by B. Jowett, M.A. *Third Edition.* 5 vols. medium 8vo. Cloth, 4*l.* 4*s.*; half-morocco, 5*l.*

—— *The Republic*, translated into English, with Analysis and Introduction, by B. Jowett, M.A. *Third Edition.* Medium 8vo. 12*s.* 6*d.*; half-roan, 14*s.*

—— *With Introduction and Notes.* By St. George Stock, M.A. Extra fcap. 8vo.

I. The Apology, 2*s.* 6*d.*
II. Crito, 2*s.* III. Meno, 2*s.* 6*d.*

—— *Selections. With Introductions and Notes.* By John Purves, M.A., and Preface by B. Jowett, M.A. *Second Edition.* Extra fcap. 8vo. 5*s.*

—— *A Selection of Passages from Plato for English Readers;* from the Translation by B. Jowett, M.A. Edited, with Introductions, by M. J. Knight. 2 vols. Crown 8vo, gilt top. 12*s.*

Plotinus. Edidit F. Creuzer. Tomi III. 4to. 1*l.* 8*s.*

Polybius. *Selections.* Edited by J. L. Strachan-Davidson, M.A. With Maps. Medium 8vo. 21*s.*

Plutarchi *Moralia, id est, Opera, exceptis Vitis, reliqua.* Edidit Daniel Wyttenbach. Accedit Index Graecitatis. Tomi VIII. Partes XV. 1795 1830. 8vo, cloth, 3*l.* 10*s.*

Sophocles. *The Plays and Fragments.* With English Notes and Introductions, by Lewis Campbell, M.A. 2 vols. 8vo, 16*s.* *each.*

Vol. I. Oedipus Tyrannus. Oedipus Coloneus. Antigone.
Vol. II. Ajax. Electra. Trachiniae. Philoctetes. Fragments.

Sophocles. *Tragoediae et Fragmenta*, ex recensione et cum commentariis Guil. Dindorfii. *Third Edition.* 2 vols. Fcap. 8vo. 1*l.* 1*s.* Each Play separately, limp, 2*s.* 6*d.*

—— *Tragoediae et Fragmenta* cum Annotationibus Guil. Dindorfii. Tomi II. 8vo. 10*s.*

The Text, Vol. I. 5*s.* 6*d.*
The Notes, Vol. II. 4*s.* 6*d.*

Stobaei *Florilegium.* Ad mss. fidem emendavit et supplevit T. Gaisford, S.T.P. Tomi IV. 8vo. 1*l.*

—— *Eclogarum Physicarum et Ethicarum libri duo.* Accedit Hieroclis Commentarius in aurea carmina Pythagoreorum. Ad mss. Codd. recensuit T. Gaisford, S.T.P. Tomi II. 8vo. 11*s.*

Strabo. *Selections*, with an Introduction on Strabo's Life and Works. By H. F. Tozer, M.A., F.R.G.S. 8vo. With Maps and Plans. 12*s.*

Theodoreti *Graecarum Affectionum Curatio.* Ad Codices mss. recensuit T. Gaisford, S.T.P. 8vo. 7*s.* 6*d.*

Thucydides. Translated into English, with Introduction, Marginal Analysis, Notes, and Indices. By B. Jowett, M.A. [*Reprinting.*]

Xenophon. Ex recensione et cum annotationibus L. Dindorfii.

Historia Graeca. Second Edition. 8vo. 10*s.* 6*d.*
Expeditio Cyri. Second Edition. 8vo. 10*s.* 6*d.*
Institutio Cyri. 8vo. 10*s.* 6*d.*
Memorabilia Socratis. 8vo. 7*s.* 6*d.*
Opuscula Politica Equestria et Venatica cum Arriani Libello de Venatione. 8vo. 10*s.* 6*d.*

3. MISCELLANEOUS STANDARD WORKS.

Arbuthnot. *The Life and Works of John Arbuthnot.* By George A. Aitken. 8vo, cloth extra, with Portrait, 16*s.*

Bacon. *The Essays.* Edited with Introduction and Illustrative Notes, by S. H. Reynolds, M.A. 8vo, half-bound, 12*s.* 6*d.*

Casaubon (Isaac), 1559–1614. By Mark Pattison, late Rector of Lincoln College. *Second Edition.* 8vo. 16*s.*

Finlay. *A History of Greece from its Conquest by the Romans to the present time,* B.C. 146 to A.D. 1864. By George Finlay, LL.D. A new Edition, revised throughout, and in part re-written, with considerable additions, by the Author, and edited by H. F. Tozer, M.A. 7 vols. 8vo. 3*l.* 10*s.*

Gaii *Institutionum Juris Civilis Commentarii Quattuor;* or, Elements of Roman Law by Gaius. With a Translation and Commentary by Edward Poste, M.A. *Third Edition.* 8vo. 18*s.*

Hodgkin. *Italy and her Invaders.* With Plates and Maps. By Thomas Hodgkin, D.C.L. A.D. 376–744. 8vo. Vols. I and II, *Second Edition,* 2*l.* 2*s.* Vols. III and IV, *Second Edition,* 1*l.* 16*s.* Vols. V and VI, 1*l.* 16*s.*

Hooker, Sir J. D., and B. D. Jackson. *Index Kewensis.* 2 vols. 4to. 10*l.* 10*s. net.*

Justinian. *Imperatoris Iustiniani Institutionum Libri Quattuor;* with Introductions, Commentary, Excursus and Translation. By J. B. Moyle, D.C.L. *Third Edition.* 2 vols. 8vo. 22*s.*

Machiavelli. *Il Principe.* Edited by L. Arthur Burd. With an Introduction by Lord Acton. 8vo. 14*s.*

Pattison. *Essays by the late Mark Pattison,* sometime Rector of Lincoln College. Collected and Arranged by Henry Nettleship, M.A. 2 vols. 8vo. 24*s.*

Ralegh. *Sir Walter Ralegh.* A Biography. By W. Stebbing, M.A. 8vo. 10*s.* 6*d.*

Ramsay. *The Cities and Bishoprics of Phrygia;* being an Essay of the Local History of Phrygia, from the Earliest Times to the Turkish Conquest. By W. M. Ramsay, D.C.L., LL.D. Vol. I. Part I. *The Lycos Valley and South-Western Phrygia.* Royal 8vo, linen, 18*s. net.* Vol. I. Part II. *West and West-Central Phrygia.* Royal 8vo, linen, 21*s. net.*

Selden. *The Table Talk of John Selden.* Edited, with an Introduction and Notes, by Samuel Harvey Reynolds, M.A. 8vo, half-roan, 8*s.* 6*d.*

Stokes. *The Anglo-Indian Codes.* By Whitley Stokes, LL.D.
Vol. I. Substantive Law. 8vo. 30*s.*
Vol. II. Adjective Law. 8vo. 35*s.*

Strachey. *Hastings and The Rohilla War.* By Sir John Strachey, G.C.S.I. 8vo, cloth, 10*s.* 6*d.*

Thomson. *Notes on Recent Researches in Electricity and Magnetism.* By J. J. Thomson, M.A., F.R.S. 8vo. 18*s.* 6*d.*

4. STANDARD THEOLOGICAL WORKS.

St. Basil: *The Book of St. Basil on the Holy Spirit.* A Revised Text, with Notes and Introduction by C. F. H. Johnston, M.A. Crown 8vo. 7*s.* 6*d.*

The Coptic Version of the New Testament, *in the Northern Dialect, otherwise called Memphitic and Bohairic.* With Introduction, Critical Apparatus, and Literal English Translation. The Gospels. 2 vols. 8vo. 2*l.* 2*s.*

Bright. *Chapters of Early English Church History.* By W. Bright, D.D. *Third Edition.* 8vo. 12*s.*

Butler. *The Works of Bishop Butler.* Edited by the Right Hon. W. E. Gladstone. 2 vols. Medium 8vo. 1*l.* 8*s.*

*** *Also in Crown 8vo, 2 vols,* 10*s.* 6*d.*

Canons of the First Four General Councils *of Nicaea, Constantinople, Ephesus, and Chalcedon.* With Notes, by W. Bright, D.D. *Second Edition.* Crown 8vo. 7*s.* 6*d.*

The Book of Enoch. *Translated from Dillmann's Ethiopic Text* (emended and revised), and Edited by R. H. Charles, M.A. 8vo. 16*s.*

Conybeare. *The Key of Truth.* A Manual of the Paulician Church of Armenia. The Armenian Text, edited and translated with illustrative Documents and Introduction by F. C. Conybeare, M.A. 8vo. 15*s. net.*

Driver. *The Parallel Psalter,* being the Prayer-Book Version of the Psalms and a New Version, arranged in parallel columns. With an Introduction and Glossaries. By the Rev. S. R. Driver, D.D., Litt.D. Extra fcap. 8vo. *Nearly Ready.*

Ecclesiasticus (xxxix. 15—xlix. 11). The Original Hebrew, with Early Versions and English Translations, &c. Edited by A. Cowley, M.A., and Ad. Neubauer, M.A. 4to. 10*s.* 6*d. net.*

Hatch and Redpath. *A Concordance to the Greek Versions and Apocryphal Books of the Old Testament.* By the late Edwin Hatch, M.A., and H. A. Redpath, M.A. In Six Parts. Imperial 4to. 21*s.* each.

Ommanney. *A Critical Dissertation on the Athanasian Creed. Its Original Language, Date, Authorship, Titles, Text, Reception, and Use.* By G. D. W. Ommanney, M.A. 8vo. 16*s.*

Studia Biblica et Ecclesiastica. *Essays in Biblical and Patristic Criticism, and kindred subjects.* By Members of the University of Oxford. 8vo.

Vol. I. 10*s.* 6*d.*
Vol. II. 12*s.* 6*d.*
Vol. III. 16*s.*
Vol. IV. 12*s.* 6*d.*

Wordsworth and White. *Nouum Testamentum Domini Nostri Iesu Christi Latine,* secundum Editionem Sancti Hieronymi. Ad Codicum Manuscriptorum fidem recensuit Iohannes Wordsworth, S.T.P., Episcopus Sarisburiensis; in operis societatem adsumto Henrico Iuliano White, A.M. 4to. *Fasc. I.* 12*s* 6*d.*; *Fasc. II.* 7*s* 6*d.*; *Fasc. III.* 12*s.* 6*d.*; *Fasc. IV.* 10*s.* 6*d.*

Oxford
AT THE CLARENDON PRESS
LONDON: HENRY FROWDE
OXFORD UNIVERSITY PRESS WAREHOUSE, AMEN CORNER, E.C.

DATE DUE

1-10-90			

GAYLORD PRINTED IN U.S.A.

SCHEELE MEMORIAL LIBRARY
3 6655 00104590 4

PA
4035
.A2
1875
vol.4

12,843

PA
4035
.A2
1875
vol.4

ner
Scholia graeca in Homeri
Iadem ex codicibus aucta
emendata.

12,843

DATE	ISSUED TO
11-10-90	ILL U. of Waterloo

Concordia College Library
Bronxville, New York 10708